7. πέρας κ.τέ.] sc. τῆς ἀγάγκης οὐκέτι κατεπειγούσης, ut 12 τοῦ ἐνοχλοῦντος διελθόντος. || 14. immo ἀποχωρήσειν? sed cfr. *Prolegg.* et *Gloss.*

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Οὔποτ' ἂν ἡμεῖς ὀκνηροὶ φανησώμεθα διασαφεῖν τῷ ἡμετέρῳ **VI.**
πατρὶ ἅπερ ὁ νῦν χρόνος ἡμῖν δείκνυσιν, ὁ μεταμείβων τοὺς ὄρνις
εἰς λογικότητα καὶ τὸ πεφυσιωμένον διδοὺς τούτοις τῆς ἀμαθίας
πτερόν, καὶ σκίμποδας ὑψηλοὺς διὰ ταῦτα οἰκοδομῶν, τοὺς ἐν γνώσει
μέσον κειμένους τῆς λεωφόρου· οἳ τὸ τῆς γνώμης ἀνετράπησαν ἄυλον,
ἔπη χρυσᾶ λαρυγγιᾶν ἐξασκήσαντες, τοῖς τύμβοις ὁμοιωθέντες καὶ κοι-
νὴν τὴν λήθην ἐκείνοις ἐγκολπωσάμενοι· βαρεῖς θ' ὡσαύτως τε ὄντες
τῷ λέγειν καὶ τῇ γλώττῃ ἀργαλεώτεροι καὶ τῇ ψυχῇ πολλὴν ἔχοντες
τὴν ὑπόκρισιν· οἱ τοῦ Ἐπικούρου καὶ Δημοκρίτου καπηλοδήμοι καὶ
τῶν ἀτόμων λόγῳ ἀτμητότεροι τῷ σκληρῷ· οἷς ἐστι τὸ ἄλογον ἐν-
στασις καὶ τὰ τοῦ λόγου στάσιμα ἄστατα· οἱ πολλοὶ μὲν τῷ λέγειν,
ὀλίγοι δὲ τῷ νοεῖν καὶ τοῦ συνιέναι πόρρω ἀπέχοντες· οἱ μαχόμενοι
| τοῖς ἰσορρόποις καὶ ἀνίσοις μίσγοντες ἴσα καὶ ἐξισάζοντες· οἱ f. 49r
ἀκαμπτοι τῇ καρδίᾳ καὶ τὴν νύσσαν μὴ ἐξασκήσαντες· δι' οὓς ἐφάνη
σολοικισμὸς καὶ τοσαύτη πληθὺς ἐβαρβαρώθη ἐθνῶν· οἱ χαλκοῖ κρότοι,
τὰ ἀνθρωπόμορφα ζῷα, τὰ πυρωθέντα μὲν καὶ θερμότητι δεξάμενα
τὸ λογικὸν ἐκ τῆς φύσεως, φθείραντα δὲ τοῦτο τῇ συμφύτῳ τούτων
ψυχρότητι· οἱ πνεῦμα ἀληθείας μὴ ἔχοντες καὶ φιλοσοφοῦντες περὶ
τοῦ πνεύματος, ἀμελούντων τῶν κεραυνῶν καὶ παῦλαν ἔχοντος τοῦ
πυρός· καὶ γὰρ εὐχόμενοι πίπτουσιν, εὐσεβοῦντες αἱρετίζουσι καὶ
φιλαδελφίας ἕνεκα ἀνθιστάμενοι, ἔχθραν τῷ τοῦ Θεοῦ Λόγῳ καὶ Υἱῷ
εὐτρεπίζουσι, τὴν δεξιὰν ἀλλάττοντες εἰς ἀριστεράν, ὡς τὰ πρός τι
μὴ ἀναγνώσαντες, ἐκ τῶν προπόδων τῆς φιλοσοφίας ὄντες ἐπισφαλεῖς
καὶ εὐωνύμως ὁδεύοντες· ὧν ἡ κεφαλὴ τῶν ὑψωμάτων μὲν τοῦ
λόγου δοκήσει ἅπτεται, ἐσχατιᾶς δὲ συνοικοῦσιν οὗτοι εὐδήλως πέ-
ρασι. πότερον οὖν οὐκ ἐρυθριῶσιν; οὐ ναρκῶσι γλῶτταν τὴν δύσφω-
νον, ἐξ ἧς ἀπηχεῖται πνεῦμα πνεύματος φθαρτικόν; ἦσαν μέντοι γε

VI. Argumentum. '*Falsa doctrina imbuti homines huius aetatis, cum sapientes et probi videri cupiant, in errore versantur. Talis est ille, quem facile cognosces ex eis quae ad te scripsi*'.

7. ἐγκολπωσάμενοι F.

ἐξ ἀρχῆς ἄνθρωποι ἐκ χρυσοῦ, ὑστάτως ἀλλοιωθέντες εἰς ἄργυρον· νυνὶ δὲ καὶ Χαλκοῦς προεστὼς ἐτάχθη προχειρισθείς. πείθει καὶ γὰρ
49v | τὴν ἀρετὴν τὸ δαιμόνιον καὶ ἀνταλλάττεται τοῦ ἀμείνονος τὴν τῶν χειρίστων συνάθροισιν· καί γε τὸ κακὸν ὀνομάζεσθαι ὅλως μὴ ξυνορῶν, ἀλλὰ μάλα γε ὡς ὑπερλίαν ὁ ταῦτ' ἔχων τοῦτο ποθεῖ. Ἆρα τί ἂν δέῃ με γράφειν περὶ τοιούτου βαρβάρου, περὶ ἀμαθοῦς ἕτερον ἢ λέγειν ἢ εὔχεσθαι; οὐδὲν ἄλλο, ἢ ὅτι 'ἀνθρώπους καὶ κτήνη σώσεις, ὦ Κύριε, καὶ τοὺς εὐχομένους καὶ σὺν σολοικισμῷ εἰς σὲ αἱρετίζοντας ἢ παύσαις τοῦ λέγειν ἢ συνετίσαις ὀρθῶς τὸ λέγειν ἢ κατὰ χάριν βαρβαρώσαις εἰς τέλεον, ἵνα μὴ πλημμελήσωσιν ὡς νοοῦντες ἐν πλημμελείᾳ, ἀλλὰ τῆς δίκης ἐκφεύξονται ἃ ληροῦντες μὴ συνιέντες.' αὗται μὲν αἱ εὐχαὶ περὶ ὧν καὶ κόσμος ὅλος τῆς ἀγνωσίας θρηνεῖ. τὸ δὲ μεγαλοφυὲς καὶ ἀπαράμιλλον τῆς Ἁγιωσύνης σου φιλοσοφώτερον τὴν ἡμετέραν ἐπισκέψεται ἐπιστολὴν καὶ γνοίη τὸν πλημμελήσαντα καὶ τὸ τούτου παράπτωμα. ἐπειδὴ ἔγγραφον ἐστείλαμεν τὴν οἰκονομίαν τοῦ λόγου τούτου καὶ τῆς εὐχῆς. αἱ εὐχαὶ δὲ τῆς Ἁγιωσύνης σου χαρισθείησάν μοι ἐπ' ἄπειρον.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

VII., Βραδεῖς ἡμεῖς καὶ ἐπιλήσμονες γεγόναμεν οἱ παρὰ σοὶ κρινόμενοι
50r ταχεῖς καὶ μνημονικοί. | καὶ τοῦτο μὲν οὐκ ἐξ ὧν προῃρήμεθα γέγονεν, ἀλλ' ἐξ ὧν τὰ συμβάντα προσέφερεν. ἡ γὰρ τῶν τοῦ Μανιάκη ἐπιτηδευμάτων πληθὺς τὸν αὐτὸν διαδεξόμενον ἐνταῦθα ἐκράτησε. καὶ ἐκείνων ἀργούντων, τοῦ μὲν ὑπούλως, τοῦ δὲ διὰ τῶν ὑπούλων, ἡ ἡμετέρα βραδυτέρα ὑπόσχεσις γέγονεν. ἐρυθριῶμεν τῷ λόγῳ τὴν ἧτταν ἀνακαλύπτοντες· σύγγνωθι τῷ ἡμῶν ἀτοπήματι· καὶ σὺν τῇ ὑποσχέσει δέχου καὶ τὰ τῆς ὑποσχέσεως. ἡ μὲν οὖν βραδυτὴς αὕτη καὶ διὰ ταῦτα, ἥτις καὶ διελύθη, ὡς οἶμαι, καλῶς. ὁ δὲ Φάιξ τὸν λόγον τῆς Ἁγιωσύνης σου εἰπὼν πρός με, ταχύτερον φθάσαι πρὸς

---

29. sc. 'Fur (de Chalco vide Demosth. fr. 62 ap. Eust. ad Il. 1243, 19 et Plut. Dem. 11, 4) factus est episcopus'. || 32. *ὑπὲρ λίαν* F. || 34. Psalm. XXXV, 7.

VII Argumentum. '*Quae pollicitus eram, nondum servare potui, non mea sed rerum culpa. Nunc et promissa ad te mitto et veniam a te peto*'.

σὲ τὴν ὑπόσχεσιν ἔπεισεν· ὃ καὶ γέγονε. τοσαῦτα γὰρ τὰ ἡμῶν εἰς ἐλευθεριότητα, ὅτι καὶ αἱ ἁμαρτίαι μου δικαιοσύναι νομίζονται, καὶ κοινὸς ἡμῖν ὁ τῆς φιλοσοφίας ἐστὶ θησαυρός, ἐπειδὴ καθ' ἑκάστην ἐκ σοῦ ἀντλοῦμεν αὐτόν· μεθ' οὗ καὶ αἱ ἅγιαι εὐχαί τοῦ αὐτὸν χορηγοῦντός μοι ἀπειράκις χαρισθείησάν μοι εἰς ἄπειρον

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

VIII. Τὰ πᾶσιν ὡς αἰνίγματα ὄντα διὰ τὸ δύσληπτον καὶ δυσκατανόητον ῥαδίως νοοῦνται τῷ σῷ φοιτητῇ· καὶ ἃ οἱ πολλοὶ ἐκ λόγων | δευτέρων εἰς τοὺς πρώτους ἀναγόμενοι ἐκμανθάνουσι, τῷ σῷ κατὰ 50v πνεῦμα υἱῷ αὐτοσχεδίως γνωρίζονται φύσεως φιλοτιμίᾳ καὶ διδαχῆς ἐπιδόσει καλλίστης, σῆς· ὅπου γὰρ ἀγαθὸς σπόρος ἀγαθοῦ γεωργοῦ, ἀγαθοὶ καταλλήλως καὶ οἱ καρποὶ φύονται. ἄρα γε οὖν ἐκ τῶν τῇ φύσει προτέρων καὶ ἡμεῖς, ἡμῖν δὲ ὑστέρων ἀρξάμενοι, διὰ τῶν σῶν σπερματικῶν διδαχῶν, διὰ γνώσεως εἰς τὰ εὐγενῆ συγγενειάζομεν τῆς σῆς Ἁγιωσύνης νοήματα, ὡς ἐν μεταιχμίῳ προσεγγίζοντες ταῖς τῶν ὑλικωτέρων φωναῖς καὶ τοῖς τῶν ἀυλοτέρων θεολογικοῖς ἀξιώμασι. καὶ διὰ τοῦτο, εἴπερ καὶ μεσίτας ἡμᾶς κατωνόμασας, προφητικῷ ἐχρήσω τῷ τρόπῳ, καὶ ἡμῖν τὴν τῆς μεσιτείας φωνὴν προσήρμοσας, ἀπερριμμένοις καί γε οὖσιν ἐκ τῶν ὧν οἱ πολλοὶ σέβονται, καὶ ἑπομένως διὰ τοῦτο ἀπερριμμένον καὶ τὸ χρειῶδες τῶν λόγων ἡμῶν· εἰκότως γὰρ τῷ ἡγουμένῳ τὰ ἐκ τοῦ παρεπομένου διὰ τοῦ ἑπομένου ἔπονται καὶ παρεπομένου. οὕτως γοῦν ὡς ἐν αἰνίγματι διδασκόμενοι περὶ αὐτῶν τῶν ὧν δὴ πρότερον εἰρήκαμεν, οὐκ ἂν καὶ πάλιν φαίημεν ἕτερον, ἢ ὅτι ἀγαθὸς | ὁ λόγον προαιρούμενος καὶ ἐρῶν αὐτοῦ· διότι 51r λόγῳ παρὰ τοῦ Λόγου ἐκτίσθη ἅπαντα καὶ ῥυθμίζεται. τί οὖν σοὶ τῷ ἀγαθογνώμονι βοήσω; δίδαξον εἰς φιλοσοφίαν, ἄναξον εἰς θεολογίαν,

---

VIII Argumentum. ' *Quod mesitην me appellasti, recte quidem fecisti; tua enim opera medium inter mundana et caelestia locum occupavi. Perge igitur me semper divina docere. — Mitto ad te hordeum, quod a Muzalone expressi, ut equos tuos nutrias. — Heracleensis episcopi mira postulata* '.

13. ἀπερριμμένοις cor. ex ἀπ**ριμμένοις F.

ἢ διὰ τῶν μαθημάτων περαίωσον ἐν τοῖς ἑκατέροις τὸν ἐμὸν νοῦν. πάντα σοι ὄντως αἰτῶ καὶ αἰτήσομαι, ἐπειδὴ καὶ ἐς τόσσον τούτων με κατενέπλησας, ὅτι Θεοῦ τὰς ἐμὰς φωνὰς ἐποίησας νομίζειν τοὺς ἐπιστήμονας. οὗ τινος ἕνεκα Χριστός σοι ἀντιμετρήσοι τὸν ἔλεον. οὐδὲ γὰρ τὰ τῶν ὑλικῶν εὖ οἶδα προσίεσαι δωρήματα, ἀλλ' ἐς ἀεὶ τοῖς νοεροῖς ἐνορᾶς τὸν οὐράνιον ἕλκων μισθόν. ἔχει μὲν οὖν ταῦτα καθὼς εἴρηται.

Ἡμεῖς δὲ τὸν Μουζάλωνα ὡς προέτρεψας συσφιγξαντες, διακοσίους κριθῆς μεδίμνους ἐγέννησεν, ἀρίστους δὲ ὄντας, ἐπειδὴ ἐκ τοῦ Ἀριστηνοῦ ἀνεβλάστησαν· τραφήτωσαν γοῦν οἱ ἐκπνέοντες αὐτοῖς τῷ λιμῷ ἵπποι τῆς Ἁγιωσύνης σου καὶ εἰς τὸ πρῶτον θράσος ἀναχθήτωσαν· ἑστῶσαν δὲ κεχαλι<νω>μένοι καλῶς καὶ πεπαιδευμένοι ἐν κημῷ τε καὶ χαλινῷ· ὁ γὰρ τοῦ ἡσυχαστερίου τόπος, ὡς ἔμαθον, δύσβατος εἰς ἄκρον ἐστίν.

Εἶεν· τῇ δὲ τετράδι τῆς τυροφάγου ἀνατείλαντος τοῦ ἡλίου ἐπέστη
51v ἡμῖν σμικρὸν | Σφυριστόπουλον τοῦ μεγάλου ἀδελφιδόπουλον Σφυριστοῦ ἐν χερσί τε κατέχον ἐπιστολὴν καὶ τάδε βοῶν· ‘ὁ μέγιστος Σφυριστὴς γόνυ κλίνας τῇ βασιλείᾳ σου παραιτησιν τῆς Ἀντιοχείας καὶ τῆς Ἐφέσου ποιεῖται, τὴν πατρίδα τούτου ζητῶν Ἡράκλειαν, προσκαθῆσθαί τε τῷ ὄρει τοῦ Γάνου ἵνα τῷ Ἰωάννῃ συνομιλῇ ἐρημικώτερον’. τοιαύτην γὰρ ὁ Χριστός, ὡς φάσκει, πολιτείαν ἠγάπησεν. εἰπὸν δὲ ταῦτα καὶ δοὺς τὴν ἐπιστολὴν ἔστη. ἡμεῖς δὲ ταύτην ἐγχειρισθέντες καὶ ἀνοίξαντες, τὰ ὅμοια εὕρομεν τοῖς τοῦ λέγοντος ἐν αὐτῇ λόγοις· εὕρομεν δὲ καὶ τὴν τῆς μητροπόλεως εἴσοδον ἐν αὐτῇ γεγραμμένην εἰς διακοσίους περισταμένην χρυσίνους, ἐμπόνως δὲ ἐν ταύτῃ γεγραμμένον αὐτὸ τὸ λόγιον, αἰτοῦσάν τε πλείονα οἰκονομίαν τῷ βασιλεῖ διὰ τῆς ἡμῶν μεσιτείας. τοιαῦτα οἶδεν ἡ ἀρετὴ ἐξαιτεῖν· τοιούτους καρποὺς αἰτοῦσιν οἱ οὐράνιοι ἄνθρωποι· χρυσὸς γάρ ἐστιν ἅπαντα, καὶ ἄτερ τούτου οὐ κατορθωθήσεται ἀρετή. ποῦ ἐστι σήμερον ἡ εὐλάβεια; ποῦ ἡ θειότης; ποῦ τὸ πρακτικόν; ποῦ τὸ ἀπέριττον; πάντα ὄντως πρὸς ὕλην ὁρμᾷ· πάντα τῶν χρημάτων ἐφίενται· πάντα
52r τοὺς ὀβολοὺς ἁπάντων προτίθησιν, ὕλης τε ἐρᾷ καὶ | τρυφῆς, ὡς φησιν Ἡρακλείας ὁ μέλλων ἐπιστατεῖν.

---

32. κεχαλμένοι F. ‖ 33. ἡσυχαστερυ' in fine versus F. ‖ 35. τετρ. κ. τ. ἑ.] sc. Mercuri die hebdomadis eius quam subsequitur quadragesima. ‖ 37. βοόν corr. ut videtur ex βοῶν F. ‖ 40. Ἰωη F.

Τὴν δὲ ἡμίονον μὴ σχῶντες ἀκμὴν οὐκ ἐστείλαμεν· ὅτε δὲ σχῶμεν, τηνικαῦτα καὶ στείλομεν· ἀναγκαία γάρ ἐστιν, ὡς ἐκμανθάνομεν, εἰς ἀνάπαυσιν τῆς σῆς Ἁγιότητος.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Ἐστείλαμεν τὴν ἡμίονον, ἐπληρώσαμεν τὸ διάταγμα, οὐκ ἠθετήσαμεν τὸ παράγγελμα. Ὁ Μουζάλων δὲ ἐγκαλεῖ τὸν Σμωνα· ἠμέλησε γὰρ τῆς τῆς ἡμίονου τροφῆς· λαθραίως ἀπέστη, οὐκ ἐνδεχομένως ἐποίησε· πόρρω γὰρ ἔπραξε τῆς τοῦ λόγου καρτερίας, καὶ ψεύδεσθαι τὴν ἡμετέραν ὑπόσχεσιν δεῖξαι ἠθέλησεν. ἐπιτιμῶ αὐτὸν καθυπόβαλε, οὐ νηστείᾳ καὶ ἀγρυπνίᾳ (ταῦτα γὰρ τοῦ καιροῦ), ἀλλά τινι σφοδροτέρῳ αὐτῶν· εἰ γὰρ καὶ Σμων ἐστίν, ἀλλ' οὐ δεῖ τοῦτον βαρέως νοεῖν, ἐπειδὴ τῷ ἀυλοτέρῳ σοὶ ἐξυπηρετεῖ· εἰ δ' ἴσως καὶ τὸ τῆς ἡγουμενείας αὐτὸν τύφωμα ἐξομοιοῦσθαι τῷ ἀρχιδιακόνῳ ἐποίησεν, ἀλλ' οὐκ ἐπὶ τοῖς σοῖς τὸ πτερὸν αἴρειν δεῖ, ὅτι πολλήν σοι φέρομεν τὴν εὐπείθειαν. ταῦτα γοῦν γράφοντες ἀστειαζόμεθα· καὶ νηστεύοντες δὲ τρυφῶμεν αὐτῶν τρυφῆς λογικῆς, εἰ καὶ τῇ τῶν σωματικῶν | πόρων καταπυκνώσει βαρέως ἀλγοῦμεν, ὀδύνην θ' ὡσαύτως ἐν τῷ φάρυγγι καὶ τῇ γλώττῃ σφοδρὰν ἔχομεν καὶ ὁλοτελῶς καχεκτοῦμεν τῇ ὀξύτητι τῆς πυκνώσεως, ὡς ἐκ τοῦ παρόντος ἔχεις μαθεῖν. ἐλπίζομεν δὲ εἰς Θεὸν καὶ μετ' αὐτὸν εἰς τὰς πρὸς ἐκεῖνον ὑπὲρ ἡμῶν σὰς ἁγίας εὐχάς, τάχιστα πάντων τούτων τῶν δεινῶν λυτρωθῆναι ἡμᾶς, εἰ καὶ πρὸς τὸ συμφέρον τοῦτό ἐστιν. IX. f. 52v

---

55. Cfr. *Gloss* v. σχάω. ‖ 56. immo *στείλωμεν;* sed cfr. SOPHOCLES *Gr. Lex.* 39.

IX Argumentum. ' *Simonis culpa factum est ut mulae cibus deesset, ego autem promissa oblitus viderer. Simonem igitur castigare velis. Ego dum haec iocor, cibo abstineo (tempus ieiunii servans) et pituita laboro* '.

Exstat haec epistula etiam in cod. V f. 108.v ‖ 3. *γὰρ* V: *δὲ* comp. F. ‖ *ἐνδεχόμενος* V. ‖ 4. *τῆς τοῦ* et mox *καὶ* om. V. ‖ 6. *καθυπόβαλλε* V. ‖ 7. *σφοδροτέρων* et mox *σμὼν* V. ‖ 11. *ἀστειαζόμεθα* V. *ἀστειαζόμενα* F. malim *ἀστειζόμεθα*. ‖ 12. *τρυφῶν* V. malim *τρυφὴν λογικήν*. ‖ 16. *αὐτῶν* et *σὰς* ante *πρὸς* V.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

X. Πόρρω που Δανιὴλ ὁ προφήτης τὰς αἰσθήσεις προκαθηράμενος, χαρίσματος ἠξιώθη προφητικοῦ καὶ θήρας ἐτιθάσσευσεν ἀνημέρους καὶ ἐνύπνια ἔλυσε καὶ τὰ συμβησόμενα δι' ὀνείρων ἐπέγνωκεν, εἰκόνα τε αὖθις τῷ βασιλεῖ διεσάφισεν ἣν συνέτριψεν ὁ Χριστός. ἡμεῖς δὲ μὴ θήρας τὰ πάθη χαλιναγωγήσαντες πώποτε, μήτε τὰ τοῦ παρόντος βίου ἐνύπνια διακρίναντες, ὡς ἰστὸν ἀράχνης καὶ ἄστατα, μήθ' ὡσαύτως διὰ τῶν λεπτοτάτων τοῦ νοὸς ἐπιβολῶν ὥσπερ ἐν ὕπνῳ τὴν πολύ-
53r τυρβον ταύτην ἀπάτην, τοῦ βίου δηλαδὴ τούτου, δοκήσει | καὶ οὐκ οὖσαν ὄντως νοήσαντες, αὐτομάτως ἐθεασάμεθα εἰκόνα τὴν ἐφεσίαν καὶ ἐθνικήν· ἧς ἡ κεφαλὴ τῇ ἐπάρσει τῶν οὐρανίων ἀντύγων ἐφάπτεται, χιλιοντάδι περιχρυσουμένη ἧς ὁ Τζὺς αὐτὴν ἀπεστέρησε, τὸ στῆθος καὶ οἱ βραχίονες πολλαχῶς ἐξαργυρούμενα τῇ πολυειδεῖ χωνείᾳ τῇ τῶν προβλήσεων, ἡ κοιλία χαλκῆ, ἐξ ἧς ἀπηχεῖται πνεῦμα ἰοβόλον καὶ φθαρτικόν, οἱ πόδες ἐν μέρει μὲν σιδηροῖ ἐν μέρει δὲ ὀστράκινοι (τὸ μέντοι γε ὅτι ποιμανεῖ τὸν λαὸν τοῦ Θεοῦ ἐν μάστιγι σιδηρᾷ, τὸ δ' ὅτι γε ὡς σκεύη κεραμέως συντρίψει πάντα ἐπίσκοπον, ἄλλως τε ὅτι βηματίσει ἐν ἀρετῇ εὐθραυστα ὥσπερ ὄστρακον· καὶ καλαύροπα τῇ βαρείᾳ ὁ τοῦ εἰρηνικοῦ Χριστοῦ μαθητὴς ποιμανεῖ τὸ τούτου περιούσιον ποίμνιον, ἀμέλγων μὲν ἐξ αὐτῶν θαμὰ τὸν χρυσόν, ἀντλῶν δὲ τὸν ἄργυρον, τὰ δὲ μέρη τῆς ποίμνης παριστῶν τοῖς θηρίοις καὶ τοῖς κρημνοῖς). ταύτην οὖν τὴν εἰκόνα ἡμεῖς οἱ μὴ προφητικοὶ ἐθεασάμεθα, οὐκ ἐν ὀνείρῳ καὶ δι' ἐσόπτρων τε καὶ ἐμφάσεων, οὔτε παρ' ἄλλων ταῦτα ἀκηκοότες, ἀλλ' ἐναργῶς καὶ πρὸς πρόσωπον πρόσωπον· διὸ δὴ τῷ ἡμετέρῳ σοὶ πατρὶ καὶ
53v καθηγητῇ | ταύτην ὡς εἴδομεν ἀπαγγέλλομεν, οὐ μικρὰν εἰδότες καὶ σοὶ προξενίσοντες ἡδονήν. καὶ ταῦτα μὲν οὕτως.

Περὶ δὲ τῆς νόσου ἡμῶν***

X Argumentum. *'Ut Daniel imaginem illam, sic ego video imaginem eius qui pastor fiet mox praeter meritum'.* deest finis.

2. θήρας F. || 7. ἐπαβουλῶν F. || 10 sqq. Cfr. Daniel II 32 sq. || 15 sq. Cfr. Psalm. II 9. || 19. Cfr. Hesai. XL, 11. || 22 sqq. Paul. Cor. I 13, 12. || 27. lacuna 10 versuum F.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Πέπανται τῶν ἀθέων ἡ φιλαρχία· ἔστη τῶν ἐπηρμένων τὸ τύ- **XI.**
φωμα· τῶν δοξομανῶν περιέστη τὸ ῥέεθρον εἰς ἀρχήν, εἰς ὕψος, εἰς ἔπαρσιν· περὶ ὧν ὁ σκοπός, περὶ ὧν καὶ πᾶσα ὑπόνοια, περὶ ὧν καὶ ἡ ἁγιότης, περὶ ὧν τὰ στηθίσματα, τὰ σχήματα, αἱ οὐρανοδρομήσεις, αἱ ὑπεροψίαι, αἱ ἀναβολαὶ καὶ πάντα τὰ τοῦ κόμπου κομπώματα. τὸν γὰρ ἐν ὕψει προκαθήμενον | τελώνην ὁ ἐν χθαμαλοῖς ἡσπάσατο φα- 54r
ρισαῖος καὶ τὴν Ἔφεσον νυμφικῶς ἐν ἐφέσει πολλῇ ἠγκαλίσατο, ἐκ δόξης εἰς δόξαν, ἐξ ὑψώματος εἰς ὑπεροχήν, ἐκ συναγωγῆς χρημάτων εἰς ἑτέραν μετέστη χρημάτων συναγωγὴν ὁ μέγας ἀσφαλιστὴς τῶν χρυσοσκευῶν. Ἄκουσον, πᾶσα ἡ τῆς Ἀσίας γῆ, ἐνωτίσασθε τούτων, πάντες οἱ ταύτης ἐπίσκοποι· ἰδοὺ γὰρ ἀνέρχεται πνεῦμα ἀπὸ Βορρᾶ ἐπικαθῖσον ὑμῶν. καὶ συνάψει ὀστοῦν πρὸς ὀστέον καὶ ἁρμονίαν πρὸς ἁρμονίαν, καὶ πῦρ θεῖον προσάψει αὐτοῖς καὶ ξηρανεῖ καὶ ἐκτεφρώσει πᾶσαν τὴν ἰσχὺν αὐτῶν, καὶ συντρίψει καὶ ἀφανίσει ἀπὸ προσώπου τῆς γῆς πάντα ἐπίσκοπον, καὶ τὰς ἁμαρτίας τοῦ λαοῦ καὶ παρανομίας ἐξιλεώσεται διὰ δεπωτάτων καὶ νομικῶν, πᾶσα δὲ ἡ τῶν λειγδολόγων ἰσχὺς φρίξει ἀπὸ προσώπου αὐτοῦ· καὶ συντριβῶσιν ἐν τούτῳ πάντα τὰ τόξα τῶν ἡγουμένων, καὶ ἀφανισθῶσι τὰ μοναστήρια, καὶ ἐκλικμισθῶσιν αἱ ἐκκλησίαι, καὶ τὸ πνεῦμα αὐτοῦ ἐπαναπαυθήσεται ἐν χαλκῷ καὶ ἀργύρῳ τε καὶ χρυσῷ. τίς σοφὸς καὶ φυλάξει ταῦτα, δηλονότι τὰ τούτου ζητήματα, καὶ δεξιώσεται τὸν πνευματοφόρον αὐτοῦ ἐκ χρυσοῦ, | καὶ προσάξει ἐξ ἀργύρου τούτῳ τὰς δεκα- 54v
τώσεις, καὶ ἱλαρυνεῖ ἐν ἐλαίῳ καὶ ἄρτῳ καὶ οἴνῳ τὴν τούτου ψυχήν; ἀνέβη γὰρ εἰς ὕψος ὁ εὐπρεπὴς ἀπειρόκαλον, καὶ τὸν Θεὸν οἰονεὶ ἐμιμήσατο, καὶ συνῆξε πᾶσαν ἰδέαν, καὶ ἐμορφώθη διόλου ταῖς τῶν καλῶν ἀγωγαῖς, καὶ ἕλκει πάντα μηδὲν ὅλως ἀποσειόμενος· ὀρφανόν τε κρινεῖ καὶ χήραν, καὶ τὰ ταύτης δύο λεπτὰ προσδέξεται, καὶ δι-

---

XI Argumentum. *'Homo indignus Ephesi episcopus factus est. Iam vides quae sint expectanda! — Infirmitatis meae finem tuae preces a Deo impetrent!'*

10. Hesai. I, 2 || 11 sq. Iez. I, 4. Cfr. XXXVII, 7 || 14–19. Cfr. Amos IX, 8 sq. || 19 sq. Num. XI 25 sq. || 21 sq. Cfr. Matth. X, 41 et Sophon. III, 4. || 23. ἱλαρύνει F. cfr. Psalm. CIII, 15. || 26 sq. Hesai. I, 17. || 27. Luc. XXI, 2.

καιώσει τὸν ἁλιέα, καὶ μικρὸν ἰχθύδιον λήψεται· οὐκ ἀποδιώξει ἐν κρίσει τοὺς καθημένους ἐν τραπέζαις τῶν ἀγορῶν, ἵνα τὸ ἀνῆκον τῆς Θέμιδος ἐν καιρῷ λάβῃ κρίσεως. ἀλλ', εἰποί τις, οὐ συνάξει καὶ τὸν σκυτοτόμον τὸν ἀπωσμένον καὶ τὸν ἐν οἰνοχοείῳ, ὡσαύτως τε καὶ τὸν ἐν μακέλλῃ, καὶ πείσει τούτους δῶρα φέρειν εἰς τὸν ναὸν τοῦ Θεοῦ; οὐ μὲν οὖν· ἀλλὰ μᾶλλον πάντας· καὶ γὰρ οἶδ' ὅτι σὺν ἑαυτῷ εἰς τῆς ἑορτῆς αὐτοῦ τὴν πομπήν· διότι εἰς τὸ σῶσαι πάντας ἐλεύσεται· ποιμανεῖ καὶ γὰρ τὸν λαὸν τοῦ Θεοῦ ἐν ῥάβδῳ σιδηρᾷ, ἣν οὗτος ἐσφυρηλάτησε, καὶ διὰ ταύτης πατάξει τοὺς ἀθέσμως ἐπισκοπεύοντας, καὶ συνάξει πάντα τὸν σῖτον εἰς τὰς ἀποθήκας αὐτοῦ,
55r τὸ δὲ ἄχυρον βοσκηθήσονται τὰ τούτου ὀνάρια. ταῦτα πάντα ἀγαθῶς | διαπράξεται. οὐδὲ γὰρ σεσοφισμένοις μύθοις ἔγνω τὰ τῆς ῥητορικῆς ἢ διὰ τῶν σχημάτων τὰ τῆς ἀληθείας συνελογίσατο. ἀλλ' ἁπλοῦς καί γε ὢν ὁ ἀνὴρ τὴν ἀνόθευτον φιλοσοφίαν ἠσπάσατο, τὴν πάσης γραμματικῆς ἰλυὸς ἀμέθεκτον, πάσης κακίας ποιητικῆς ἄψαυστόν τε καὶ ἄβατον, πάσης βορβορώδους Ἀριστοτελικῆς συγχύσεως ἀνεπάβατον, καὶ πάσης μαθηματικῆς καὶ θεολογικῆς κακίας ἀμέτοχον, καὶ ἁπαξαπλῶς ὡς εἰπεῖν τὴν πάσης φιλοσοφίας ἀμέθεκτον. ταύτην γοῦν τὴν ἀνόθευτον φιλοσοφίαν ἀσπασάμενος ὁ οὐράνιος, καὶ τὴν πρὸς ἡμᾶς Ἔφεσον ἐνηγκαλίσατο καὶ τοὺς ἐκ ταύτης ἤδη προσίεται ὀβολούς· καὶ τοῦτο διὰ τὴν θειότητά τε καὶ εὐλάβειαν. τὸ δὲ καινότατον, ὅτι διὰ τῆς ἀνοθεύτου φιλοσοφίας ἕως οὐρανοῦ ἀναβιβασθείς, διὰ ταπεινωσιν ἄμετρον μέχρι τῶν ὑποτελετῶν τῆς Ἐφέσου ἤδη κατέρχεται, ὡς συνομιλήσων αὐτοῖς καὶ ἄραι τὰ τούτων δέρματα σύρριζα συνάμα καὶ τῷ χρυσῷ, ὅπως διδάξῃ τὴν ἄκραν ἕνωσιν, ἵνα κατὰ τοῦτο, κα-
55v θὼς οἴεται, εἰκονισθείη ὁ χρυσοῦς τῷ Χριστῷ. | ταῦτα γοῦν ἡμεῖς αἰνιγματωδῶς οἱονεὶ παραπαίομεν καὶ προσφωνοῦμεν αὐτὰ σοὶ τῷ ἡμετέρῳ πατρί, καθὼς δὴ καὶ ἐγνώκαμεν. σὺ δ', ὦ τίμιε πατὴρ ἡμῶν καὶ διδάσκαλε, ἐκ τούτων τῶν οὐτιδανῶν ἀφορμῶν προφητικῷ τῷ τρόπῳ τε καὶ τῷ ὄμματι ἐναργεστέρως ἴδῃς τὰ τοῦ ἀπὸ τοῦ νῦν Ἐφέσου θεάματα.

Ἡμεῖς δὲ μὴ ἄξιοι ὄντες εὐμοιρῆσαι τῶν σῶν εὐχῶν, τῇ δεινῇ ταύτῃ νόσῳ ὡς ὁρᾷς πιεζόμεθα. εἴπερ οὖν ἐπιταθῶσι καὶ αὗται πρὸς Κύριον, καταθραύσουσι τῆς νόσου τὸ ἔντονον, ἡμᾶς τε εἰς τὴν προτέραν τῆς ὑγείας ἁρμονίαν ἁρμόσουσι καὶ εὐμελῶς βαδίζειν καὶ κατὰ φύσιν ποιήσουσιν.

---

34. Cfr. Hesai. XXXV, 4 || 35. Psalm. II, 9 || 37 sq. Luc. III, 17 || 51. σὺν ἅμα F.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Αἰδὼς μέν ἐστιν ἐν ἐμοί, θάρρος δὲ οὐ διέλιπεν· ὑπερβαίνει **XII.**
τοὺς ὅρους διὰ τὴν βραδυτῆτα τὸ ἔν, οὐχ ἧττον δὲ θαρρύνει τὸ ἕτερον· ἐκεῖνο ἐρυθριᾶν πείθει καὶ ὑποστέλλεσθαι, τοῦτο παρρησιάζεσθαι ἀναγκάζει καὶ οὐκ ἐᾷ ἀναβάλλεσθαι· ἐκεῖνο τὸν ὄν κρίνεις ποδώκην, καὶ λίθου ἀκινητότερον δείκνυσι, τοῦτο βαίνειν ἀσμένως παροτρύνει καὶ διαβαίνειν | πρὸς τὸν ποθούμενον· ἐκεῖνο ἐκ τῆς πράξεως κρί- 56r
νεται, τοῦτο συγγνώμην ἔχειν με λέγει ἀπὸ τῆς σχέσεως. δι' ἧς, ὡς οἶμαι, τὸ θάρρος λάβῃ τὸ ἄεθλον καὶ ἐξοστρακίσειε τὴν αἰδώ, καὶ τὸ λέγειν ἀλλήλοις συνεισαχθήσεται. πολλ' ἄττα καὶ ἀγαθὰ λοιπὸν ἐπακολουθήσουσι, λόγοι διδασκάλου σοφωτάτου σοφοὶ εὐπειθῆ φοιτητὴν καὶ σοφὸν ἐργαζόμενοι, καὶ φοιτητὴν οἷον εἶποι τις ἢ ἐννοήσειε τὸν ὃν ὑπὲρ ἅπαντα κόσμον προέκρινε καὶ προκρίνας ἠγάπησεν, αὖθίς τε ταμεῖον αὐτὸν τῶν τούτου λόγων ἐποίησεν. ὄντως ἀγαθὰ καὶ πολλὰ τὰ τοῦ διδασκάλου δωρήματα· ἡμεῖς δὲ ἀντὶ δωρημάτων προσάγομεν τὴν ἀγάπησιν, ἧς οὐκ ἔστιν ἐν κόσμῳ τιμιώτερον. ταῦτα γράφομεν, ταῦτα λέγομεν, ταῦτα πράττομεν· Θεὸς δὲ σιέπην ἡμῖν δι' αὐτὰ τὴν τῆς Ἁγιωσύνης σου δῴη εὐχήν, εἰποιμι δὲ τἀληθές, ἧς οὐκ ἐν ἑτέρᾳ ἰσότητι τεθάρρηκα πώποτε.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Ἐνεχειρίσθη μοι γραφὴ πατρικὴ διττόν μοι λόγον διακηρυκεύου- **XIII.**
σα· ὅτι μὲν ὁ ἐμὸς πάντων ἄλλων ὑπερηρμένος πατὴρ ἀκμὴν τῇ δεινῇ νόσῳ | πιέζεται, ὅτι δὲ καὶ παρὰ τῆς ἀσθενείας αὐτὸς τῆς 56v

---

XII Argumentum. ' *Pudore et audacia invicem rapientibus animum meum, audacia tamen vinci sinam teque orabo ut ad me semper solacia orationis tuae mittas, neque unquam me docere desinas* '.

6. post διαβαίνειν rasura 5–7 litterarum in initio paginae F. || 9. ἄττα F.

XIII Argumentum. ' *Cum tu sis aeger, ego valere nequeo; moerore igitur et morbo simul laboro* '.

οἰκείας ἰσχύος πλημμελήσας τὴν ἐκροήν, τὸ ἐμοὶ μὲν ἀναγκαῖον βούλημα καὶ ὁμόψυχον, αὐτῷ δὲ δι' ἐμὲ ἀναγκαιότατον μὴ δυνάμενος ἀποπληροῦν, δηλοῦσα τὴν ἀπαγόρευσιν. ἐγὼ δὲ ταύτην ἐγχειρισθεὶς ἐχάρην μὲν πλεῖστα κατὰ ψυχήν, ὅτι πατρικὴν ἐδεξάμην γραφήν· ἀνιαρῶς δὲ διετέθην ἐν τῇ ψυχῇ, εἰ καὶ τοῦτο δοκεῖ πως παράδοξον, ὅτι τὰ ἀπευκταῖά μοι ἡ γραφὴ διηγόρευε. νόσον γὰρ αὕτη τοῦ ἐμοῦ διδασκάλου ἔλεγε καὶ νόσον τὴν βαρυτάτην ὁμοῦ τε καὶ δεινοτάτην. ἀλλὰ τί εἶπω ἢ τί λαλήσω ὑπὸ τῶν χειμάρρων τῶν ἀνομιῶν μου ἀκρατῶς τὰ δεινά μοι συρρεύσαντα; ἔστι μοι πλήμμυρα λύπης ὅτι πολλὴ ἡ σὴ νόσος, πάτερ ὦ πάνσοφε. τῆς γὰρ ἀρχῆς μετατρεπομένης ἔκ τινων ἀπροσφυῶν καὶ ἀνοικείων τροπῶν, συναχθῶσι ταύτης ταύτῃ καὶ τὰ ἀρχόμενα· καθὰ δὴ καὶ σοῦ νοσοῦντος κἀγὼ νοσῶ τὴν ψυχήν, τῇ οἰκειομελείᾳ πειθόμενος καὶ τῇ κεφαλῇ συναλγῶν. διὸ τὴν
57r τῆς ψυχῆς διάθεσιν τὴν πρὸς τὸν ἐμὸν | πατέρα τε καὶ διδάσκαλον ἰδοῦσα ἡ σάρξ, ἐζηλοτύπησε τὴν ψυχήν. ἀλγεῖς γοῦν σύ, καὶ ἡ ἐμὴ ψυχὴ νοερῶς διόλου καταβιβρώσκεται· ἀλγεῖς δὲ τῷ σώματι, καὶ διὰ τοῦτο συμπονεῖ σοι καὶ ἡ ἐμὴ ψυχή· συναλγήσει γοῦν ἑπομένως ἀγομένη σὺν τῇ ψυχῇ καὶ ἡ ἀθλία μου σάρξ, οὐκ εἰς ἐλάχιστον μέλος συμπαθαινομένη σοι τῷ παθήματι, ἀλλ' εἰς τὸ μέγα τε καὶ ἐξαίρετον, τὴν κυριωτάτην φημὶ κεφαλήν. πολὺ γάρ ἐστί μοι ἐν ταύτῃ τὸ ἀνιαρόν. φολύγγων καὶ γὰρ ἐσμὸς κύκλωσε ταύτην περιεστοίχησε, τῶν κατὰ φύσιν χυμῶν ἐκτροπὴν ἐργαζόμενος, ἕλκος φέρων ἐκ τῶν φυομένων ἀναστημάτων, ἐξ αὐτοῦ δὲ ὀδύνην, ἐκ ταύτης δὲ ἀγρυπνίαν καὶ καχεξίαν τῆς ὅλης ὁλομελείας, καὶ εἴ τι ἄλλο νόσου ἐστὶν ἀνιαρόν. οἶμαι δὲ τοῦτο οὐκ ἄλλως ἐγένετο, ἢ σοί, τῇ ψυχικῇ καὶ σωματικῇ κεφαλῇ, ἡ σωματική μου συνέπαθε κεφαλή· καὶ οὕτως σοῦ πάσχοντος ταῦτα πάντα πάσχω κἀγώ, διότι ἀναγκαίως ἀεὶ ἄγεται τῷ ἄρχοντι τὸ ἀρχόμενον. καὶ ταῦτα μὲν οὕτως***

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XIV. Πρὸς Κύριον ἐν τῷ θλίβεσθαί με ἐκέκραξα· καὶ εἰσή-
57v | κουσέ μου, καὶ τῇ πολλῇ ἀθυμίᾳ πολλὴν φιλανθρωπίαν μοι συν-

5. αὐτῷ corr. ex αὐτὸ F. || 11. Cfr. Psalm. XVII 5. || 14. τρόπων F. || 24. sc. φολλίκων? || 25. ἕλκος F. || 28. ἢ < ὅτι >? || 31. nullum lacunae signum F.

XIV Argumentum. ' *Cum uterque nostrum hoc tempore male se habeat, in dolore meo divinum auxilium sperare et invocare non desino* '.

1. Cfr. Psalm. XVII 7.

εκέρασε. καὶ γὰρ λόγος σκληρὸς ταράττει ψυχάς, εὔφημος δὲ καὶ ἡδὺς ἡδύνει τὰ αἰσθητήρια· διότι αὐτομάτως διὰ τῶν ἑλικοειδῶν πόρων ἐνδοθεν χωρηθεὶς ἐκπέμπει πρὸς τὴν ψυχὴν τὴν ἐνέργειαν τῷ ταύτης μιγνυμένην πολυειδεῖ· διὸ καὶ μυριάκις αὐτὸ στρεφόμενόν τε καὶ τυρβαζόμενον σὺν αὐτῇ, ἀλλοιοῦται τῇ τοῦ λόγου ἀρχῇ, καὶ πρὸς τὴν αὐτοῦ ῥοπὴν ἐνσφραγίζεται ἀπαράλλακτα· τῷ τοι καὶ ταραττόμενον παρ' αὐτῆς τὸ ἡγεμονικὸν ἄγεται πειθαρχοῦν, οὗπερ ἂν αὐτὴ ἀλλοιώσει ἀλλοιωθῇ. διὰ τοῦτο τῆς τοῦ σοῦ νοσήματος ἀγγελίας, πάτερ, τῆς ἐμοὶ ἀπευκταίας ἐνωτισθείς, ἐγενήθην ὡσεὶ νυκτικόραξ ἐν οἰκοπέδῳ τοῦ πικρασμοῦ καὶ ὡς στρουθίον μονάζον ἐν τῷ τῆς θλίψεως δώματι. καὶ γὰρ τίς μοι χεῖρα δώσει ἕτερος βοηθείας καὶ φιλοσοφεῖν πρυτανεύσει μοι τὰ θειότατα; οὐδεὶς ὄντως ἕτερος, ἢ σὺ ὁ τοῦ πρώτου Φωτὸς τὰς ἡλιοειδίας ἐγγὺς καὶ πόρρω γε οὔσας συναγαγὼν καὶ τὰς συναγωγὰς ὑπερβὰς τῆς αἰσθήσεως καὶ κατὰ ἐκπομπάς τε καὶ εἰσπομπὰς ἀτενίσας τὰ θαυμαστά, ἅπερ οὐδεὶς ἑώρακε πώποτε. τὰ μὲν γὰρ περιαθροίσας ἐκ τῆς τῶν ὄντων περιουσίας, τὰ δὲ ἐκ τῆς μετὰ τὰ ὄντα, | τὰ δὲ ἐκ τῆς f. 58r
ὑπὲρ τῶν ὄντων, καὶ ταῦτα μίξας καὶ στοιχειώσας, καὶ διὰ τῆς θείας καὶ πνευματικῆς ταύτα περικαλύνας χάριτος, ὑπὲρ τὸν τοῦ Ἡλιοὺ ποδήρη τῇ τῶν θείων νοημάτων συναφείᾳ τὴν ψυχήν σου περιεκάλυνας· καὶ οὕτως ἐν ἐσθῆτι λαμπρᾷ ἔνδον τῆς τοῦ Χριστοῦ βασιλικῆς ἑστίας τῆς ὑψηλῆς καθ' ἑκάστην συναναστρεφόμενος, λατρείας προσφέρεις ὑπὲρ ἡμῶν. διὰ τοῦτο σὲ νοσήσαντα ἐκμανθάνοντες, τί οὐκ ἂν ἡμεῖς τῆς ἡμετέρας ξυμπνοίας νοσήσωμεν; πάντως ἅπαντα ὡς εἰπεῖν ἀνατραπησόμεθα ἑπομένως ἀγόμενοι τῆς γραμμῆς τῇ ῥοῇ. καὶ γὰρ πᾶν ἀγαθὸν διὰ τῆς ἐντέχνου καὶ οἰκονομικῆς καὶ ἐπιστημονικῆς Χειρὸς πεπλαστούργηται οὐκ ἄπο δεσμοῦ καὶ ξυμπνοίας καὶ ἁρμονίας καὶ συνδέσμου τε καὶ ἑνώσεως, ἀλλὰ μᾶλλον διὰ τῆς εἰς ἄλληλα μεταβάσεως καὶ τῆς [εἰς τὰ] τῶν ἑτέρων πρὸς ἕτερα σχέσεως. ὅθεν ἅπαντα τῷ λόγῳ διαρθρωθέντα δεσμῷ φυσικῆς φιλίας φυλάσσονται· οὐ μὲν οὖν φυσικῆς, ὡς ἄν τις εἴποι, καὶ προαιρετῆς, ἀλλ' ἀπεριέργου καὶ φυσικῆς· καί γε καὶ μίξις χυμῶν καὶ ἕνωσις στοιχειαχὴ καὶ τῶν ἁπλουστάτων καὶ μερικῶν σύναψις καὶ σώματα πήγνυσι καὶ ὕλας ποιεῖ καὶ κόσμον ὅλον συνδέει καὶ συγκρατεῖ· | καίπερ, εἰ καὶ λό- f. 58v

3. Cfr. Prov. XV, 1. || 11 sqq. Cfr. Psalm. XCIV, 8 et CI, 7 sq. || 21 sq. Cfr. Iezech. IX, 2. 11. Eliae nomen unde fluxerit nescio. || 31. εἰς τὰ delevi.

γος τούτοις οὐκ ἐγχορεύει, ἀλλ' ἡ φύσις αὐτὴ παρὰ τοῦ λόγου πάντα κατὰ λόγον ποιέει. ἐπεὶ γοῦν καὶ τοῖς ἀψύχοις καὶ ἄνευ λόγου πράγμασι λόγος ἡνιοχεῖ συνδέων καὶ συγκρατῶν καὶ τῇ ἑνώσει παραφυλάττων αὐτά, τῇ δὲ λύσει μειώσει παραδιδούς, τί οὐκ ἂν ἡμεῖς ἡμέτερον ἐν δεσμῷ φιλίας συνδήσωμεν; πάντως πάντα ἑνώσωμεν, πάντα συνάψωμεν, πάντα εἰς ἕνωσιν ἀδιάλυτον περισφίγξωμεν, εἰ καὶ πρώην τοῦτο γέγονε πρακτικῶς. διὰ τοῦτο ἀλγούσης τῆς συμφυίας ἀλγέει τὸ συμφυές· μαλθακιζομένης δὲ τῆς τῶν ὁμοψύχων πήξεως τὰ πηγνύμενα διαταράττονται. κατὰ ταῦτα δὲ καὶ σοῦ νοσοῦντος ὁ ψυχικὸς σὸς ἡμέτερος σύνδεσμος ζητεῖ διάλυσιν, μὴ φέρων ὀδύνην ἀστεκτον· ἀλλὰ πεποιθὼς ἐπὶ Κύριον βοῶ μετὰ τοῦ Δαβὶδ· ὁ θεὸς ἡμῶν καταφυγὴ καὶ δύναμις καὶ ἀπαλλαγὴ τῶν τῆς νόσου ἀνιαρῶν. διὰ τοῦτο οὐ φοβηθησόμεθα τὰ ταύτης περιοδικὰ ἀναστήματα ἐν τῷ ταύτην ταράττεσθαι· καὶ γὰρ ὡς ἀετὸς σκεπάσει νοσσιάν, τὴν τῶν ἀρετῶν τὴν σὴν εὐπρεπεστάτην ψυχήν, καὶ τὰ νεογνὰ τὰ σὰ γε-
f. 59r γενημένα λόγια διδαχῆς τὰ πρὸς | ἀρετήν, ἐν οἷς καὶ αὐτὸς πολλῶν ἀνδρῶν ψυχὰς κερδῆσαι ἐλπίσας ἐπεπόθησε· διότι καὶ ἐν κεφαλίδι βιβλίου τῆς σωτηρίας καὶ ἀναρρήσεως γέγραπται περὶ σοῦ τοῦ ποιῆσαι τοῦ Κυρίου τὸ θέλημα. διὰ τοῦτο οὐ φοβηθησόμεθα τὰ τῆς νόσου συμπτώματα πεποιθότες ἐπὶ Κύριον, ἐπεὶ καὶ τὸν πεποιθότα Δαβὶδ μακαρίζει, πρὸς ὃν καὶ ἡμεῖς τὰς ἐλπίδας ἐκτρέφομεν, ἐξ οὗ καὶ τὴν ἐλπίδα τῆς σωτηρίας ἀπεκδεχόμεθα, τὸν τῆς νόσου λυτῆρα, τὸν τῆς ὑγείας δοτῆρα καὶ πάντων τῶν ἀγαθῶν πρύτανίν τε καὶ χορηγόν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XV. Ἐξηρεύξατο ἡ καρδία μου λόγον ἀμιγῆ καὶ ἁπλοῦν. εἶπα ἐγὼ πρὸς ὑπερκείμενον πάντων ἐν γνώσει καὶ σοφίᾳ καὶ ἀρετῇ μι-

---

39. conicias τῇ < μὲν > ἑν. || 47. sqq. Psalm. XLV, 2. || 50. νοὸιαν F. Deuteron. XXXII, 11. || 53. κερδησ^{ας} in extr. linea F. || 53 sqq. Psalm. XXXIX, 8 sq.

XV Argumentum. *' Quae per iocum ad te scripsi velim mihi ignoscas. Simoni culpam suam remittam ut per Simonem Petrum coeli ianua mihi pateat. Graviter aegroto. Rogo te ut apud Deum pro me intercedas '.*

1. Psalm. XLIV, 2.

κρὸν ὥς τι ἐπεντρύφημα, εὐτελές τι ἀστείσμα. ἀναβαίνουσιν ἀλλά γε ἐκ τούτου λύπης ὄρη, καὶ καταβαίνουσι καὶ ἐπαίρονται κύματα θαλάσσης τῆς ὑπονοίας ἐπὶ τὴν στερρὰν πέτραν τῆς αὐτοῦ ἀγαθότητος. τὸ γὰρ πνεῦμα τοῦ πονηροῦ ἐπὶ τὴν φιλικὴν καὶ πατρικὴν καὶ υἱικὴν θάλασσαν τοιαῦτα οἶδεν ἐγείρειν κύματα καὶ δούπους πέμπειν ἀγρίους καὶ ποιεῖν | ταραχάς, εἰς ἣν γαλήνη καὶ νηνεμία ἀγάπης f. 59v ἐστί. ταῦτα γάρ με ἐπιλελῆφθαι δεῖ καὶ αἰτιᾶσθαι τὸ πονηρόν, ὅτι οὐδ' ὑπὲρ ταῦτα χρὴ ἀνάγειν τὸν λογισμόν. ὁ δ' ἡμέτερος σὺ πατὴρ καὶ διδάσκαλος πῶς ταῦτα διέκρινας; εἶναι ὄντως τὰς βασκανίας τοῦ πονηροῦ; ἢ ἐξ ἡμετέρας ὑπολήψεως ἔσχηκας τὰς λαβάς; ὃ μὴ γένοιτο πώποτε. οὐδὲ γὰρ ἀντὶ λυχνιτῶν καὶ σμαράγδων, τῶν σῶν πρός με διὰ λόγων δωρημάτων, προσάγομεν ὕβρεως κάχληκας, ἢ ἀντὶ ῥόδων καὶ ἀνθέων σοφίας, ὧν ἐδωρήσω παντοδαπῶν, ἀκάνθας φέρομεν καὶ τριβόλους κακολογίας, ἀλλ' εὐπείθειαν καὶ ταπείνωσιν, ἅσπερ ἔχομεν ὥσπερ ἐκ σοῦ δεδιδάγμεθα. ὁ δὲ πονηρὸς τῷ Σταυρῷ οἶδ' ὅτι δραπετεύσει τιτρωσκόμενος καὶ ταῖς σαῖς εὐχαῖς. αὐτὸς γὰρ οὔποτ' ἂν εἰρήνην ποθήσῃ, ἀλλὰ τὴν ἔχθραν ὡς γεννήτωρ αὐτῆς.

Τὸν δὲ Σιμωνα λύομεν τοῦ ἐπιτιμίου, ἵνα καὶ ἡμᾶς ὁ ὁμώνυμος τούτου καὶ Πέτρος εἰς τὸν Παράδεισον ῥαδίως εἰσάξῃ καὶ λύσῃ τὰ ἡμέτερα ἁμαρτήματα. εὖξαι οὖν, πάτερ, διὰ τὸν Θεὸν πρὸς αὐτὸν δι' ἡμᾶς. πολλὰ γὰρ νοσοῦμεν δεινῶς καὶ οὐκ οἴδαμεν ἀκμὴν τὸ γενησόμενον. | ἐν δὲ τῇ ἑτέρᾳ γραφῇ καὶ τὰ τῆς νόσου πάντα ἀφηγη- f. 60r σόμεθα.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Ἀντεμπλοκῆς μὲν ἀρίστης ἀρίστη ξυναυλία ἡ ὁμότιμός ἐστι δόσις καὶ λῆψις. ὅπου δὲ φύσει διαφέρειε τὰ διδόμενα, κατὰ χάριν ἐστὶ τούτων καὶ τὸ κοινόν. πολλῷ γὰρ τῶν ὑλικῶν εὖ καὶ σφόδρα δωρη- **XVI.**

---

13. ἀντιλυχνιτῶν F. || 15 sq. Cfr. Paul. Hebr. VI, 8. || 18 sq. Cfr. Ioh. VIII, 44.

XVI Argumentum. *'Mutuus amor constat praecipue cum quantum alteruter accipit, tantumdem dat. Tua tamen dona longe meis praestant, quia divina sunt. Et igitur pater meus grato in te animo est, et Deus te pro meritis munerabitur et ego tibi semper obtemperabo. — Simon cum ad me tuarum vestium odorem attulisset, morbi vim levavit aliquantum. Spero igitur fore ut brevi convalescam '.*

μάτων ὑπέρκεινται τὰ θειότερα· ὅτι δέ γε καὶ εὐχὴν δωρεῖται τὸ ὁμοφυὲς τούτου τῷ συμφυεῖ, πόσην ἂν ἔχῃ τὴν τῆς εὐεργέτιδος μοίρας μοιραν ἀσύγκριτον; πάντως ἄπειρον, πάντως ἀνέκφραστον, πάντως οὔποτ' ἂν ἀριθμουμένην λόγῳ τινί. διὰ τοῦτο πολλὴν ἐκ σοῦ τὴν φιλοτιμίαν οἱ σὲ αἱρετισάμενοι ἔχομεν, ἀγαθὴν ὄντως τὴν διδαχήν, ἀγαθὴν ὡσαύτως καὶ τὴν εὐχήν, ἀγαθὴν τὴν ἀγάπησιν καὶ πάντα ὄντως ἀγαθὰ ἐκ σοῦ καὶ ἐσθλά. εἰ γὰρ λόγον πλουτοῦμεν, σὺ ὁ παροχεύς ὁ πλουτοδότης ἡμῶν· εἰ φιλοσοφίαν, σὺ ὁ εὐεργήτης καθέστηκας· ὡσαύτως, εἰ ἀρετήν, ἐκ σοῦ αὐτὴν δεδιδάγμεθα. τί ἂν δὲ ἄρα ἐκ τούτων ἐκφεύξηται; πάντως οὐδέν. διὰ τοῦτο καὶ ὁ οἰκοθεν ἔχων καὶ δεσπόζων ἡμῶν πολ-
f. 60v λὴν σοι προσάγει καὶ προσάξει τιμήν, καλλίδρεπτον | οὕτω ἐν φυτηκομίᾳ σοφίας τὸν τούτου ὄρπηκα ἐργασαμένῳ· ὁ δ' ὑπερκείμενος πάντων Θεὸς καὶ Πατὴρ κατάλληλον τῆς ἐκείνου θειότητος τὴν ἀμοιβήν σοι δωρήσεται, καὶ μετ' αὐτὸν ὡς ἐκείνῳ ἐστὶν ἀρεστόν, ἡμεῖς ἀεὶ τὴν εὐπείθειαν.

Ὁ δὲ Σμων πλησιάσας ἡμῖν καὶ εὐωδίας φέρων εἰκόνα τῶν ἱματίων σου, καὶ ὀσφρανθέντες ταύτης ἡμεῖς, παραυτίκα ἀνεκουφίσθημεν. πεποίθαμεν δὲ ὅτι καὶ τὴν ῥοὴν στήσῃ τοῦ αἵματος ἡ πίστις ἡμῶν, εἰ καὶ μὴ τοῦ σοῦ κρασπέδου διὰ τὸ μῆκος ἁπτόμεθα τῆς ὁδοῦ. γένοιτο δὲ κατιδεῖν σε καὶ ἀγαλλιαθῆναι ἐνώπιον οἰκείου διδασκάλου τε καὶ πατρός.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XVII. Τῷ ὄρει τῶν σῶν προσευχῶν ἐγγίσαντες, πατήρ, πατὴρ ἡμῶν ἅγιε, ἐνηχήθημεν λόγους ἐν τοῖς ὠσὶν ἡμῶν ἀγαθούς· καὶ τῆς τοῦ μεσίτου σοῦ μεσιτείας ἐπαπολαύσαντες, ηὐφράνθημεν· ἀθέσμως καί γε τῆς νόσου τοῦ δραστικοῦ διακειμένου ἡμῖν πρὸς τὴν τετρακτύα τῆς δεκάδος ταύτην νηστείαν. τῆς γὰρ σῆς θεοτυπώτου ἐπιστολῆς κρατήσαντες καὶ γνόντες τὰ θεάγγελτα λόγια, ἃ σοὶ τῷ προστάτῃ

---

5. immo τῷ τούτου (= τῷ αὐτοῦ ut solet) ‖ 8. ἠρετισάμενοι F.

XVII. Argumentum. ' *Preces tuae valetudinem meam restituerunt. Te apud Deum pro me intercedente, nihil est quod timeam* '.

4. τετρ. — νηστείαν] jejunium quadragesimae?

ἡμῶν ἐγνώρισε Κύριος, ἀμέσως καὶ ἅμα ἔγνωμεν | τὴν ὠφέλειαν· f. 61r
μείωσις γὰρ κἀντεῦθεν πολλὴ τοῦ αἵματος, κουφισμὸς ὀδύνης, σύστασις εὐεξίας, ἀποτροπὴ τῶν δεινῶν καὶ τῶν συνοισόντων εἰσαγωγὴ
10 ἐπεισέρρευσε. μέγας ὁ Κύριος ἡμῶν καὶ μεγάλη ἡ ἰσχὺς αὐτοῦ ἡ διὰ τοῦ οἰκείου δούλου τοιαῦτα τελοῦσα καλά. ὄντως προσευχὴ δικαίου πάντων ἐστὶν ἰσχυροτέρα, νόσου τε πάσης ὑπέρκειται καὶ ἐπηρείας πάσης σατανικῆς. διὰ τοῦτο οὐ δειλιῶμεν, οὐ φριττομεν, οὐκ ἀνιαρῶς διακείμεθα τῇ ψυχῇ, σὲ τὸν δίκαιον κεκτημένοι μεσίτην καὶ βοη-
15 θόν, τὸν ὄντως Χριστοῦ χάριτι σοφόν, τὸν ἀπὸ γαστρὸς μητρικῆς ἀνατεθειμένον Θεῷ, καὶ ἕως ἄρτι διάγοντα εἰς τὰ ὕψη τῶν ἀρετῶν. ἰδοὺ γὰρ ὁσημέραι τὰ σὰ καλά· καὶ ὁ ἥλιος οὐ κυκλοφορεῖ πώποτε μὴ θεώμενος πρότερον τὰς σὰς εὐποιίας. πολλὴν καὶ γὰρ κέκτησαι τὴν ἰσχὺν τῷ Λόγῳ ἐξ ἀρχῆθεν ἀφιερωθεὶς καὶ σοφίαν ποθήσας τὸν
20 φόβον αὐτοῦ, τὴν ἀρίστην ἀρχήν· ἧς οὐκ ἔστιν ὕψος ἢ βάθος αὐτῇ συγκρινόμενον· ὅτι διὰ τοῦ λόγου τίς ἂν οἶμαι ταύτην εὑρίσκῃ ποθῶν, τὴν ὑπερκειμένην πάσης ἀρχῆς τε καὶ ἐξουσίας; δι' ἧς καὶ σύ, ὦ καλὴ κἀγαθὴ ἐμοὶ κεφαλή, τὴν πρὸς Χριστὸν τοσαύτην | οἰκείωσιν f. 61v
εὕρηκας, τηλικαῦτα διὰ ταῦτα ἔργα ποιῶν· ἀνάγων ἐξ ᾅδου πεπεδη-
25 μένους, καὶ ἀνδραποδίζων δι' εὐχῶν ἁγίων τὸν θάνατον, καὶ οὓς συλλαμβάνειν βούλεται αἴρων, καὶ διασώζων ἐκ τῆς αὐτοῦ γαστέρος πικρᾶς. ταῦτα λέγω πεῖραν τῶν λεγομένων ἀκριβωσάμενος, οὐ πόρρωθεν, οὐκ ἐκ χρόνου μακροῦ, οὔτ' ἐξ ἄλλου πάσχοντος, ἀλλ' ἐκ τοῦ σύνεγγυς, ὡς ἐνεστῶτι καιρῷ, ὡς οἰκοθεν ἔχων τὸ ἄλγος καὶ τὴν
30 ὑπόθεσιν, ὡς εὔελπις γεγονώς, ὡς τὸ μὲν ἐκφυγὼν τῆς νόσου, ᾗ δεινῶς παιζόμενος ἔπασχον, τὸ δὲ ἀνεμένον ὁρῶν, τὸ δὲ δραπετεῦον σπουδῇ καὶ ἅμα διόλου σύμπασαν καχεξίας ἰσχὺν πόρρωθεν τοῦ δυστήνου βαίνουσαν σώματος. εὐχῇ γὰρ τῇ σῇ ταῦτα πάντα ἐξαφανίζονται, καὶ τῆς ὑγείας γαλήνη ἐπεισέρχεται. πόσην ἂν ἔχῃς διὰ ταῦτα
35 τὴν χάριν; πόσην ἐξ ἡμῶν τὴν ὑπακοήν; πόσην ἐκ Θεοῦ τὴν ἀντάμειψιν; οὔποτ' ἂν μετρουμένην ὄντως ποσότητι. διότι οὐκ ἴσον τι εὑρεθείη ψυχῇ ἐν κόσμῳ, εἰρηκεν ὁ Χριστός. ὁ γοῦν διασώσας ἐκ θανάτου ψυχὴν ποίῳ τρόπῳ παρ' ἕτερον ἐξ ἴσου;***

---

10. ἐπασέρρευσε F. || 11. Cfr. Ep. Iac. V, 16. || 15. Cfr. Psalm. XXI, 11. || 20 sq. Cfr. Paul. Rom. XI, 33. || 24. Cfr. Psalm. XXIX, 4. XLVIII, 16. || 26. Cfr. Ion. II, 3. || 36 sq. Ev. Matth. XVI, 26 et sim. || 38. lacunam indicavi.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XVIII.
f. 62r Πάλιν πολλάκις εἰς τὸ πρὶν ναυάγιον, ᾧ ἦμεν, ὑπάρχομεν, ἀπερ-
ρυμμένοι πόρρω πού γε τῆς νηνεμίας καὶ ταῖς ἐλπίσι ψευδόμενοι. ὁ
πρὶν γὰρ κλύδων ὑπάρχει, τὸ τῶν κυμάτων ὕψος ἐπαίρεται, ἡ τρικυ-
μία μένει ὡς πρίν, ταράττει τὸ πνεῦμα τοὺς τῷ πνεύματι μὴ πνευμα-
τικούς. καὶ οἱ πνευματικοὶ πρέσβεις στραφέντες ἡμῶν, ἦχον κενὸν
κυμβαλίζουσι πνεύματος. ἔχεις τοίνυν συνεπτυγμένον ἐν βραχυλογίᾳ
τὸ πολυλάλητον, ἐν ὀλίγαις λέξεσι τὸ ἀπόρρητον, ἐν σμικροτάτῃ συλ-
λαβῶν συνθέσει τὸ μέγιστον, κἂν κομψόν τι σφενδόνῃ λόγων οἰκείων
ἐγκαυχᾶται ὁ Σάρδεων, μὴ τὰ πόρρω διανοῶν, μὴ τὰ ἔγγιστα συνιών,
μὴ γινώσκων τὰ τῶν λόγων αὐτοῦ καὶ ἀγγελιῶν ἑπόμενα· ὁ γὰρ
δυσπετὴς ἐν ὑπακοῇ τοῦ πορευθῆναι οὗτος ἀνὴρ τέλος ὑπακοὴν συν-
εισέφερε καὶ ἀρχήν, ὁρμεῖαν δῆξιν, κακόχαρτον ἄκουσμα, δηλητη-
ριώδη ὀμφὴν καὶ τῷ ὄντι ἐπίβουλον. ἄλλα μὲν γὰρ ἀκήκοε τὰ βαζό-
μενα· ἔνδον δὲ τῶν φρενῶν τῶν λεγόντων τὴν ἀπάτην οὐκ ἐθεά-
σατο. πείθει γὰρ τὴν ὑπακοὴν ἡ ὑπακοή, καὶ τυφλοῖ τὰ δῶρα τοὺς
ταῦτα ἕλκοντας, εἰ καὶ κατὰ τοῦτο σμικρολογοῦσι καὶ τὰ βαλλόμενα,
f. 62v ἐξαγοραζόμενοι τὸν καιρὸν παπικαῖς προσταγαῖς. | εἴπερ γὰρ καὶ
ἡ Ἁγιότης σου ἐνταυθοῖ ἔτυχεν, ἀπαραλλάκτως τοιαῦτα ἔγνω αὐτά·
ἐπεὶ δὲ καὶ δι' ἐμοῦ ταῦτά σοι διαπορθμεύονται, εἰκότως ἔχω λέγειν
οὕτως λογισθῆναί σοι ὡς αὐτοψεὶ ταῦτα ὁρᾷς καὶ ἄλλως οὐκ ἔχοντα.
ἡ μὲν οὖν τοῦ Πάπα αἴτησις περιέστη εἰς ὑπακοὴν ἐξ ἡμῶν· ἡμῖν
ἐκεῖνος δὲ μετὰ ταῦτα ὑπισχνεῖται πληροῦν πάντα τὰ ἡμῶν δίκαια,
καὶ ἐν καιρῷ ταχθῆναι, καὶ γενέσθαι καὶ σύνοδον. συγκατατίθεται δὲ
καὶ τῷ τῆς ἀποκαλύψεως αἰτήματι καὶ ἄλλα πλείω τούτων, ὡς ὁ μη-
τροπολίτης Σάρδεων καὶ οἱ μετ' αὐτοῦ λέγουσιν. ἐγὼ δὲ ἔκ τινων

XVIII Argumentum. '*Quae sperabantur de conciliatione cum Papa, video ad nihilum redire; nam quae Sardium Metropolita et ceteri legati afferunt, subdola mihi videntur. Una cum legatis advenit ineptus Gregorius, nomine μονοχίτων, re dives et voluptatibus deditus.*'

1 sq. ἀπερριμμένοι F. || 2. ποῦ γε F. || 6. συνεπυγμένον F. || 15. Cfr. Deuteron. XVI, 19. || 17. Daniel, II 8. || 18. αὐτή?

λόγων καὶ σημειώσεων δυσχερὲς νομίζω πολλὰ τὸ λαβεῖν πέρας αὐτά.

Ἦλθε δὲ καὶ ὁ λῆρος Γρηγόριος, ὁ τάξει μὲν μονοχίτων, πολλῶν ἀλόγων δὲ καὶ κτημάτων κύριος νῦν, οὐκ ἐκ τοῦ Πάπα, ἀλλ' ἐν τῇ ὁδῷ συναθροίσας τοσαύτην ἔπαρσιν. φληναφεῖ δὲ τὰ συνήθη ἐν γρηγόρσει πολλῇ ὁ κακότροπος, εἰ καὶ τῇ γαστρὶ πολλὴν συναθροίζει τῆς ἡδονῆς τὴν βλακείαν, καὶ διὰ τοῦτο σαθροῖ τὴν ψυχήν. ταῦτα μὲν ἅπερ οἴδαμεν· τὸ δὲ τέλος ἐν χειρὶ Κυρίου ἐστίν, ἣ καὶ ἡμᾶς διατηρήσοι, τοῖς τε νῦν τοῖς τε μέλλουσι, συνηγορούσης ὑπὲρ ἡμῶν καὶ τῆς εὐχῆς τῆς Ἁγιωσύνης σου.

sine titulo

f. 63r

<K>αιρὸς ἤδη πολὺς ἐξ ὅτου πρὸς τὴν τῶν λόγων πηγὴν οὐκ ἐπορεύθημεν λογικῶς· καὶ τοῦτο ξηράναν ἡμᾶς τὸ αἴτιον ζημίαν ὅτι πολλὴν ἔδωκε. νῦν δὲ διψήσαντες ἐπὶ ταύτην ἐρχόμεθα, δαψιλῶς ἐμφορηθῆναι ταύτης τῶν ναμάτων ἄκος λαβεῖν τε τῆς δίψης ἐλπίζοντες. ἦν δὲ τοῦ μὴ πρὸς αὐτὴν ἀνατρέχειν συνήθως αἴτιον ἡ πρὸς τὸν ἅγιόν μου αὐθέντην πατέρα καὶ βασιλέα προϋπάντησις καὶ προσκύνησις, μετὰ δὲ ταύτας ἡ καθ' ἑκάστην ὁμιλία καὶ αἱ πρὸς τὰ τοῦ καιροῦ χρήσιμα ἀναμνήσεις καὶ ὑπομνήσεις καὶ ἄλλ' ἄττα πολλὰ καὶ κατάλληλα τῷ καιρῷ. νῦν δὲ πρὸς τὸ Νυμφαῖον ἐλθόντες καὶ μικρὰν ἄδειαν σχόντες, ἤδη πρὸς τὴν ἔξιν ὡρμήσαμεν, ἑλκόμενοι πρὸς σὲ τὸν ἡμέτερον διδάσκαλον καὶ πατέρα, ὡς μὲν προσκυνοῦντες, ὡς δὲ γραφὰς αἰτούμενοι δέχεσθαι. στοχαζόμεθα γὰρ ταχινὴν γενέσθαι τὴν ἡμετέραν ἐκ τοῦ Νυμφαίου <ἀναχώρησιν> προστάξει τοῦ μετὰ τοῦ κυρίως ὑπερέχοντος ἡμᾶς ὑπερέχοντος· τοῦτο γὰρ ὠφελιμώτατον καὶ ἀναγκαῖον ἐκρίθη πρὸς τὰς στρατηγικὰς ὑποθέσεις, ὅπερ ἔχει καὶ τὰ ἑπόμενα αὐτῷ ἀξιόλογα. καὶ ὁ στοχασμὸς | πρὸς τὸ ἀληθὲς ἤδη ἔρχεται*** τοίνυν οὖν διὰ f. 63v

XIX.

---

33. συνηγορούσης scripsi: συναγειρούσης F.

XIX Argumentum. ' *Quod tam diu ex fonte perenni sapientiae tuae haurire omisi, id accidit temporum necessitate; nam patri meo imperatori obviam ire, deinde cum eo quotidie de rebus praesentibus consilia capere oportuit. Nunc, quoniam ad Nymphaeum advenimus et otii aliquantum datur, scribo ad te. Mox hinc sumus discessuri, ut belli ratio postulat* '.

13. profectionis nomen excidit nullo lacunae signo in F. || 14. ἡμᾶς] immo ἡμῶν? || 16. lacunam indicavi; ταύτης certe (17) requirere videtur hic formulam ἡ Ἁγιωσύνη σου.

ταῦτα ἀναγκαῖον ἔχομεν ἐκ τῶν ταύτης ὅπλων κατοχυροῦσθαι, διττῶν καί γε ὄντων διττήν τε λαμβάνειν καὶ τὴν ὠφέλειαν· τῶν εὐχῶν δὴ λέγω καὶ λόγου. τὰ δ' ἄλλα καὶ ὅσα πλήρη ἀγαθωσύνης τῇ ἐνδημίᾳ τῇ σῇ γενήσονται καλοκαγαθίας τελέσματα, ὡς ἐπικρίνεις καὶ στέρξω. πρὸ πάντων δὲ καὶ σὺν πᾶσι καὶ μετὰ πάντων τὴν σὴν διδαχήν· ἥτις σὺν ταῖς εὐχαῖς ἐν ἐμοὶ ἀνεξάλειπτος μείνειεν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XX. Ἅπερ ἐλάβομεν καὶ προσφέρομεν· καὶ ὃ πεπλουτήκαμεν τῷ πλουτοδοτήσαντι ἀντιστρέφομεν· οὐ κατὰ ἀπόρριψιν, ἀλλὰ κατὰ χάριν, δεικνύντες οἷον ἔδωκε πλοῦτον ὁ πλουτοδότης καὶ οἵους ἀπογεννᾷ θησαυρούς. εἰ δέ τι καὶ περὶ τὸν τῶν ἀνδριάντων ἐτασμόν, οἱονεὶ τὰ μέρη λέγω καὶ σχήματα, καὶ ἄλλην πᾶσαν οἰκονομίαν ὁ πλοῦτος οὗτος ἐπαλήψιμον κέκτηται, μορφωθήτω τὸ ἀκραιφνὲς καὶ πάλιν ὅθεν ἔλαβε τὴν συναγωγήν. εἰ δ' ἴσως ἔχει τὸ ἀνεπίληπτον, ἔστω ἀμεταποίητος. τὸ γὰρ ἐν τῇ ψυχῇ ἔχειν ἀεί τινα τὸ ἀμφίβολον, ὡς ἐμοὶ δοκεῖ, τοῦτο ζάλην φέρει αὐτῷ· ἡ δὲ σταθηρότης ἔχει καὶ τὴν πεποίθησιν. ὃς δ'
f. 64r ἂν ἔν τινι | πέποιθεν, οὐ καταισχυνθήσεται. διὰ τοῦτο ἐπὶ τὸ τῆς ψυχῆς μου σταθηρότατον φυλακτήριον σὲ τὸν ἐμὸν καὶ ὅλον ἐμὸν καὶ ὅσον καὶ ὁποῖον ἐννοήσεις ἐμὸν καὶ παντοίως ἐμόν (ταῦτα γὰρ οἶδας ὡς ἀντιστρέφουσι) τὸν ὃν μοι δέδωκας θησαυρὸν δεικνύω τὰ νῦν, πεποιθὼς εἰς ἐπίδοσιν. αἰτῶ δὲ λαμβάνειν καὶ τὴν σταθηρότητα ἀπὸ σοῦ καὶ τὴν περὶ τοῦ θησαυροῦ διάκρισιν· εἴπερ ἐστὶν ὁ θησαυρὸς ἀκραιφνής, εἰ ἅ τε συνήγαγες κέκτηται, καὶ εἰ ἀμαρύγματα φέρει τινὰ ἐκ τοῦ ἐνδοτέρου θησαυροῦ τῆς σῆς ὑπερυψήλου σοφίας καὶ ἀγχινοίας· ἵνα ἔχωμεν σταθηρὰν δόξαν περὶ τούτου οὗ λέγομεν καὶ πεποίθησιν ἀσφαλῆ, καὶ οὐ μὴ καταισχυνθῶμεν πώποτε ἐκ σοῦ λαβόντες τὸ

21. σὺν πᾶσι] σὺμπᾶσι F.

XX Argumentum. ' *Opus quod ad te mitto manat totum ex tuae sapientiae virtutisque copia, qua me ditare voluisti. Tibi igitur merito dicatur, non solum ut gratitudinem meam in te ostendat, sed etiam ut diligenter a te examinetur et probetur. — Medici de valetudine mea in magno errore versantur* '.

4. ἐτασμόν scripsi dubitanter: ἐσμὸν F. || 7. lacunam 7 vel 8 litt. in extr. versu ante εἰ habet F. || 10. Cfr. Psalm. XXX, 2. || 15. περὶ scripsi: παρὰ F. || 16. καὶ εἰ] num καὶ ἔτι?

ἀσφαλές. σόφιζε γοῦν ἡμᾶς πλουτοδοτῶν ἐν καλοῖς καὶ τοῖς οἷά εἰσι σά, ἅτινα καὶ καλά. τὰ γὰρ ἐξ ἄλλων οὐκ ἂν ἁρμόσωσι πρὸς ἐμέ, ἐπεὶ καὶ ἄλλως ὁρμῶσι καὶ οὕτω πρὸς ἐμὲ ἀπροσφυῶς ἔχουσι, καθὸ ἐκ σοῦ οὐκ εἰσίν. οἷος γάρ ἐστιν ἕκαστος, τοιούτοις ἥδεται ξυνών. διὰ τοῦτο προσφυὴς κἀγὼ σοὶ γεγονώς, τὸ οἷος εἶ σὺ ἐξ ἀνάγκης ἐκέρδησα. εἰ δ' ἴσως οὐκ ἴσον διὰ τὸ αἴτιον εἴποι τις, ἀλλ' ἕτερος ἴσον εἴποι διὰ τὴν | προαίρεσιν· ἐγὼ δὲ οὐκ ἄλλο γε ἂν εἴποιμι ἢ ὁποῖον f. 64v σὺ ἀποφήνῃ, πεποιθὼς εἶναι τοῦτο τὸ ἀληθές.

Οἱ δὲ ἰατροὶ ἀκμὴν ἡμᾶς δοκιμάζουσιν· εἴτε γοῦν τὰ φάρμακα δοκιμάζουσιν, εἴτε τὴν τέχνην αὐτήν, εἴτε ἀπειθοῦσι τῷ Γαληνῷ, οὐκ ἴσμεν, ἓν μόνον εἰδότες, ὡς ἀνταρσίαν ποιῆσαι οἱ τοιοῦτοι βούλονται κατὰ πάσης τέχνης ἰατρικῆς, καὶ ταῦτα βουλῇ καὶ διαταγῇ τοῦ τῶν νόσων προτραπέντος ἐπιμελεῖσθαι ἀρίστου βροτολοιγοῦ. ἡμεῖς δὲ διὰ τῶν σῶν ἁγίων εὐχῶν ἐν ὑγείᾳ διάγοντες τῷ Θεῷ καὶ σοὶ καὶ ταῖς πρὸς Θεὸν σαῖς εὐχαῖς φέρομεν δόξαν, αὐτοὺς ἀφέντες ληρεῖν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXI. Ἔστιν ὅπου καὶ ἡ ἀνάγκη καλόν. τί λέγω; ὁπόταν περὶ ἀναγκαίου κινῆται πράγματος. ἀναγκάζομεν γοῦν καὶ ἡμεῖς τὴν Ἁγιωσύνην σου ἐνδημῆσαι νῦν πρὸς τὸν αὐθέντην ἡμῶν τὸν βασιλέα· ἐπειδὴ καὶ περὶ ἀναγκαίων ἡ τῆς Ἁγιωσύνης σου ζήτησις· ἣν καὶ ἡμεῖς ἀναγκαίαν καὶ ὀνησιμωτάτην γνόντες ἀναγκάζομεν (ὦ τοῦ θαύματος) τὸν ἡμῶν πατέρα καὶ διδάσκαλον ἐνδημῆσαι εἰς ἡμᾶς· εἰ μὴ γὰρ πρέπον ἦν τοῦτο, οὐκ ἂν κατηπείγομεν. γενηθήτω δὲ τοῦτο τάχιον· πᾶσι γὰρ ἀρεστὸν καὶ πάνυ· πάνυ δὲ μάλα γε ἀγαθόν, ὅτι ὁ σὸς | f. 65r αὐτὸ τοῦτο ἀρέσκεται. ἡ εὐχὴ δὲ τῆς Ἁγιωσύνης σου παρὰ Χριστοῦ χαρισθείη μοι.

---

23. τοιούτοις scripsi: τούτοις F. || 24. τὸ οἷος] sc. supplendum τὸ <εἶναι> οἷος. || 32. ἀρίστου βροτολοιγοῦ significat σκωπτικῶς medicum vel medicorum principem. Cfr. Eustath. ad Hom. 518, 41 et infra Epist. XLV circa finem.

XXI Argumentum. ' *Opus est huc te venire. Ne cuncteris!* '

2. κινῆται corr. ex κινεῖται F. || 7. κατηπείγωμεν F.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXII. Καὶ πάλιν ἐπιθυμοῦνται καρποί, καὶ πάλιν εἰς τὴν ῥίζαν ζητοῦνται· καὶ μάλα γε λίαν ποθοῦνται, καὶ ἐν καιρῷ βραχυτάτῳ φθάσαι κελεύονται· καὶ εἰς ὃν ἡ ῥίζα τεθάρρηκε περὶ τῶν καρπῶν λόγοι ἐλέχθησαν. εἶθε καὶ ταχινώτερον γένοιντο καὶ ὅσα τούτου συστατικά. περὶ τούτων δὲ ταῦτα. ἡμεῖς δὲ πρὸς τὸν ἅγιον ἡμῶν αὐθέντην καὶ βασιλέα ἐνδημήσαντες, ἕλκομεν διὰ ταῦτα καὶ τὴν τοῦ ἡμετέρου πατρὸς ἐνδημίαν· ὃ καὶ τάχιον γένοιτο, πολλὴν τὴν ὠφέλειαν προξενῆσαι ἡμᾶς, ἧς οὐ τοῦ κόσμου ζυγοστατοῦμεν ἕτερόν τι. ὁ Θεὸς χαρίσαιτό μοι τὴν ἁγίαν σου εὐχήν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXIII. Καὶ φωτὸς μὲν στέρησις τῷ φωτιζομένῳ πράγματι πολλὴν ἐμποιεῖ τὴν ἀδοξίαν τε καὶ ἀνείκαστον, πολλὴν δ' ὅμως καὶ τὴν ἀθυμίαν, εἴπερ ἔμψυχόν ἐστι τὸ φωτιζόμενον· καὶ ἀπουσία δὲ ἀνδρὸς ἀγαθοῦ καὶ ἀπόστασις, καί γε μᾶλλον σοφοῦ, πολὺν τῷ φιλοτιμοῦντι τοῦτον τὸν ψυχικὸν κλυδασμὸν προξενεῖ. ἔνθεν τοι καὶ τὸ τῆς λύπης νέφος, f. 65ᵛ τῇ ἀπουσίᾳ τούτου χώραν λαβὸν καὶ ὑπὸ ἑτέρων | ἀθυμίας πνευμάτων στεγαζόμενόν τε καὶ παχυνόμενον, ὀμβρίζει πρὸς τὴν ψυχὴν χύδην λύπης νοήματα καταμαλθακίζοντα τὸ ταύτης ἀνδρικόν τε καὶ σταθηρὸν καὶ πρὸς μείωσιν συνωθοῦντα αὐτὴν καὶ τῆς σωματικῆς ζωτικῆς σχέσεως τελείαν διάλυσιν. καὶ γὰρ εἰ καὶ ἀπαθὴς χειρὶ Θεοῦ πέπλασται ἡ ψυχή, ἀλλ' οὖν τῇ παρακοῇ χαυνωθεῖσα καὶ τῇ λίχνῳ σχέσει

XXII Argumentum. *' Rursus sapientiae tuae fructus expetuntur. Cum me ad imperatorem patrem meum contulerim, te quoque brevi huc adfore spero '.*

3. *περὶ* scripsi: *παρὰ* F; est autem, ni fallor, is *εἰς ὃν ἡ ῥίζα* (sc. *Tu*) *τεθάρρηκε* idem ille qui epistulam Blemmidae ferre eumque de rebus agendis certiorem facere debuit. || 5. prius *δέ*] malim *δὴ* vel *μέν*.

XXIII Argumentum. *' Absentia tua dolores meos auget, quos sapientibus sermonibus lenire solebas. Ne me deseras igitur et ora pro me. Faciat Dominus ut brevi una esse possimus '.*

2. *ὅμως*] immo *ὁμοίως*? at cfr. 97. || 3. *ἀπουσία* scripsi: *ἀποῦσα* F.

τῇ πρὸς τὴν ὕλην ἀπατηθεῖσα, καὶ λύπῃ τιτρώσκεται μηδὲν ἄλλο παραμύθιον ἔχουσα καὶ φάρμακον σωστικόν τε καὶ ζωτικόν, ἢ λόγους ἀνδρῶν σοφῶν τῶν εἰλικρινῶς ποθούντων αὐτήν. ὥσπερ αὖ τὸ ἀνάπαλιν· ὁπόταν καὶ γὰρ τῶν φιλούντων δέξηται στέρησιν καὶ μόνωσιν ὑποστῇ, ὡσαύτως δέ γε καὶ φιλικῆς παραμυθίας ἄμοιρος τελεσθῇ, διπλασιάζει τῷ παθήματι πάθημα καὶ τῷ ἄλγει ὀδύνην προστίθησι καὶ τῇ πολλῇ συμφορᾷ πλείστην συμφορὰν ἐπιτίθησι μηδ' ὅλως ἔχουσαν ἔνδοσιν εἰς ἀνάπαυσιν. διὰ τοῦτο ψυχῆς ἀπαράκλητον πάθημα οὐδεὶς θεραπεῦσαι δυνήσεται, ἢ μόνος ὁ νοῦν καὶ ψυχὴν κεκτημένος φιλοσόφως τε καὶ ἁρμονικῶς. μόνος καὶ γὰρ μουσικὸς ὁ φιλόσοφος ἔγνωσται κατὰ Πλάτωνα· κακὸν δὲ οὗτος καὶ ἄμουσον λέγει τὸν ἀφιλόσοφον. | ἐπεὶ γοῦν φιλόσοφός ἐστιν ὁ ἔμμουσος, κακὸν δὲ Πλάτων f. 66r
ὀνομάζει τὸν ἄμουσον, ἔστι κακὸς ὄντως ὁ μὴ φιλόσοφος· καὶ γὰρ φιλοσόφου ψυχὴ οἱονεὶ χερουβικὸν ὄργανον, δι' οὗ νοερῶς ποικίλαις δοξολογίαις ὑμνεῖται ἡ θεία καὶ ὑπερανφκισμένη ἐξόχως καὶ ἀσυγκρίτως πάντων Τριάς, μηδὲν ἔχουσα εἰς ἑαυτῆς ἔφεσιν ἕτερον ἰσορρεπὲς ἐφετόν, ὡς τὸ φιλοσόφων λόγοις ὑμνεῖσθαί τε καὶ ἐγκωμάζεσθαι. καὶ γὰρ πάντων οὖσα κυρία τὰς ἀπαρχὰς τῶν κυριευομένων ἕλκει πρὸς ἑαυτήν, ἵνα κἀκ τούτου ἑπομένως ἁπάντων κυριεύῃ. διττῶν καὶ γὰρ ὄντων πραγμάτων, τοῦ ἄρχοντός τε καὶ ἀρχομένου φημί, οὐδὲν τούτοις γενήσεται πρὸς συγγένειαν, ἢ ὅπερ ἐστὶ μεσότης τῶν ἀμφωτέρων· τοῦτο δέ ἐστι τὸ τῶν ἄκρων ψαύειν τῶν ἑαυτοῦ καὶ τὰ ἀμφότερα τῇ συμφυΐᾳ ἑνοῦν· δι' οὗ καὶ τὸ τελειοποιοῦν μέρος τῆς τελεταρχικῆς τελειοποιήσεως συνενοῖ τὰ ἀμφότερα εἰς ἀπαρτισμὸν ὄντως τῆς προσφάτου τοῦ συγγενοῦς αὐτοῦ συγγενείας, ἀπαρτίσαν ταύτην καὶ τελειοποιουμένην ὄντως ἀπεργασάμενον εἰς δόξαν Χριστοῦ. τοῦτο δὲ οὐδὲν ἄλλο ἐστὶν ἢ πνεῦμα Θεοῦ, ὅπερ ἐστὶν οἰκείωσις θνητῶν πρὸς Θεόν. αὐτὸς καὶ γὰρ ὁ Λόγος καὶ Θεὸς | καὶ f. 66v
Πνεύματι συμφυὴς μέχρι δούλου συγκαταβάς, συνῆψε τὰ διστάμενα συνεργίᾳ τοῦ οἰκείου αὐτοῦ πνεύματος· καὶ τῶν διχῇ φρονούντων τὴν ἕνωσιν κατεσκεύασε· καὶ τῇ πηγῇ τῆς αὐτοῦ σοφίας τε καὶ δυνάμεως τὰ ὑλικὰ σκεύη τοῖς ἀύλοις συναυλίζεσθαι κατηξίωσε, τὸ καινότατόν τε καὶ ὄντως τοῖς γενῶς φρονοῦσιν ἀδύνατον. καὶ γὰρ ὁπόταν ψυχὴ συγχωσθῇ τῷ χοΐ, τῇ ὑλώδει μοίρᾳ φημί, οὔκουν ἀνανεύει

22. Soph. 259 e. Tim. 73 a. || 33. immo ψαῦον. || 36. malim τῆς τοῦ προσφάτου συγγενοῦς, nam de baptismate agitur. || 42. αὐτ- F. || 45. ὑλώδη μοίρα (οἱ corr.) F.

θεάσασθαι τὰ τῆς θείας δυνάμεως θεῖα τερατουργήματα· διὸ καὶ μένει ἐν γεηροῖς. ἀλλ' αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος, ἡ τῶν πενθούντων παραμυθία, ἡ τῶν ἀπηλπισμένων ἐλπίς, ἡ τῶν τετυφλωμένων τῇ ἁμαρτίᾳ καθαρίευσις, ἡ τῆς λύπης εὐθυμία, ἡ τῆς πικρίας τῶν ἁμαρτημάτων σωτηριώδους γλυκύτητος ἡδονή, ὁ πάντων κτίστης τε καὶ παραγωγεύς, ταπείνωσιν κατεδέξατο καὶ σὰρξ ἐγεγόνει, καὶ πρὸς Θεὸν τὴν σάρκα συνήνωσε, καὶ τοὺς πόρρω δωσταμένους τε καὶ ἀντικειμένους τῇ τούτου ἀρχῇ ὡς υἱὸς καθυπέταξε, στρατοπεδαρχήσας ἀρίστως καὶ κυβερνήσας τὰ τῆς εὐολίσθου φύσεως ἀτίθασσα ὄντως ὁρμήματα. διὰ τοῦτο γοῦν πάντα ὑποτάξας ὑπὸ τοὺς πόδας τοῦ οἰκείου πατρὸς καὶ τὴν φύσιν πᾶσαν τούτῳ, τοῦτῳ προσαγαγὼν ὡς καλὴ κεφαλὴ καὶ μέλος
f. 67r ὢν | πάσης τῆς σωζομένης ἀνδρωπίνης διαρτίας τὸ ἀρχικώτατον, αὐτὸς ὑπετάγη· τῷ ὑποτάξαντι αὐτῷ τὰ πάντα, ἵνα τῇ μεσότητι ἁρμόσας τὰ δωστάμενα, σωτὴρ καὶ πρὸς Θεὸν μεσίτης ἀναφανῇ. ὃ καὶ τελειώσας πᾶσιν ὑπέδειξε· καί γε πάντων κυριεύσας καὶ βασιλεύσας ὁ φύσει καθεστηκὼς βασιλεύς, παραμυθεῖται καθ' ἑκάστην ἡμᾶς τοὺς καθημένους ἐπ' ἐλπίδι θανάτου διὰ τῶν ὑποδειγματικῶς μιμουμένων αὐτόν, εἴτουν εἰποιμι τῶν σοφῶν· καὶ γὰρ οὐδεὶς μιμήσεται τὸ σοφόν, ἢ μόνος ὁ ὁμοιούμενος τῷ Θεῷ, καὶ οὐδεὶς ἄλλος ὡς δυνατὸν μιμήσεται τὸν Θεόν, ἢ μόνος ὁ ὁμοιούμενος τῷ σοφῷ. τί καὶ γὰρ πρὸς θείκὴν ὑπεροχὴν εἰκονίσει τις τῶν ἀνθρωπίνων, ἢ μόνον ἀληθῶς τὸ σοφόν; σοφίᾳ καὶ γὰρ ὁ Λόγος ἅπαντα ἐδημιούργησεν, ἐξ οὐκ ὄντος ταῦτα παραγαγών· καὶ σοφίᾳ πᾶς ἀνὴρ ἀγαθὸς ἀνάγεται νοερῶς πρὸς Θεόν. διὰ τοῦτο καὶ σοφοὺς ὁ μόνος Σοφὸς εἰς ἡμετέραν παραμυθίαν τῶν ἀσόφων διέθετο, ἵνα διὰ τῆς αὐτῶν ἐπιστημονικῆς οἰκονομίας τε καὶ κατασκευῆς τὰ δυσαχθῆ τῆς λύπης ἐκφεύγωμεν ἄρκυα καὶ τῶν θανατηρῶν πυλῶν ταύτης μὴ ψαύωμεν. οὐδὲν καὶ γὰρ ἕτερον ἀναρρωννύει
f. 67v ψυχήν, ὡς λόγος ὄντως σοφοῦ. διὰ τοῦτο κἀγὼ | σήμερον, ὁ τῇ λύπῃ τρωθεὶς καὶ τὰ ἔγκατα διόλου διαλυθεὶς καὶ τὰς καρδιακὰς δυνάμεις τῇ ἀθυμίᾳ ἀπολωληκώς, οὐδὲν ἄλλο εὗρον ἀναψυχήν, ἢ τὸ τῆς σῆς ἡδυτάτης γλώττης πνεῦμα, ὦ πάτερ θεῖε καὶ πάνσοφε. τοῦτό μοι καθέστηκε παρηγόρημα, τοῦτό μοί ἐστι πνεῦμα ζωώσεως, τοῦτό μου τοὺς καρδιακοὺς τιναγμοὺς καταστέλλει, τοῦτό μου ἀμβλύνει τὸ τῆς λύπης πάθος ὁρμύτατον, τοῦτό μου τὸν ζωτικὸν τόνον τῆς ψυχῆς

---

56. alterum τούτῳ delendum? || 61 sqq. Psalm. CVI, 10. Hesai. IX, 2. || 75. ἀπολελωκὼς F. || 78. τιναγμοὺς scripsi: τινεσμούς F.

καὶ σαρκὸς συγκρατεῖ, τοῦτό μου ἐκ σχισμῶν ὀρέων θανατηρῶν
ἀνάγει τὴν κεφαλήν, τοῦτό μου περιθάλπει τὰ αἰσθητήρια ζωπυροῦν
καὶ ζωογονοῦν καὶ τῆς νεκρώδους μοίρας ἀπολυτρούμενον, τοῦτό μοι
ῥαίνει δρόσον ἐωθινὴν καὶ ὑετὸν πρώιμόν τε καὶ ὄψιμον ἀμφοτέ-
ρως ἀναρρωννύων με, τοῦτό μου τὴν στοιχειακὴν οὐσίαν συγκρατεῖ
καὶ συνδέει, ἵνα μὴ πρὸ καιροῦ τῷ μόρῳ τῇ ταύτης διαλύσει παρα-
δοθῶ, καὶ ἁπλῶς εἰπεῖν τοῦτό μοι τὸ ζῆν ἐχαρίσατο. ἐπειδὴ γὰρ καὶ
αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος οὐκ ἐν ἄλλῳ κτίσματι ἐπευφραίνεται, ἢ ἐν
μόνῳ τῷ λογικῷ κτισθέντι παρ' αὐτοῦ, καὶ τοῖς τούτου ἐπεντρυφᾷ
λογίοις καὶ ἀγάλλεται, τί οὐκ ἂν ἡμεῖς οἱ βροτοὶ διὰ τοῦτο εὑρήσαμεν
παραμύθιον λόγοις ἀνδρῶν σοφῶν ἐντυγχάνοντες; διὰ τοῦτο γοῦν σοι
κἀγώ, τῇ ἐμῇ παραμυθίᾳ, ἐντυχὼν | ἀνέζησα τῇ ψυχῇ, ἀνεκάθισα τῷ f. 68r
νοΐ, ἀνεκουφίσθην ἐκ τῆς ἀπείρου μου συμφορᾶς. ἀλλ' ὦ τοῦ θαύμα-
τος· οἴμοι, τί πέπονθα; πελαγίζων γὰρ ἐν δεινοῖς, καὶ ταῖς τῶν πνευ-
μάτων ἐναντιότησι κινδυνεύων τὰ τῆς νεώς, καὶ οἰακιστικῆς πάσης
ἐλπίδος ἀπεγνωκώς, ἔτυχον λιμένος τοῦ σωστικοῦ, σοῦ, ᾧ πάντα ἐλ-
λιμενίζονται τὰ ἐμά, πολλῆς εὐμοιρήσας τῆς γαληνότητος, πολλῆς
δ' ὅμως καὶ τῆς ἐλπίδος τῆς σωτηρίας μου. ἀλλ' ἐπειδὴ ἀπέτυχον τοῦ
σκοποῦ, οὐκ οἶδα τίνι μελήσεται ἀπάρτι τῶν κατ' ἐμέ, πνεύμασι συνω-
θουμένων, πειρασμοῖς περιστοιχιζομένων καὶ κύμασι λυπηροῖς ταραττ-
τομένων κατὰ πολύ. τριαίνης καὶ γὰρ δίκην ἐδεξάμην τὸν σὸν χωρι-
σμόν, οὐ σαρκικῶς τιτρωσκούσης καὶ θανατούσης με, ἀλλὰ τὰς ψυ-
χικὰς ζωὰς ἐκτεμνούσης μου καὶ ἐν χωρίοις ᾅδου παραπεμπούσης με.
ἀλλ' ἰδοὺ καὶ τῇ σῇ ἀπουσίᾳ λαβὼν χώραν ὁ πειρασμὸς ταῖς διπλόαις
συνωθεῖ με τῶν λογισμῶν ἀγχονήσων με, εἰ δυνήσεται· καίπερ, εἰ καὶ
τὸ τῆς σῆς φωνῆς ἀπήχημα τὰ τῆς λύπης πνεύματά τε καὶ ἀλαλάγ-
ματα διεσκέδασεν, ἀλλ' οὖν τῷ σῷ χωρισμῷ τὰ τοῦ δρυμῶνος θηρία
αἰφνης τρύζοντα τοὺς ὀδόντας ἐπέστησαν σπαράττειν με θέλοντα·
διότι καὶ ποιμαντικῆς | σῆς φυλακῆς ἐστερημένος καθεστηκὼς μένω f. 68v
πᾶσιν εὐάλωτος, λογισμοῖς μὲν ὡς περισυρόμενος, στεναγμοῖς δὲ ὡς
σπαραττόμενος, λύπῃ τε κατατιτρωσκόμενος καὶ παρὰ πάντων τῶν
ἀτιθάσσων τῆς ἀθυμίας στρατοπέδων ὡς εἰπεῖν ἐμπαιζόμενος. διὰ τοῦτο

---

80. cfr. Ionas II, 7. || 83. cfr. Iacobi Epist. V, 7. || 93 sqq. cfr. Psalm. CVI, 29 sq. || 105 sq. ἀλλαλάγματα F. || 107. cfr. Ev. Marc. IX, 17. || 108. cfr. Ev. Marc. VI, 34.

ἐγενήθην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας τῷ σῷ χωρισμῷ καὶ ὡς σκεῦος νεκρόν τε καὶ ἀπολωλός, σοῦ τῆς ἐμῆς ἐστερημένος ἀναψυχῆς. σὺ δέ, ἄνθρωπε τοῦ Θεοῦ, γλύκανόν με λόγων ἐδέσμασιν ἐν τῷ οἴκῳ τῆς σῆς ἀρετῆς καὶ ἀπολωλότα ἀνάλαβε καὶ ἐν σιτισμοῖς λόγων σῶν ζώωσον τὸ νεκροποιὸν μέρος τῆς λύπης, καὶ ἔγειρόν με ἐκ λάκκου ταλαιπωρίας, τῶν στεναγμῶν, καὶ ἀπὸ πηλοῦ ἰλύος, δηλονότι τῆς συμφορᾶς. διότι εἰσήλθοσαν ὕδατα ἕως ψυχῆς μου συρρέοντα καταποντῶσαι αὐτήν. ἀλλὰ σύ, πάτερ, ὡς ἵππος οἷα Χριστοῦ, τούτων εἰσελθε μέσον καὶ σπουδῇ αὐτὰ διατάραξον ἐν ὡραίῳ ποδὶ τῷ θείῳ τε καὶ εὐαγγελικῷ· καὶ λίθῳ τῆς σῆς ἀγάπης καὶ παραμυθίας με στήριξον, ἵνα μὴ προσκόψω πρὸς λύπης λίθον τὸν πόδα μου, καὶ ἐπὶ ἀσπίδα καὶ βασιλίσκον, δηλαδὴ συμφορὰν καὶ τὸν πειρασμόν, ἐπιβῶ δυνάμει Χριστοῦ κυβερνώμενος σαῖς εὐχαῖς. ταῦτά
f. 69r σοι ἔτι προσφθέγγομαι τῷ τῆς ἐμῆς | λιθοκολλήτῳ ψυχῆς διαδήματι. εἰ δὲ καὶ μὴ κατὰ λόγον τὰ λεχθέντα, ἀλλ' ὅμως οἶδα σοὶ φανήσονται ποθεινά, ὡς ἐκ σοῦ τὰ ἐμὰ πάντα ἐσχηκότα τὰς ἀφορμάς. σὺ δέ, πατὴρ θεῖε καὶ πάνσοφε, τῇ θείᾳ Τριάδι αἴτησον τῆς ἐμῆς λύπης ἀπαλλαγήν. καὶ γὰρ οἶδα ὃ αἰτήσῃ γενήσεται. ὁ τῶν σοφῶν δὲ δημιουργὸς ἐν βραχεῖ χρόνῳ ἰδεῖν ἀλλήλους παρέξειεν εἰς λογικὴν ἡδονήν, ψυχικὴν χαρμονὴν καὶ φιλικὴν ἕνωσιν καὶ ἀνάκρασιν.

112 sq. Psalm. XXX, 13. || 114 sq. cfr. Psalm. LIV, 14 sq. || 116. cfr. Psalm. CXVIII, 25. || 117. Psalm. XXXIX, 2. || 118. Psalm. LXVIII, 2. || 120 sq. Paul. Rom. X, 15. || 122. sq. cfr. Evang. Matth. IV 6. Luc. IV, 11. || 123 sq. Psalm. XC, 13.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXIV. Πάτερ ἅγιε, τῇ παρούσῃ δευτέρᾳ τὴν ἐμὴν παρελθοῦσαν ψυχὴν παρέλειψα παρελθών, μὴ μνησθεὶς ὅλως φιλίας δεσμῶν, μὴ ναρκωθεὶς πόδας εἰς τὴν διάζευξιν, μὴ τρωθεὶς σπλάγχνα καὶ καρδίαν μὴ διαρραγείς, μὴ ὀστᾶ διαρρήξας, μὴ διαλύσας τὴν τῶν ἁρμῶν ἁρμονίαν, ἐπεὶ καὶ τῆς ταύτης ἐλύθην συμφυΐας τῆς γλυκυτάτης, μὴ σάρκας ἐκρεύσας καὶ νεῦρα τρώσας καὶ ἀρτηρίας ἀπολωλεκώς, μὴ μυε-

XXIV Argumentum. ' *Dolore paene ad exitium redactus sum. Tu me solari velis* '.

6. ἐκρεύσας et ἀπολελωκώς F.

λους ἐκμυελισθεὶς καὶ ὅλην τὴν στοιχειακὴν οὐσίαν ἀνατραπείς, μὴ ὅλον σῶμα ὥσπερ* τι ἀπορρίψας καὶ τῇ ψυχῇ κούφως πρὸς τὴν ὑπὲρ ψυχῆς ψυχήν μου δραμών· μὴ ὅλως τι τῶν τοιούτων ἀπεργασάμενος· ἀλλ' ἀνέτῳ ποδὶ καὶ λιθίνῃ καρδίᾳ, καὶ ὥσπερ μηδὲ ταύτην ἰδὼν πώποτε, | παρῆλθον ὁ δύστηνος νόμον παριδὼν φιλίας αὐτῆς. διὰ τοῦτο f. 69v ἐγὼ μὲν εἰπεῖν τὰ ἐμὰ ἀτοπήματα ὅλως ἐρυθριῶ, συγκαλύπτων ταῦτα ἐθελοντί· αὐτὸς δὲ τύμβος καὶ χοῦς καὶ φῶς καὶ ἀὴρ καὶ ἥλιος μαρτυροῦσι, τὰ μὲν ὡς ἐμοῦ στερισκόμενα, τὴν ἐμὴν δὲ ψυχὴν συγκαλύπτοντα (ἔδει γάρ με σὺν αὐτῇ ἔνδοθεν εἶναι αὐτῶν), τὰ δὲ ὡς ὁρῶντά με ζῶντα μέσον αὐτῶν καὶ μὴ πρὸς τὴν τοῦ σώματός μου ὄντως ζωὴν ἀπερχόμενον. διὰ τοῦτο παρέρχομαι τόπους ἐν ἀτιμίᾳ, ὀνειδιζόμενος παρ' αὐτῶν· καὶ γὰρ ὡς ἔθος ἡνωμένον ἐνορῶντες ἰδεῖν με τῇ ἐμῇ ψυχῇ, μὴ εὐμοιροῦντες δέ, τὰς ὄψεις μοι ἀποστρέφουσιν, ὀνειδίζοντές με καὶ διασύροντες· τί διαπράξομαι; ἀπόλωλα καὶ ψυχὴν καὶ σῶμα· σὺν τῇ τιμῇ πάντων ἐστέρημαι· ἐκ πάντων πένης καθέστηκα, διότι καὶ νεκρὸν σῶμα ζῶσι συναγελαζόμενον ἄτιμόν ἐστι κατὰ πολύ. κατὰ ταὐτὸ γοῦν πασῶν κἀγὼ τῶν τὴν ζωήν μου συγκρατουσῶν ἐστερημένος ἐνυπάρχω ζωῶν, νεκρὸς ὄντως πορεύομαι, πάντων καθεστὼς πενέστατός τε καὶ ἀτιμότατος. ἀλλὰ τί εἶπω; καὶ τί σοι τῷ πατρί μου βοήσομαι; οὐδὲν ἄλλο ἢ " ὁδός μοι χεῖρα βοηθείας διὰ τῆς σῆς ἀπείρου σοφίας καὶ φώτισόν μου τοὺς νοεροὺς καὶ | σωματικοὺς f. 70r ὀφθαλμοὺς καὶ τὴν τῶν δακρύων πλήμμυραν μὴ ἀνακόψῃς, ἀλλὰ τὴν ταύτης πρὸς μικρὸν δρομύτητα ἄμβλυνον. μικροῦ καὶ γὰρ τὰ νῦν τοὺς σωματικοὺς ἀπόλωλα ὀφθαλμούς. καὶ παντοίως τὸ λυσιτελές μοι ποίησον, ὡς πατὴρ γνήσιος τῷ γνησιωτάτῳ γόνῳ αὐτοῦ ".

Τῷ δὲ γράμματι τῆς σῆς Ἁγιότητος ἐξερχόμενος ἐντυχών, καὶ παρὰ τῆς λύπης νενεκρωμένος ὢν τὰ πάμπολλα, ἀνέγνων μέν, οὐκουν δὲ εἰλικρινῶς συνῆκα τὰ ἐν αὐτῷ, μᾶλλον δέ γε τὰ τελευταῖα· πολὺ γὰρ τὸ τῆς σοφίας οἰκονομικόν τε καὶ εὔστροφον· τὸ δὲ ἡμέτερον θεωρητικὸν ἀμυδρόν. διὰ τοῦτο καὶ χρόνου δεῖται καὶ σκέψεως νοῆσαι ὅλως τι μέρος λόγων τῶν σῶν. οὗ χάριν συγγνώμην αἰτῶ. ὁ Λόγος δὲ τοῦ Πατρὸς διὰ τῆς δι' αὐτοῦ συμφυοῦς δυνάμεως ἀξιώσαι με ἰδεῖν σε ἐν χαρμονῇ, τὸ τῆς ἐμῆς ψυχῆς θεῖον ἐντρύφημα.

---

8. *φορτίον* vel tale quid post vel ante τι excidisse puto. || 10. cfr. Jezech. XI, 19. XXXVI, 26. *ἰδὼν* scripsi: *εἰδὼς* corr. ex *ἰδὼν* F. || 26. cfr. Psalm. LXXXVIII, 22. LXXIX, 18. || 27 sq. Psalm. XII, 4. || 38. *ἀξιῶσαι* F.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXV. Πάντα ὅσα ἂν εἰς Κυρίου δόξαν καὶ τοῦ ἀληθινοῦ λόγου τιμὴν ἡ τῶν ἀνθρώπων φύσις ποιεῖ, εἰκότως ἀπονέμει τὴν τούτου χάριν τῷ πλάστῃ ταύτης καὶ ποιητῇ, γινώσκουσα ἀληθῶς τὸν ὑποτάξαντα ταύτῃ
f. 70v τὰ πάντα, λογικήν τε ταύτην | ἀπεργασάμενον, καὶ κατὰ χάριν καὶ φιλανθρωπίας ὑπερβολὴν ταύτην πάντων ἄλλων κτισμάτων ὑπερεξάραντα (διὸ καὶ τεκμηριάζειν ἰωμεν ἐν ὑλικοῖς δόγμασι τὴν προαίρεσιν πρὸς τὸν ὑποτάξαντα ταύτῃ τὰ πάντα καὶ φέρειν δῶρα τῷ μηδενὸς ὑλικοῦ ἔχοντι ἐφεσιν), δεικνύουσα ἐναργῶς τὴν πρὸς τὸν κτίστην ταύτης εἰλικρινεστάτην εὔνοιαν καὶ διάθεσιν. τίς καὶ γὰρ λάβῃ κατὰ νοῦν τὸν τὰ πάντα παραγαγόντα ἐκ τῆς τῶν πάντων περιουσίας ἔχειν ἔφεσιν εἰσφορᾶς; καὶ γὰρ ἐξ αὐτοῦ καὶ εἰς αὐτὸν καὶ δι' αὐτοῦ τὰ πάντα ἐγένοντο, ἐπεὶ καὶ πάντων ἐστὶ παραγωγεύς. εἰ δὲ πάντων ἐστὶ παραγωγεὺς καὶ δι' αὐτοῦ τὰ πάντα ἐγένοντο, τάχ' ἂν τις εἴπῃ, πάντα εἰσὶν ὡς ἐξ αὐτοῦ ἑαυτοῦ· τὸ γὰρ " πάντα δι' αὐτοῦ ἐγένοντο " καὶ τὸ " πάντα εἰσὶν ἐξ αὐτοῦ " δεικνυσιν ἀληθῶς τὴν τῶν πάντων πρὸς αὐτὸν οἰκείωσιν δουλικήν. διόπερ καὶ βασιλικῶς ὑπερέχων καὶ δεσποτικῶς κυριεύων καὶ δημιουργικῶς πάντων ὑπερκαθήμενος, ἐν πᾶσιν ἔχει τὸ αὐτεξούσιον, μηδενὸς ἐκ τινος ὅλως ἐπιδεόμενος ὁ πάντων κτίστης καὶ κύριος, ἢ μόνου διὰ τὴν ἡμῶν σωτηρίαν τοῦ τῆς ἐμῆς προαιρέσεως αὐθορμήτου τε καὶ ἀνυποκρίτου καὶ τοῦ εὖ ποιεῖν ἵνα καὶ οὗτος ἡμᾶς εὖ ποιήσῃ ἐν ἡμέρᾳ τῆς κρίσεως. διὰ τοῦτο καὶ " ὁ δεχόμενος
f. 71r προφήτην | μισθὸν λήψεται τὸν προφητικόν " ἐν Εὐαγγελίοις ὁ μόνος Σοφὸς ἀπεφήνατο· καὶ ὁ προφήτην ψυχαγωγῶν κατὰ τὸν Ἥλιοὺ τὸν ψυχικὸν οὐδέποτε τούτου καμψάκην τῆς τοῦ Θεοῦ

XXV Argumentum. *' Quae tibi dono, grato animo dono, et quamvis caduca et vulgaria sint, meum tamen in te amorem testantur '.*

6. *ἰωμεν* ex *εἰωμεν* corr. F.; num *εἰώ<θα>μεν*? *δόγμασι*] num *δείγμασι*? || 10. *περιουσίας ἔχειν* scripsi: *ἔχειν περιουσίας* F. || 19. *ἐμῆς*] expectes *ἡμῶν* vel *ἡμετέρας*; tamen cfr. 31. || 20 sq. cfr. Ev. Matth. XII, 36 et XXV, 31–46. || 21 sq. Ev. Matth. X, 41. || 24 sq. Reg. III 17, 14. *τούτου* corr. in *τοῦτον* sed man. F; scriptor ipse de constructione incertus fuisse videtur.

φιλανθρωπίας ἐλαττονήσει. κατὰ ταῦτα γοῦν καὶ ὁ σοφὸν τιμῶν καὶ σεβόμενος, καὶ τὴν πρέπουσαν αὐτῷ ἀπονέμων τιμήν, παρ' αὐτῆς τῆς Αὐτοσοφίας οἶδα πρὸς τὸ συμφέρον λάβῃ ἐν καιρῷ τὴν ἀντίχαριν. ἔνθεν τοι καὶ ἡ βασιλεία μου, τὴν πρὸς τὸν ἀνενδεῆ Θεὸν καὶ τοὺς τούτου γνησίους υἱούς, καὶ γε μᾶλλον τοὺς ἐξόχως ὄντας πεφιλημένους αὐτῷ, τὸ εὐνοϊκόν τε καὶ ἐνδιάθετον ἐμφαίνειν ἐθέλουσα καὶ ἐκ σμικροτάτων τινῶν τὸ περὶ τὰ τοιαῦτα διάπυρον τῆς ἐμῆς ἐνδείκνυσθαι προαιρέσεως, δωρεῖται τῷ****

εἰ δὲ καὶ τὸ τῆς δωρεᾶς ποσὸν ἀμυδρὸν καὶ τὸ ποιὸν ὡς ὑλικὸν εὐτελές, ἀλλὰ τὸ τῆς ἀγάπης ἐνδιάθετόν τε καὶ ἔμπυρον οὔτε μὴν ἠρξατο οὔτε περάτωσιν ἔλαβε. διότι καὶ ὅλος ὅλῳ τῷ πανσόφῳ ὅλῃ ψυχῇ ἡ τῆς βασιλείας μου ψυχὴ ταῖς κατὰ μικρὸν προσθήκαις τῆς σχέσεως οἷον εἰπεῖν συνανακραθεῖσα, ψυχὴ μία αἱ ψυχαὶ παρὰ Θεοῦ τῶν | ἀμφοτέρων ἐγένοντο. οὗπερ καὶ γὰρ ἡ ἐμὴ ψυχὴ ἐρᾷ, ἐκείνου καὶ ἡ f. 71v
τούτου ἐρᾷ· καὶ ὁ μυσάττεται, βδελύσσεταί τε καὶ ἀποστρέφεται· καὶ ὁ στέργει, νομοθετεῖ· καὶ ἐν οἷσπερ ἐπεντρυφᾷ καὶ ἀγάλλεται, ἐν αὐτοῖς καὶ αὕτη γέγηθέ τε καὶ τέρπεται· καὶ ἁπλῶς εἰπεῖν τὰ αὐτοῦ πάντα ἐμά εἰσι· καὶ τὰ τῆς βασιλείας μου ἅπαντα τῆς τιμίας αὐτοῦ καὶ πατρικῆς κεφαλῆς καθεστήκασι· καὶ οὐκ ἔστιν οὐδέν, ὃ οὐκ ἔστι τῶν ἀμφοτέρων, εἴπερ ἐστὶν ἀμφοτέρων· ἐπεὶ καὶ λόγος καὶ φιλικὸς σύνδεσμος τὰ ἡμῶν ἅπαντα εἰς ἓν ἐστοιχείωσε συμπήξας ἀρίστως καὶ συνενώσας, καὶ τῆς τῶν βαναύσων τε καὶ καπήλων μοίρας ἀποχωρίσας εἰς λόγου τιμὴν καὶ τῶν τοῦ λόγου ἐντρύφημά τε καὶ ἀγαλλίαμα.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Τῇ πατρικῇ σῇ εὐχῇ ποδηγούμενος ἐν ὑγείᾳ κατέλαβον τὸν Ἑλλήσποντον, ἀγαθέ μοι πάτερ ἁγιώτατε, καὶ τῷ αὐθέντῃ καὶ βασιλεῖ ἡμῶν προσκύνησιν ἀπένειμα τὴν πρόσήκουσαν. ἐξ οὗ πλείστην πλει- XXVI.

---

33. falso initium novae epistulae indicavit librarius verbis τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν: lacunam indicare satis fuit. || 39. μισάττεται F.

XXVI Argumentum. '*Ad Hellespontum incolumis perveni, ibique patrem meum amplexus gaudio summo affectus sum. Acropolitam vidi et cum eo de philosophia disputavi. Tu velim huc adsis quam primum*'.

στάκις εὗρον παραμυθίαν, οὐ μόνον κατὰ ποσόν, ἀλλὰ καὶ κατὰ διαφορὰν ποικιλίας· καὶ ὡς εἰπεῖν παντοίως ὡς Θεοῦ ἐν ἐμοὶ εἰκονίζων τόπον τὸ λυσιτελές μοι ἐποίησε. διὸ καθ' ἑκάστην ἐξ ἐπιδόσεως προ-
f. 72r βαίνοντες | εἰς ἐπίδοσιν διὰ τῶν σῶν εὐχῶν, τῷ Θεῷ καὶ τῷ βασιλεῖ μονονουχὶ θύομεν τὴν ψυχήν.

Εὕρομεν δὲ καὶ τὸν πάνσοφον Ἀκροπολίτην ἐναβρυνόμενον τὰ πολλὰ ἐκ τε τῶν ὧν πρότερον ἔγνως ἐκ τε τῆς τόσσης ἀποδημίας· καὶ ἀμφοτέρωθεν ἐκ τῆς προαιρέσεως ἡμῶν τῇ λυδίᾳ λίθῳ τὰ ἐμὰ καὶ αὐτοῦ φιλόσοφα δόγματα καὶ θεωρήματα προσεγγισάντων, ὁ χρυσὸς ἐστιλβώθη καὶ ὁ χαλκὸς ἦχον ἐκπέμπει κενόν. εἰς τόσσον δὲ τὰ ἡμέτερα.

Σὺ δέ, ἅγιέ μου πάτερ, εἰ ἐν ὑγείᾳ διάγεις, ἐλθὲ εἰς τὴν τοῦ αὐθέντου μου τοῦ βασιλέως συνάντησιν, ὅπως καὶ ἄξιον τῆς σῆς σοφίας ἔργον ποιήσῃς καὶ θεραπεύσῃς τὸν βασιλέα, ἰδῇς δὲ καὶ ἡμᾶς, οὓς ὑπὲρ τὸν κόσμον πάντα ἠγάπησας καὶ παρέπεισας ἀνταποδιδόναι σοι τὴν ἀγάπην καρδιακῶς· ἧς οὐδέποτε χωρισθείημεν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXVII. Συνημμένον ἀεὶ τῇ διαστάσει ἐστὶ τὸ ἀκοινώνητον, τοῖς δὲ ἀκοινωνήτως ἔχουσι τῇ ἀποδιαστάσει τὸ ἀπροσαύδητον ἕπεται· ἐκεῖθεν δ' αὖ τῇ καταρκτικῇ ταύτῃ αἰτίᾳ τὰ νοήματα πάσχουσι τὴν διαίρεσιν· τούτου δὲ γεγονότος ἡ τῶν ὁμοψύχων καὶ ὁμοπνόων καὶ πᾶσιν ὄν-
f. 72v των ἓν | προσλαλιὰ ναρκᾷ πρὸς μικρόν· οὐ μὲν οὖν καθ' ὑψηλὴν διάνοιαν καὶ φιλικὴν ἁρμονίαν καὶ τὴν διὰ πασῶν νοημάτων ἀνθοῦσαν φιλικὴν καὶ μελῳδοῦσαν καὶ κελαδοῦσαν ἕνωσιν καὶ ἀνάκρασιν· οὔτε μὴν κατὰ λογικὴν ἐπιστήμην καὶ παιδείας ἔνδοξον θεωρίαν καὶ ᾧ

---

5. *ποικιλλίας* F. || 6. *ὡς Θεοῦ*] haud scio utrum scribendum sit *ὁ Θεοῦ*: 'is qui mihi Dei paene loco est' (pater meus) an potius *ὦ Θεοῦ*: 'tu qui etc.'.

XXVII Argumentum. *'Cum locorum distantia colloquium nobis ademptum sit, Hagiotheodoritam familiarissimum ad te mitto, qui te de omnibus meis rebus certiorem faciat'.*

7. *φιλικὴν* delendum? *μελλωδοῦσαν καὶ κελλαδοῦσαν* F.

πάντων ἄλλων ἐξῃρημένοι οἱ ταῦτ' ἔχοντες ὑπάρχουσι, τῇ τιμῇ· ἀλλὰ
10 τὴν ὑλικωτέραν καὶ κοσμικωτέραν, εἰτοῦν εἰπεῖν κυριώτερον, οἰκονομικωτέραν προσλαλιάν· ἵν' ἐκ ταύτης καθοπλίζωνται πρὸς τὰς μεθοδίας τοῦ κόσμου τούτου, δι' ἧς καὶ τὸν καιρὸν ἐξαγοράζουσι κατὰ τὸν θεῖον Ἀπόστολον. ταύτῃ οὖν τῇ διαστάσει ἔστι τὸ ὑλικὸν ἀκοινώνητον· τῇ δὲ ἐν νοὶ ξυμπνοίᾳ καὶ ὁμοτροπίᾳ ἔστι τὸ με-
15 γαλοπρεπὲς καὶ ἡ φυσικὴ νοητὴ ἀδιάρρηκτος ἕνωσις. τοίνυν οὖν διὰ ταῦτα καὶ τὰ τοιαῦτα εἰς τὴν νῦν κατάρχουσαν ἡμῶν ὑλικὴν καὶ καιρικὴν ἀποδιάστασιν ὥσπερ τινὰ μεσεμβολοῦντα σύνδεσμον λογικόν, τὸν ἐμὸν τῆς γλώττης καὶ τῆς καρδίας καὶ τοῦ νοὸς νοημάτων ἐπιστήμονα θαυμαστὸν γραφέα τε ἀπέστειλα, τὸν φιλητὸν Ἁγιοθεοδω-
20 ρίτην· ὃς καὶ τὰ ἐμὰ πάντα ἐξαγγελεῖ σοι ἀκριβέστερον· οἷς χαίρεις, οἷς γέγηθας, καὶ ἃ ὑπὲρ τὸν ὅλον ἐγκόσμιον κόσμον κατὰ πολὺ προτετίμηκας. δέδεξο τοῦτον ὁ ὑψηλός, ἐκ σοῦ | μὲν ὄντα, σὸν δὲ ὄντα f. 73r
ὅτι τοῦ σοῦ, καὶ ἀμφοτέρωθεν ὅλον σόν· καὶ ἐκ τῆς αὐτοῦ λαλιᾶς
25 ἐμὲ τὸν ὅλον σὸν ἀναπόλησον κατὰ νοῦν, καὶ τῇ πολλαπλασιάσει τῶν ἐνθυμήσεων τὴν ἐμὴν μορφὴν ἀνάμαξε ἐκ τῶν λόγων τοῦ σταλέντος μοι ποθητοῦ, καὶ ἀγκάλισαι ταύτην γνησίως καὶ πατρικῶς, ἵν' ἐξ ἀνάγκης ἐκ τῆς σῆς χειροθετήσεως ἀπαλείψῃς ταύτης τὰς ψυχικὰς ἀλγηδόνας τε καὶ σωματικάς· ὥστε καὶ τοῦ φοινικοῦ τῆς ἁμαρτίας καθαριεύσας καὶ ἀποπλύνας αὐτήν, τῆς σῆς ἡλιοειδείας μεταδώσειάς τε
30 καὶ λαμπρότητος, καὶ φωτίσῃς τὸν λόγον τὸν ἐμὸν τῇ ἐπαθέσει τῶν σῶν χειρῶν, καὶ ἑλκύσῃς καὶ συνενώσῃς ἐμὲ πρὸς σέ, καὶ τὴν διάστασιν λύσειας καὶ συνάψῃς τὸν νῦν μεριστὸν εἰς ταυτότητα. συνδρομῆς καὶ ἀγαλλιάσεως καὶ χαρᾶς ἐν ἐκείνῃ τῇ ὥρᾳ τύχομεν ἅπαντες.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Παιόνειον ἱερὸν ἢ μᾶλλον παλινῳδίαν τῶν ἀστάτων λόγων τὴν **XXVIII**
σὴν ὅπα, ὦ καλὲ καγαθὲ πάτερ, χθὲς ἐνόμισά που καὶ πρότριτα·

---

9. ἐξῃρημένην F, quod vix feras, si ταύτην (sc. ἐπιστήμην vel θεωρίαν) pro ταῦτ' scribatur. || 12. Paul. Eph. V, 16. Col. IV, 5. || 19. post γραφέα τε aliquid excidisse arbitror. || 20. χαίροις F; vix recte. || 28. num φονικοῦ?

XXVIII Argumentum ' *Tua verba optime refellerunt hominem subdolum et inanem, qui sentiet iam quantum intersit inter divinam philosophiam et vanam doctrinam* '.

1. immo παιώνειον.

κέρδιον γὰρ ἐνηχεῖσθαι ταύτης, ἢ κερδίστου κερασβόλα οὔατα ἐμβαλεῖν ἀπηχήματα. κέρκωψ γὰρ ὁ λέγων καὶ τὰ λεγόμενα ὅμοια· κεστὸς
f. 78v γὰρ ἀπρεπὴς μάλιστα ἴβεος ἀποδίσταται· τύχην τε | πᾶς ὁ μετειληχὼς κατάκρως ἔλκει, ὃς καὶ γυλλίῳ φέρεσθαι δεῖ καὶ Θέμιδι παρακρούεσθαι, τὰ ἀκίχητα παίζων καὶ παίζεσθαι. ἄνθρωπος γὰρ βρικαλόβιος οὔποτ' ἂν νουνεχής, ἀλλὰ πλεῖστά γε ἀλογώτατος· οὗ τινος αἱ τιμωρίαι πολλαὶ ἐκ Διός, ἐξ Ἑρμοῦ, ἐκ μερόπων αὐτῶν. ἡμῖν δὲ πλεῖστοι οἱ στέφανοι· ὅτι Λόγου ἔρνη ἐσμέν, τοῦ Ἐριουνίου, τοῦ διδόντος ὑπὲρ ἡμῶν ἑαυτὸν μέχρι κατάρας τε καὶ σταυροῦ, οὗ κτῆμα καὶ κτίσμα καὶ ποίημα ὁ τῆς φιλοσοφίας λόγος ἐστίν· ὃν σὺ μὲν ἐξ ἐκείνου μεμάθηκας διὰ τὸ ἄκρον τῆς ἐπιστήμης σου, ἐγὼ δ' ἐξ ἐκείνου διὰ σοῦ. ὅσα δέ μοι λείπει πρὸς ἐντελέχειαν ὁ αὐτὸς εἰδοποίησον σὺ εἰς αἰσχύνην τῶν μὴ τιμώντων τὴν λογιότητα.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXIX. Πολλῶν μοι αἰτιαμάτων ὁ γύργαθος παραίτιος γέγονε, πολλῶν μοι αἱ λέξεις σφαλμάτων γεγόνασι πρόξενοι, μεγάλως αἱ ὑποδιαστολαὶ τὴν γνῶσίν μου ἔσεισαν. ὁ μὲν γὰρ εἰς ἔνδειξιν ἀγαγών με, μᾶλλον δὲ ἀπατήσων με, ἐπιδεικτικώτερον γράφειν καὶ λέξεσι κομψοτέ-

---

3. *κερασβόλα*] sc. *σκληρὰ καὶ ἀπαίδευτα:* cfr. Lex. Phot. et Schol. Plat. Legg. IX, 853 D. || 4. *κέρκωψ* F, quod voluit Voss. ad Hesych. 2300, 35. Ceterum apparet hic quoque de episcopo ephesio agi: cfr. Zenob. I, 5 et quae ibi Leutschius adnotavit. *κεστός* = *ὄφις* (sc. quia pictus)? nam *ἴβις* videtur positum, ut apud Photium, tamquam *ὄρνεον ὀφιοφάγον*. || 6. *γυλλίῳ*] immo *γυλίῳ* vel *γυλιῷ: γυλίῳ φέρεσθαι* est fortasse *λέξις περὶ ἀδυνάτου*, ut *ἀκίχητα* ostendit; cfr. Plut. Prov. Boiss. 13 (Corp. Paroem. I 345, 1): sic etiam *θέμιδι παρακρούεσθαι* fuerit quasi *τῇ δικῇ ἀδικεῖσθαι*. (v. Hesych. *παρακρούει· πλανᾷ· ἐξαπατᾷ·* Phot. *παρακρούεσθαι· ἐξαπατῆσαι* etc.) || 7. Cogites de *βρι* particula et voce *καλόβιος*, ut sit *βρικαλόβιος* ' deliciis affluens '; sed mihi quidem fit verisimilius in Theodori lexico fuisse *<ι>βρικαλόβιος* = *χοιρόβιος*: cfr. Hesych. *ἰβρίκαλος*. Ad loci sententiam comparanda sunt verba Schol. Iambl. Protr. p. 129, 12 sq. Pistelli.

XXIX Argumentum. ' *Cum lexicum meum epistulae ornandae causa excerperem, factum est ut longe aliter a te mea verba exciperentur quam scripta a me erant. Ignoscas igitur mihi et nihil a me malo in te animo dici potuisse pro certo habeas* '.

ροις χρᾶσθαι ἐποίησε, τὸ μὴ σύνηθες. αἱ δὲ τὸν νοῦν τῆς γραφῆς μου ἐθόλωσαν, καὶ ἀντὶ ἐγκωμιαστοῦ καὶ ἐπαινέτου κωμῳδὸν καὶ ἀπατηλὸν ἔδειξαν· αἱ δὲ τῇ τῆς χειρός μου ἐπαπαρατάσει ἐκτανθεῖσαι, βεβαίως με σφάλλειν | ἐπίστωσαν. πολλά μοι τοίνυν τὰ βλάπτοντα· f. 74r
νοῦς καὶ γλῶττα καὶ χείρ. ἃ καὶ βλάπτουσιν εἰς διδάσκαλον ὃν ὡς αὐτὸν τὸν Κύριόν μου ὁρῶ. ἀπάτη γέγονε, τιμία μοι καὶ συνετὴ κεφαλή· οὐχ ὡς ἐνοήθη ἐστὶν ἡ γραφή, ἀλλ' ἑτέρως βαίνει καὶ ὡς τὸ σύνηθες· καὶ τὸ φανῆναί σοι τοιαύτην ἐθαύμασα. ἐξομολογοῦμαί σοι τὸ ἁμάρτημα· διὰ τὸν γύργαθον ταῦτα γέγονεν· ἐνδειξιν καὶ ἡμεῖς λέξεων ἠθελήσαμεν δεῖξαί σοι, ὡς μὴ ὤφελον· αἱ δὲ λέξεις ἠπάτησαν. ἡ γραφὴ δοκιμῆς ἦν εἵνεκα· καὶ πάλιν ἀρτίως ἐξομολογούμεθα, ταῦτα ὁ γύργαθος ἔφερε, καὶ τὴν δολίαν ὡς αὐτὸς ἐπέδειξιν· ὁ δὲ νοῦς τῆς γραφῆς ἀσφαλέστατος ἦν, καὶ πολλά σου βοᾷ, εἰ ἐπιστήσεις τὰ ἐγκώμια· ἐκ τῶν ὅλων δὲ διαστέλλει σε καὶ ἁπάντων ὡς κύριον καὶ ὑπερέκεινα κρίνει σε κωμῳδεῖ τε ἐντεῦθεν μεγαλοφώνως τὰ ἀλ-
σχιστα καὶ τοὺς ἀξίους τῶν τοιούτων λόγων ὧν ἀποφαίνεται. ὅτε δὲ Θεὸς ἰδεῖν σε ἀξιώσει με, καθὼς ἔχουσι καὶ αὐτὸς διακρινεῖς αὐτά. ἡ εὐχὴ δὲ τῆς Ἁγιωσύνης σου σκέπη μου εἰς τὸ διηνεκὲς ἔστω παρὰ Χριστοῦ.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Οὐκ ἔστι τοῖς Ἀσκληποῦ παισὶ μάλαγμα | θεραπευτικὸν ἢ ἀλε- **XXX** f. 74v
ξιτήριον φάρμακον κατ' ἄμφω θεραπεύοντα καὶ καθαίροντα τὰ νοσηλευόμενα σώματα, ὡς ὁ τῆς σῆς μεγαλοφυοῦς διανοίας λόγος τὰ ἐμὰ ἀδρανῆ καὶ ἀσθενείας πλήρη μέρη σώματος καὶ ψυχῆς. τοῦτο γὰρ καὶ πεῖρα παρέστησε καὶ χρόνος ἐπίστωσε καὶ αὐτὸ τὸ πρᾶγμα τέλεον ἐβεβαίωσε. τίς γοῦν καὶ πάλιν, εἰ τοῦτ' αὐτὸ ζητοῦμεν, καθ' ἡμῶν καταβαρυνθείη; ἕξις γὰρ τὴν ἕξιν ζητεῖ καὶ τὴν στέρησιν στέ-

8. ἐπίστωσαν scripsi: ἐπίστωσε F. || 18. διαστέλλει scripsi: διαστέλλη F.

XXX Argumentum. *' Tuae apud Deum intercessionis merito nunc ego et corpore et animo vigeo. Te expecto; quid sit agendum cognosces a cubiculario, quem ad te misi '.*

1. Ἀσκληποῦ scripsi: ἀσκληποῦσι F. || 2. malim θεραπευόν τε καὶ καθαίρον τὰ νοσηλευόμενα.

ρησις· ἑπομένως δὲ καὶ ἰατρὸν ὁ νοσῶν καὶ φοιτητὴς τὸν διδάσκαλον καὶ φίλος τὸν φίλον καὶ ὁμόψυχος τὸν ὁμόψυχον. καὶ ταῦτα πάντα οὔτε πόρρω λόγου εἰσὶν οὔτε διακωμῳδεῖσθαι παρά τινος ἔχουσι τὴν λαβήν. ἕλκει γοῦν ὁ ποθῶν, ἀνθέλκεται ὁ ποθούμενος, ὁ κατὰ Θεὸν ἔρως ὠθεῖ, ἡ φιλοσοφία βιάζει, ἐπατείνει τοῦτο δὲ καὶ ἡ σχέσις· οὐθὲν τὸ ἐμπόδιον, ὠφέλιμος ἡ συνέλευσις. ὑπὲρ τὴν καθ' Ὅμηρον γὰρ χρυσέαν σειρὰν φαντάζομαι τὴν πλοκήν. τί τὸ κωλῦσον; πάντως οὐδέν. συγκατάβηθι γοῦν πρὸς τὸν φοιτητὴν ὁ διδάσκαλος, πρὸς τὸν νενοσηκότα ὁ ἰατρός, πρὸς τὸν οὐ σοφὸν ὁ σοφώτατος, πρὸς τὸν δεόμενον παιδεύσεως ὁ παιδαγωγός, πρὸς τὸν σὸν ὁ ἐμός, ἵν' ἐξ
f. 75r ἀνάγκης τῇ συνελεύσει ἅψωμεν τὰ χαρμόσυνα· ὅπως δὲ καὶ ὁποίῳ | καιρῷ, ὁ Κουβουκλάριος εἰπῇ σοι, ὃν ἐγὼ καὶ πεφίληκα καὶ ᾠκείωσα καὶ τετίμηκα· καὶ τὰ λεγόμενά σοι ἐκ τοῦ αὐτοῦ στόματος δέδεξο ἐξ ἐμοῦ καὶ στέρξον ὡς ὁπωσοῦν οὐκ ἄλλως ἔχοντα. ἡ εὐχὴ τῆς Ἁγιωσύνης σου πολλαπλασίως ἐκ Θεοῦ χορηγηθείη μοι.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXXI. Καλὰ μὲν πάντα καιρῷ· πλὴν δὲ εἰ καὶ τῶν μεσοτοιχιζόντων ἀπουσίᾳ ἔχουσιν ἄνεσιν. ἔστι δὲ τοῦτο ὅταν καὶ τὰ τῆς αὐτῆς τάξεως αὐτοῖς οὐκ ἐπιπροσθῇ. τούτων οὕτως ἐχόντων, οὐκ ἂν φαίη τις ἡμᾶς ἐπαλήσμονας, καιρὸν καὶ τόπον καὶ τρόπον καὶ διάφορα πρόσωπα πραγματευομένους καλά. ταῦτα δὲ πάντα μετέχει τινὸς βαρύτητος ἢ νωθρότητος ἢ καὶ σπουδῆς ἀγούσης αὐτά· ὧν χάριν οὐ παρὰ τοῦ ἡμῶν πατρὸς καὶ διδασκάλου μεμφθείημεν σοῦ, καὶ ἀναισθησίαν κατηγορηθείημεν, ὅτι καὶ μεσότοιχα, ἀλλ' οὐν μαρτυρίᾳ πιστά. Θεὸς δέ, εἰ μὲν σὺν τῷ ἐφετῷ ἀξιώσει καὶ τὸν τῆς Ἐφέσου καὶ παντὸς

---

13. Hom. Il. Θ, 19.

XXXI Argumentum. *' Omnibus rebus opportunitate venia datur. Sic igitur, cum te maxime cupiam videre, facile patiar etiam Ephesium (Episcopum?) tecum venientem. — Animi aegritudine, qua me mundanae curae affecerunt, praesentia tua me liberabit '.*

1. Cfr. Eccl. III, 11. || 4. καὶ τρόπον (β) καὶ τόπον (α) F. || 8. non intellego.

τοῦ κόσμου φωστῆρα προσκυνῆσαι ἡμᾶς, στέρξομεν· εἰ δ' οὖν, τέως σὲ τὸν ἡμῶν ἐφετὸν θαρροῦμεν ἀφικέσθαι πρὸς ἡμᾶς· ἣν ἡμέραν αὐτὴν ἐκείνην ἀλαλάξομεν τὰ χαρμόσυνα, λύσιν δὲ καὶ τῆς πρὶν δεξόμεθα ῥᾳθυμίας, ἣν κοσμική τις φροντὶς | ἡμῖν προεξένησε. προ- f. 75v
ξενήσοι δὲ ἡμῖν τὴν ἀνωτάτω βασιλείαν ἡ εὐχὴ τῆς Ἁγιωσύνης σου.

τοῦ αὐτοῦ πρὸς αὐτόν

Στέργω μὲν πάντα, στέργω δὲ καὶ τὰ πλείω· ὡς γὰρ τὸ εἶδος **XXXII**
τὴν ὕλην ἐμόρφωσεν, οὕτως καὶ τὰ ἐκ σοῦ λεγόμενα τὰ ἐμά· εἰ μὲν δυσειδῶς, οὐ τῆς ὕλης τὸ σφάλμα· εἰ δ' ἀφυῶς, οὐ θελήματι τῶν ἐμῶν. σκοτεινότερα δὲ τοῦ Ἐφεσίου οὐ ταῦτα· οὐδὲ γὰρ ὡς Ἡράκλειτος ἔγωγε φιλοσοφῶ· ἀληθέστερα δὲ τῶν ἐνδεχομένων. περιπατητικὸς ὑπάρχω καὶ γάρ· ἔστι δὲ καὶ τοῖς περιπατοῦσι τὸ ἐπισφαλὲς διὰ τὸ ἀδόκητον, τοῖς δ' ἐπὶ τὴν Στοὰν τὸ ἀκλινὲς διὰ τὸ μόνιμον, πᾶσι δὲ τοῖς φίλοις τὸ ἀληθές. ἀληθῶς οὖν λέγω, ἔγνων μὲν τὴν ἐπιστολήν, ὅπως δ' οὖν ᾠκονομήθη οὐκ ἔγνων· καὶ τοῦτο τῆς ἀσθενείας μου. εἶχε γὰρ συνήθως μέντοι τὸ εὐφραδές, ὑπὲρ δὲ τὸ σύνηθες τὰ ἐμπερίβολα· τὰ δὲ νοήματα καθαρά, οὐδὲ γὰρ ἐσκέποντο· ἐγὼ δὲ ταῦτα συνάξας, τὰ μὲν λεγόμενα ἔγνων καὶ λίαν συνῆκα· τὸ δὲ διότι ἐζήτουν τε καὶ ζητῶ. οὐδὲ γὰρ βουθοίνας τις ἔγωγε τριέσπερος, οὐδ' ἐπὶ τὰς ὑπερβαινούσας τοῦ πόλου μοίρας κρονικῶς καὶ ξηροτέρως περιπατῶ, ἀλλ' ἑρμαϊκῶς ἐπὶ τὴν μέσην τε καὶ βασιλικήν· οὐ τὴν ἰδιόρυθμον | γὰρ τρέχω ὡς ἐπιστήμων, ἀλλὰ τὴν πλατείαν ὡς f. 76r

12. ἀλλαλάξομεν F. || 13. ῥᾳθυμίας] num potius ἀθυμίας?

XXXII Argumentum. '*Cur me in tuis litteris per ambages reprehendas tamquam levem hominem et inconstantem, vix intellego. Errorem ego reliquendum duxi, ubi primum in errore me versari sensi. — Pisces quos ad me misisti, me ut tibi gratias agerem impulerunt*'.

8. φίλοις] fuerit φιλοσόφοις? || 13. βουθοίνας τριέσπερος] utrumque Herculis epithetum copulavit etiam Georgius Pachymeres in Progymn. VII p. 565, 30 et 566, 6 Walz, Rhet. Gr. vol. I. || 15. ξηροτέρως] subsit ἐξωτέρω? cfr. Anon. de Incred. XVIII, p. 325, 32 sq. Westermann. || 16. immo ἰδιόρρυθμον; sed scripturam codicibus nonnullis Thomae Magistri (v. Ritschl 25, 8) aliisque servatam hinc eicere nolui.

ἀσθενής, ὅπου καὶ τὸ πλῆθος πορεύεται. διὰ τοῦτο κατὰ καιροὺς τοῦ πλήθους ἐπιμελοῦμαι. εἰ γοῦν διὰ τοῦτο ἐκ τῶν ἀπρεπῶν μεταστρέφω ταχέως, καὶ λίαν εἰκότως ταχύνω καὶ ἀφίξομαι πρὸς τόν μοι ποθούμενον· οὐδεὶς δέ μου καταμεμφθείη τῆς ἴσης τοῦ ἀέρος ἐναλλαγῆς διὰ τὴν ταχυτῆτά τε καὶ τὴν ἀλλοίωσιν· ἔξω γὰρ καὶ τοῦτο εἰς καύχημα, τὸ μὴ ἐγχρονίζειν εἰς ἅπερ ὁ λόγος κατέγνω. ὃς γὰρ ἀποστρέφει λογίως ἐκ τῶν ὧν οὐ λογίως ἠλόγησεν, ἀληθῶς, ὡς ἔφης, σοφός. πρᾶξις γὰρ ἄλογος μετὰ λόγου οὐ κοινωνεῖ, εἰ μὴ κατὰ πάλαι αἰνίγματα. διὸ δή, εἴπερ διὰ τὸ συνεισφέρεσθαι ἡμᾶς εἰς τὴν τῶν πολλῶν ἐπιμέλειαν ἀκριτοι διεκρίθημεν, ἐάσωμεν τὸ χρειῶδες καὶ οἰκειωθῶμεν τῷ ἀναγκαίῳ· ὅπερ καὶ δίκαιον. εἰ δ' ἄλλος τίς ἐστιν ὁ σκοπός, διασάφησον. ἐγὼ γὰρ ἐκ τῶν πολλῶν ὡς ἔγνων ταῦτα εἴρηκα. τὰ δ' ἄλλα σιγῶ, ἵνα διὰ ζώσης φωνῆς πάντα ἀναδιδαχθῶ παρὰ τῆς σῆς πολλῆς Ἁγιότητος.

Οἱ δὲ ἰχθύες κἂν ἄφωνοι ὑπῆρχον, ἀλλά μου τῷ λόγῳ πολλὰς δεδώκασι τὰς ἀφορμάς, καὶ παρεκίνησαν ἐξ αὐτῶν ὅλον ἐμὲ πρὸς
f. 76v τὴν Ἁγιωσύνην σου, πλὴν ψυχικῶς· ἀκμὴν δὲ οὐκ ἀσφαλὲς | ἔχω λέξαι καὶ σωματικῶς. ἡ εὐχὴ ταύτης μείνειεν ἐν ἐμοὶ ἀνεξάλειπτος.

τοῦ αὐτοῦ πρὸς τόν αὐτόν

XXXIII. Χαίροις μοι, τὰ πάντα ποθούμενε· χαίροις μοι, τὰ πάντα φιλούμενε· χαίροις μοι, τὰ πάντα στεργόμενε. συγχαίρω σοι ταῖς εἰσόδοις, συγχαίρω σοι ταῖς πομπαῖς, συγχαίρω σοι ταῖς ἐνώσεσιν. ἀντιχάρηθι, ἀντιφίλησον, ἀντιδέδεξο· πεφίλησαι γάρ, πεπόθησαι γάρ, τετίμησαι γὰρ ἐκ τοῦ σοῦ προσφυῶς. ταῦτα δὲ φιλοσοφία, ἀρετὴ καὶ παιδεία προὐξένησεν.

---

21. ἔξω scripsi: ἔξω F; cfr. Paul. Rom. IV, 2. || 22 sq. ἀποστρέφει scripsi: ἐπιστρέφει F. || 24. immo κατὰ <τὰ>πάλαι: cfr. Nicephori ep. XVI: κατὰ τὸ αἴνιγμα τῆς Σφιγγὸς ἐκ τοῦ λογικοῦ ζῴου μεταφερόμενον πρὸς τὸ ἄλογον. || 28. ὡς] malim ὧν. || 34. μείνοιεν F.

XXXIII Argumentum. *'Gratulor tibi, te amo, a te amari vehementer cupio'.*

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Ἀρεστὰ πεφύκασι καὶ καλὰ παντὶ φίλῳ τοῦ φίλου τὰ ἀρεστά· **XXXIV**
εἰ δὲ καὶ κατάκρως, κατὰ τὸ μᾶλλον. καὶ ὅσον ἂν ἐξ οὗ ἡ φορὰ ἡ ῥοπὴ διάσταται, ὁ μὲν τῷ ἄλλῳ οὐ μέλλησις· φυσικὴ γὰρ ἑνότης οὐ λύεται· ἦν καὶ ψυχικὴν καὶ πνευματικὴν καὶ νοερὰν ὑποτόπαζε. 5 *ὅτι δὲ διστάμεθα, οὐ καινόν· τὴν ἀληθινὴν καὶ γὰρ ἔνιοι διάστασιν πειρασάμενοι πολλάκις ἡμᾶς λῦσαι, οὐκ ἰσχυσαν· τουτοὶ δὲ χαρᾶς τῆς λύσεως τὸ αἴτιον, ὅτι καὶ τοπικόν. τὰ δ' ἄλλα ἐγὼ μὲν σιγῶ, ὁ δὲ Κουβουκλάριος εἰπῇ σοι.*

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Ὥσπερ δὲ τοῖς ζώοις τὸ πνεῖν ἀνυστέρητον, οὕτως καὶ ἐμοὶ ὁ **XXXV**
ἐμὸς ἀνυστέρητος, κἂν λελύπηται οἷς οὐκ ἦν τὸ σύνολον λύπη. δέχονται γὰρ οἱ γονεῖς ὡς ἡ αἴσθησις αὕτη πιστοὶ προσηνῶς τὰ τῶν παίδων δακνηρότερα λόγια, καὶ εἰς εὐφροσύνην ταῦτα μετατιθέασι. τὸ 5 *γὰρ ἐκείνων ἴσως τῆς ἀπλαστίας, τῶν δ' ἄλλων τῆς ἀγαθότητος. διὰ τοῦτο μεταλλάττουσι ταῦτα· μικροῦ καὶ γὰρ οἱ μὲν ἀγκαλίζονται, τὰ δὲ πρὸς τοὺς παροργισαμένους προστρέχουσι· φυσικὴ διότι πείθει ταῦτα ἀνάγκη. τοῦτο γοῦν ἁρμόσει καὶ πρὸς ἡμᾶς. εἰ γὰρ καὶ λύπη τις ἐξ ἡμῶν συνέβη σοὶ τῷ ἡμετέρῳ πατρί, οὐ μεῖναι ταύτην ἐς τόσον*

XXXIV Argumentum. *' Quamvis una esse non possimus, nemo tamen abs te me poterit alienare. Cetera cognosces a cubiculario '.*

1. *καὶ* scripsi: *τὰ* F. || 2. *ἡ φορὰ* scripsi coll. Theophr. H. Pl. V 3, 5 (p. 145, 6 Wimmer): *ἀφορᾷ* F. || 3. *ὁ μὲν*] *ὁ εἰς*?

XXXV Argumentum. *' Te obsecro atque obtestor ut veniam des errori meo, cuius me poenitet vehementer. Me tua sapientia ornare et regere ne recuses '.*

3. *πιστοὶ* scripsi (*πιστοῦται* expectes): *πιστοί* F. || 5. *τῶν δ'*] immo *τὸ δὲ τῶν*. || 6. *τὰ*] sc. *τέκνα* vel *παίδια*, quamquam supra dixerat *παίδων*.

τις ὑπολάβῃ καὶ ἐπιλελῆσθαι ἡμῶν· ὅτι οὐκ ἔλαττον τοῦ χαραττομένου παραδείγματος διάκεισαι πρὸς ἡμᾶς· οὓς ὠδίνησας γαστρὶ τῶν σῶν λόγων τε καὶ παιδεύσεων, οὓς ἐξέτρεψας, οὓς ἐπαίδευσας· ἀλλὰ τάχιον ἀγκαλίσασθαι ἡμᾶς πεπιστεύκαμεν, ἐπειδὴ καὶ ἡμᾶς οὐκ εἰς ἄλλον ἐννεύειν ὁρᾶς ἔχοντας. φιλοστοργίᾳ γοῦν πολλῇ ἐξαιτοῦμαι μήτε τὸ τῆς λύπης νέφος ἐς τόσον εἰς σὲ στέγεσθαι, μήτε ἡμῶν τὴν θαλπικὴν τῶν λόγων καὶ φωτιστικὴν τῶν εὐχῶν ἰσχὺν ἀποδημεῖν
f. 77v τῆς Ἁγιωσύνης σου. ἀμφότερα γὰρ | ἡγούμεθα θάνατον. ἀλλ' ἀνάτειλον τάχιον, ὁ τῶν ψυχικῶν ὀφθαλμῶν ἥλιος, καὶ δαδούχησον αὐτοὺς ὡς τὸ σύνηθες, καὶ θρέψον ἡμᾶς ὡς ἔφορος τῶν καρπῶν, λιμώττομεν γάρ, καὶ ῥῶσον σιτήσας ἡμᾶς πρὸς τὰ κάλλιστα. ἀκτῖνας γὰρ ἡλιακὰς τὰ σὰ ἔχομεν δεῖα γράμματα ἐκ σοῦ, τοῦ φωτοβρύτου τῶν λόγων καὶ τῶν εὐχῶν δίσκου, στελλόμενα πρὸς ἡμᾶς, τοὺς ἐν σκότει καθημένους τοῦ βίου τούτου. ταῦτα μέν οὖν ἡγησάτω ἡ Ἁγιωσύνη σου ὅτι κατενώπιον ταύτης βοῶμεν ἱστάμενοι πρὸς αὐτὴν ζώσῃ φωνῇ. τὸ δὲ τέλος καὶ τὴν συγχώρησιν πάρεξον σύ, ὅπως συνήθως καὶ κατάκρως ἡμᾶς εὐφρανεῖς. ἡ εὐχὴ τῆς Ἁγιωσύνης σου χαρισθείη μοι.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXXVI Πρὸς τὴν ἐπιστολὴν οὐχ ὡς φοιτητὴς ἀντιλέξομαι, ὅτιπερ οὐδὲ φοιτητοῦ τοῦτο, ἀλλ' ὡς φεύγων κατηγορούμενος, καὶ τοῦτο μετ' αἰδοῦς καὶ σεμνότητος καὶ λίαν δακρυοφύρτων ἐπῶν· εἰς ἅπερ κρουνηδὸν ἐπωδύνως τὰ σὰ λόγια, πάτερ, παρεκίνησάν με πολλὰ πολλάκις τά μοι προξενήσαντα τὰ εὐφρόσυνα. ὡς ἀργαλέον μοι, ὦ τίμιε, κωμῳδεῖσθαι μὴ πεπλημμεληκότι καὶ κατασύρεσθαι παρὰ τῶν κειμένων εἰς γῆν, ὡς πρὸς τοῦ προστάτου μου σοῦ μεμάθηκα, ἀργαλεώτερον
f. 78r δέ μοι ὅτι καὶ τὴν | τῆς διακρίσεως στεγανότητα ἐκοίλωσαν τὰ ἀσύ-

22 sq. Psalm. CVI, 10. || 25. *παρέξον* F.

XXXVI Argumentum. *'Dolore afficior propter malivolorum criminationes, quibus te aurem praebere non oportuit. Innocentiae meae testis est Dominus, cuius auxilium mihi non deerit'.*

στατα. ἐγὼ δὲ φανερῶς ἐρωτῶ καὶ ἀνυποκρίτως, κἂν ἐρωτῶμαι ἢ κατηγορῶμαι ἢ ὀνειδίζωμαι ἐσχηματισμένως τε καὶ ἀξυμφανῶς, πότερον ὁ κατηγορῶν τινος κατηγορεῖ τοῦ πῶς ἡμαρτηκότος, ἢ τοῦ κατάκρως ἡμαρτηκότος; εἰ μὲν τὸ πρῶτον, μηδείς μου κατηγορῇ, ἢ μόνος ὁ ἐαθεὶς παρὰ τοῦ Κυρίου μου πρὸς τὴν πόρνην λίθον βαλεῖν· εἰ δὲ κατάχρησιν φιλοσκώμμων τίς μου κατηγορεῖ, ἐρευνάτω τε καὶ κατηγορείτω. τῷ δὲ βουλομένῳ δίδωμι καὶ τὰ θάτερα· ἢ οὐκ οἶδεν ὁ κρίνων ὡς πάντα μὲν ἡ τῶν ἀνθρώπων βάσκανος γλῶττα πρὸς τὴν αὔξησιν τίθησι, τά τε φαῦλα καὶ αἰσχιστα; ἢ οὐκ οἶδεν ὁ δικάζων ὅτιπερ οὐδεὶς ἐξέφυγε τὴν κατάκρισιν, κἂν γενικὰς ἀρετάς, κἂν λόγον, κἂν παιδείαν πᾶσαν ἔχῃ τε καὶ ἐξήσκησε; ‘τὴν κοιλίαν μου ἀλγῶ’ φησὶν ὁ προφήτης. ἐγὼ δὲ κατηγορούμενος ἀποδέχομαι· τοῦτο γὰρ καὶ πρὸς ἀρετὴν ἐπιστρέφει με, κἂν οὐχ ὡς ὑπέλαβον οἱ νοήσαντες. γέγραπται· ‘ὁ ἐσθίων μὴ ἐξουθενείτω τὸν μὴ ἐσθίοντα’, καὶ ὁ μὴ δουλούμενος ἡδοναῖς μὴ κρινέτω τὸν δοῦλον τῶν ἡδονῶν· εἷς γάρ ἐστιν ὁ κρίνων καὶ οὐδεὶς ἐκεῖνον ἐκφεύξεται. πάντες δὲ κατηγορούμενοι κρίνουσι καὶ δικάζοντες | διελέγχουσι. ποῦ ἡ κρίσις; f. 78v
ποῦ ἡ διάκρισις; ποῦ ἡ σχέσις; ποῦ ἡ φιλία; ποῦ τὸ φύσει καλόν; ἀπεψύγη, ἀπερρύη, φθίνει τὸ ἄνθος· οὐδὲ γὰρ ἡδραιώθη ὡς δείκνυσι. καὶ πάλιν νυττόμενος ἐρωτῶ· ἕνεκεν τίνος ὁ κατονειδιζόμενος φεύγει; τοῦ ἁπταίστου, ἢ τοῦ μήπω πρὸς πτῶσιν κατηντηκότος; τὸ μὲν πρῶτον οὐδεὶς ἂν ἐκφεύξηται· τὸ δὲ μετὰ τοῦτο ἕως ἄρτι οὐ σύνοιδεν ὁ κρινόμενος. αὔξησις λόγων (ἡ γὰρ δίκη δίδωσιν ὕλην)· τίς ἡ περὶ ἐμοῦ φήμη; πρὸς τῆς Τριάδος βοῶ· οὔτε τὸ κατηγόρημα ἕως ὅτου τὴν ἐπιστολὴν ἔσχον ἔπραξα, ἐξ ὅτου τὰ τοῦ λήρου τετράστιχα ἀμφὶ περὶ τὸ Νύμφαιον ἀνεγινώσκομεν, ἀξυμφανῶς ἦρκα τὸ σημεῖον, οὔτε πώποτε τὴν ὁλικὴν ἀπόστασιν μὴ μελετᾶν τὸν νοῦν παρεκίνησα, ὁ τὰ πολλὰ λοιδορούμενος, ὁ δεχόμενος ὕβρεις, ὁ μὴ χαλιναγωγῶν τὰς αἰσθήσεις· ἀληθῆ πάντα ταῦτα καὶ πλείω τούτων καὶ τοῦ ἀπείρου. ποῦ τις τὴν ἐμὴν δοξομανίαν ἐᾷ; ποῦ τὴν ἀναίδειαν; ποῦ τὸ ἀφίλοικτον καὶ τὸ κατὰ τῶν ὑπερεχόντων λόγῳ καὶ σοφίᾳ ἀνεπιτήδειον; εἴρηκέ τις τῶν σοφῶν· ‘αἱ ἀγαθαὶ καὶ μεγάλαι φύσεις προϋπαντῶσι τὰ διδασκόμενα’. ὥστε αἱ μὴ τοιαῦται κατὰ τὸν

11. τινος et πῶς scripsi: τίνος et πῶς F. || 13 sq. Ev. Ioh. VIII, 17. || 17. μάλιστα δὲ vel tale quid ante τά excidisse videtur. || 19 sq. Ierem. IV, 19. || 22. Paul. Rom. XIV 3. 10. || 24. cfr. Iac. epist. IV, 12. || 34. ἦρκα scripsi (de sublato defectionis signo agitur): εἴρηκα F. || 40 sq. cfr. Plat. Civ. IV p. 424 a.

f. 79r ἐκείνου λόγον δέονται πολλῆς τῆς βασάνου ὅπως καὶ ἀμυδρόν τι | ὅπῃ δὴ καὶ νοήσωσι. διὰ τοῦτο ἀντεξετάζω καὶ πάλιν βοῶ· τίς ἡ κατηγορία; παράβασις λόγου; ὑποσχέσεως ἔγκλησις; ἀποφυγῆς κατὰ τὸν μακελλικὸν κύνα ἐπὶ τὸν ἴδιον ἔμετον τῆς πονηρίας ὁμοίᾳ ἀνατροπῇ; τῶν ἀνατεθειμένων Θεῷ ἀφαίρεσις; πάντα κἂν ὥσι τοῦ Θεοῦ, τίς ἐστιν ἡ αἰτία καὶ τὸ τηλικοῦτον ἀπόφημον; ὕβρεις ἀνθ' ὕβρεων, ὑπολήψεις ἀνθ' ὑπολήψεων· καὶ τὰ πρῶτα ὄντως συνιστῶσι τὰ δεύτερα, καὶ αὖθις ταῦτα τὰ μετὰ ταῦτα. ἆρα γε οὖν ἀναστήλωσις αὕτη παθῶν καὶ τῶν μὴ παθῶν ἀναβλάστησις. ἐτάζεταί ποτε καὶ Ἰσραὴλ παροργίσας Θεόν· καὶ κτείνει μὲν εἷς τὸν πλησίον, ἄλλος τὸν ἀδελφόν, ἕτερος τὸν φίλον καὶ πᾶς τὸν ἀπέναντι· φέρει δὲ καὶ χρυσὸν ἐξιλεούμενος ἑαυτόν, καὶ τίθησι πρὸς γῆν Μωυσῇ κατενώπιον ὄψεις, καὶ δακρύει καὶ στένει καὶ λαμβάνει συγχώρησιν. τίνος κατεκρίναμεν ἢ τίν' ἠδικήσαμεν; πολλοὶ δ' ἀδικοῦσι καὶ ὁ κρίνων οὐδείς. ἡμάρτηκα τῷ Κυρίῳ μου, οὐ νῦν, οὐχ ἅπαξ, οὐκ εἰς τοὐμφανές, οὐ τρισάκις, ἀλλὰ πολλάκις καὶ κατ' ἄμφω, κρυπτῶς τε καὶ φανερῶς. εἰ δὲ καὶ θελήσω καυχήσασθαι, οὐκ ἔσομαι ἄφρων· ἀλήθειαν γὰρ ἐρῶ·
f. 79v ἐδάνεισα τῷ αἰτησαμένῳ, ἐφύλαξα τὸν διωκόμενον, ὑπερεμάχησα | τοῦ βασκαινομένου. τί ταῦτα; ἀρεταί, ἢ οὔ; ἐρρέτωσαν, ἀποδιοπομπείσθωσαν, ἐξοστρακιζέσθωσαν. πάσχω δέ τι καὶ ὑλικόν· ἐδόθη μοι γὰρ σκόλοψ τῇ σαρκί, ἵνα με βασανίζῃ ἐπηρείᾳ Σατᾶν, ἵνα μὴ πρὸς τὰς τοῦ νοὸς ἐπαρχὰς ὑπεραίρωμαι· θρήνησον ὑπὲρ ἐμοῦ, οὐρανέ, κλαῦσον ἡ γῆ, στέναξον ἥλιε· καλῶ γὰρ ὑμᾶς ἀπερριμμένος βροτείας ὧν ἀρωγῆς. ἐκάθισα γὰρ ἐπάνω τῶν ἡδονῶν ἀφρόνως καὶ ἐπορεύθην ἐν πλατυσμῷ· πολλοὶ οἱ θεωροῦντές με ἀπὸ ὕψους. τί ταῦτα; οὐχ Ἰηρουσαλὴμ ὡς ἄλλος Ἱερεμίας κλαίω νυνί, ἀλλὰ τὴν ἔνδον σκηνὴν διὰ τοὺς ὀνειδισμοὺς τῶν ὀνειδιζόντων με. συνεκαλύφθην γὰρ τῇ αἰσχύνῃ, ἠδέσθην τὸ γράμμα καὶ κατὰ μόνας ἤδη κεκάθημαι· τίς ἐστιν ὁ βοηθήσων; ὁ πατὴρ ὀνειδίζει· τίς ἐστιν ὁ προμαχήσων; ὁ διδάσκαλος κατακρίνει· τίς ἐστιν ὁ τὴν ἱλαρότητα προσάξων; ὁ γλυκύτατος γὰρ τραχύνει, καὶ ταῦτα μὴ κατεξετάσας τὰ λαληθέντα, οὐ διακρίνας τὸ ὄν, οὐ βασανίσας τὰ ληρῳδήματα· πλέον δὲ τούτοις τὸ ἄλγος, ὅτι καὶ τομῶς ἐπήγαγε τὴν καταφοράν. λίαν μὲν οὖν ὀδύνη τις ἐκ τῶν ἀμ-

---

45. Prov. XXVI, 11. || 50 sqq. Exod. XXXII, 27 sq. et XXXV, 20 sqq. || 58. Paul. Cor. II 12, 6. || 61 sqq. Paul. Cor. II 12, 7. || 65 sq. Psalm. CXVIII, 45. || 67. Ier. X, 20. || 69. *ἠδέσθην* scripsi: *ἠδαίσθην* F.

φοτέρων διανέμεται τὴν καρδίαν μου· ὄντως ἐπισφαλεῖς οἱ τοῦ Περιπάτου, ὡς εἰρηκα, διὰ τὸ ἀδόκητον | καὶ ἀνεπιτήδειον, ἐπείπερ καὶ f. 80r
ἀδοκήτως κατονειδίζονται. ἐχρῆν γὰρ πρότερον ἐρωτᾶν τὸν κρίνοντα καὶ διαγινώσκειν ὅπερ διέγνω ἄν· εἶτα φέρειν, εἴπερ ἠβούλετο, καὶ τὰ φάρμακα, ἢ τέως καὶ τὰ λεγόμενα τὴν πίστιν εἶχον. ἡμεῖς δὲ τὸ γεγονὸς διεκρίναμεν, καὶ ὅπως γέγονε διακρίνομεν, καὶ τὰ τῆς φήμης ἴδια οὐκ ἐξ ἐμοῦ μόνον, ἀλλὰ καὶ ἐκ πάντων ἀνεδιδάχθημεν. ὦ τῶν τιμοριῶν, ὦ τῶν τίσεων, ὦ τοῦ κριτοῦ τοῦ ἀλαθήτου τε καὶ φρικώδους. τίς ἄρα σωθῇ; εἰ γὰρ ὁ δίκαιος μόλις σώζεται, ποῖ τὰ ἐμὰ καταντήσουσιν; ἡτοίμασται γάρ· τιμωρίαι πολλαί, κατακρῖναι καὶ διακρῖναι τὸ ἄχυρον ἀπὸ τοῦ σίτου. οὐδεὶς ἀναμάρτητος· τρεπτὸν γὰρ τὸ ὑπὸ γένεσιν ζῷον· ἡ γὰρ ἀλλοίωσις τῆς δεξιᾶς τοῦ Ὑψίστου ταπεινοῖ τοὺς βουνούς, φάραγγάς τε χθαμαλοὺς ἀνυψοῖ καὶ τοὺς ἀπεγνωσμένους ἄγει πρὸς σωτηρίαν· ἢ καὶ ἡμᾶς ἐκ τῶν ἀμέτρων κακῶν, ὧν οὐκ οἴδασιν οἱ πλείους, ῥύσαιτο· ἀπειράκις γὰρ ἄπειρον ἔχει καὶ τὴν ἰσχύν· καὶ τὸν ὀνειδισμόν, ὃν ὠνείδισάν με, ἀλλοιώσει καὶ παύσει, ἀρηγούσης καὶ τῆς εὐχῆς τῆς Ἁγιωσύνης σου. ταῦτα μὲν οὖν κατωδύνως εἰπὼν ἐπέχω τὸν λόγον, τοὺς νόμους τηρῶν τῆς ἐπιστολῆς, ἂν καὶ παρέβην τούτους βίᾳ τυραννηθείς.

τοῦ αὐτοῦ < πρὸς τὸν αὐτόν > f. 80v

XXXVII.

Ἰσχυρὸν ἡ ἀλήθεια, ἰσχυρὸν καὶ ἡ φιλία· ἐπὰν δὲ καὶ ἀληθὴς ἡ φιλία, ἰσχυροτάτη τότε πάντῃ ἐστίν. ἀληθὲς δὲ τὸ φύσει, τὸ δὲ τοῦ φύσει ὄντως ἀμετακίνητον· διὰ τοῦτο τῆς φύσει φιλίας οὐδὲν ἰσχυρότερον· καὶ τοῦ ἰσχυροῦ οὐδὲν ἀνίσχυρον βλαπτικόν. ἀντίκειται δὲ τὸ ψεῦδος, τὸ ἐχθρὸν καὶ τὸ ἀσθενές. πότερον οὐδὲν ἀλλοιώσει <ἢ> ἀλλοιώσει τούτων τὸ αὐτῷ ἀντικείμενον; οὔτε τὸ ψεῦδος τὸ ἀληθές, οὔτε τὸ ἐχθρὸν

---

75 sq. cfr. epist. XXXII, 6 sq. ‖ 79. ἢ] immo εἰ? nisi quid forte post εἶχον excidit. ‖ 85. cfr. Ev. Matth. III, 12, et Reg. III 3, 9. ‖ 86 sq. cfr. Hesai. XL, 4. ‖ 92. τοὺς νόμους corr. ex τὸν νόμον et ἄν, ut videtur, corr. ex κἂν vel καὶ F.

XXXVII Argumentum. ' *Ea vis est veritatis et amicitiae, ut aliorum malus animus nostrum affectum immutare nequeat. Parce igitur mihi culpas meas cum dolore fatenti; tua benignitate me, ut antea, prosequi ne recuses* '.

Tit. rubr. in super. mg. paene deletus F. ‖ 5. ἢ addidi.

τὴν φιλίαν, οὔτε τὸ ἀδρανὲς τὸ στερέμνιον. τούτων δὲ παρ' αὐτῶν μὴ ἀλλοιουμένων, οὐδεμία τις βασκανία ἀλλοιώσει ἡμᾶς. προσπίπτομεν, δέξαι· λυπηθέντες εἴπομεν· συγγνωμόνησον, ἐξέτασον καὶ συγχώρησον· οὐδὲ γὰρ περισσότερον ὑπομένομεν τὴν τῶν συνήθων σου λόγων στέρησιν. ἃ δέ σοι ἐξ ἐμοῦ στόματος ὁ σταλεὶς εἴποι πίστευσον, ὅτιπερ ἐμά· καὶ τὰ αἰτηθέντα παρ' αὐτοῦ ὡς ἐξ ἡμῶν τῇ Ἁγιωσύνῃ σου μὴ ἀπαξιώσῃς, σὺν αὐτοῖς δὲ καὶ τὰς αὐτῆς πρὸς Θεὸν δεήσεις ὑπὲρ ἡμῶν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXXVIII. Ἡ ἀλήθεια οὐδεμίαν ἔχει ἀντιδικίαν, ἡ φιλόσοφος γνῶσις ἀναγκαῖα, τὸ ἀληθὲς ἀναγκαῖόν τε καὶ ἄμαχον ὡς φιλόσοφον· ἐν ἡμῖν δέ, οὐκ οἶδα πῶς γέγονεν, ὑπάρχει ἀνατροπὴ τούτων. ἢ γάρ τοι φιλόσοφοί ἐσμεν, καὶ οὐκ ἀντιδικοῦμεν ἀντιδικοῦντες, ἢ ἀντιδικοῦντες
f. 81r οὐκ ἐσμεν ἀληθεῖς, καὶ εἰ τοῦτο, οὐδὲ φιλόσοφοι. | νομίζω δὲ οὐ τοῦ ἐμοῦ πατρὸς ἀνατροπή, ἀλλ' ἐμὴ τοῦ ὄντως ἀφιλοσόφου. τί γάρ μοι ὄφελος πολλὰ λέγειν ἐν οἷς οὐκ ἔστιν ὁρμή. παρίδω δὲ παθῶν ταῦτα καὶ πρὸς ἓν ἔλθω καὶ τοῦτο κοινόν· ἀληθινῆς γάρ ἐστι διανοίας νόημα. δέδεξο δὲ τοῦτο τὸ ἤδη τρίτον γράμμα ἡμῶν, ὦ θεῖά μοι κεφαλή, ὡς εἴ τινος ἁμαρτήσαντος ἐθέλεις· καὶ τὴν ταπείνωσιν τῆς συγγνώμης ἀφορμὴν λάβε καὶ συγχωρήσας ἡμῖν σύναξον. εἰ δὲ καὶ πῦρ διακρίσεως οἷον ὥσπερ καθαρτικόν τι θέλεις τὴν ἐξέτασιν φέρειν, ἀποδέχομαι· ἐκεῖνο γὰρ δείξει τὸ γνήσιον τοῦ τε σφάλματος καὶ μὴ σφάλματος· μεθ' ἧς ἐξετάσεως οὐ λογισόμεθα πόνον. ἀκριβῶς γὰρ οἶδεν ὁ καλὸς ἡμῶν παιδαγωγὸς καὶ κατὰ πνεῦμα πατὴρ ἐξετάζειν καὶ μάλιστα τὸν γνήσιον. εἰ δὲ καὶ τρισάκις παρακαλοῦντας ἡμᾶς οὐ δέξῃ, καίτοι οὐχ ἑβδομηκοντάκις ἑπτά, ἀλλ' οὐδὲ τῆς ἧς ἅπαξ ὑπέλαβες πταίσαντας, σιγήσομεν οὐκ ἀπογνώσαντες, Θεῷ δὲ καὶ λίαν εἰκό-

---

XXXVIII Argumentum. *' Tertium iam obsecro te ut mihi veniam des. Quod si mihi semper iratus eris, Deus tamen innocentiam meam defendet '.*

11. num καὶ <εἰς> πῦρ? || 17. cfr. Matth. XVIII, 22. || 18. <πτώσεως> πταίσαντας?

τως θαρρήσαντες εἰς τε σοφίαν καὶ παιδείαν καὶ σύνεσιν καὶ ἐπιστροφὴν τῶν καλῶν βιοτεῦσαι, ἐξ οὗ παρὰ τῆς Ἁγιωσύνης σου διδασκαλικῶς σοφισθέντες τοῖς ἀρίστοις σοφοὶ νομιζόμεθα. καὶ τοῦτο ἔργον αὐτῆς, ἧς καὶ χαρισθείη ἡ εὐχὴ τοῖς ἡμῶν πᾶσι, σώματι δὴ λέγω, ψυχῇ, νῷ, διανοίᾳ, λόγῳ, πράξει, ἀρετῇ | καὶ συνεχῶς εἰπω, ξύμπαντι f. 81v
ἡμετέρῳ ὄντι ἐγκοσμίῳ τε καὶ πως ὑπερκοσμίῳ.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXXIX

Φωνὴ ἀγαλλιάσεως δι' ὑπακοῆς τε καὶ ταπεινώσεως ἐν σκηνῇ τῇ ἐμῇ, δηλονότι ψυχῇ, δικαίῳ καί γε μὴ ὄντι. δεξιὰ τῆς ἐν Χριστῷ φιλίας ἐποίησε δύναμιν. δεξιὰ τῆς πρός με ἀγάπης τοῦ ἐμοῦ καλοῦ κἀγαθοῦ κατὰ πνεῦμα πατρὸς διὰ Κύριον ὕψωσέ με ἐκ τῶν ὑπό τινος λήθης ἐπισυμβάντων μοι πρὸς αὐτὸν ἀπρεπῶν τινων λόγων. οὐκ ἀποθανοῦμαι φρεσίν, ἀλλὰ ζήσομαι νῷ καὶ ψυχῇ καὶ διηγήσομαι τοῖς πόρρω καὶ τοῖς ἐγγὺς ὅσα πρὸς αὐτὸν πλημμιλήσας ἀντὶ τῆς πικρᾶς ἀνταποδόσεως τῆς ἀπειλουμένης ἐξ αὐτοῦ διαζεύξεως, ὁμονοίας ἀνταπέδωκέ μοι δωρήματα. ταῦτα γὰρ μετὰ τῶν ἐπηλύδων διάγοντα καὶ τῶν τοῦ πατρὸς κλέους ὄντων πόρρω συνδιατρίβοντα συνήνωσαν πρὸς τὴν προτέραν ἐπιστρέψαντά με ἀρχήν. νῦν εὐκαίρως ἔχω εἰπεῖν τὸ 'φίλου πιστοῦ οὐκ ἔστι τι τῶν ὄντων ἀντάλλαγμα', τὸ 'οὐδεὶς ἀγαθὸς κακοποιεῖν δύναται', τὸ 'μὴ ἐπιδώσει ὄφιν τῷ υἱῷ ἀντὶ ἰχθύος ὁ πατήρ' καὶ τὸ παράδειγμα εἰς πίστιν τῶν λεγομένων οὐκ ἄπο, ἀλλ' ἐγγὺς | ὁμοῦ. ἐρρέτω πᾶσα f. 82r
βάσκανος γλῶσσα, πᾶσα λῆρος ὑπόληψις· ἡ μὲν ψοφοληροῦσα πῶς ἢ πῶς οἱ ὁμόψυχοι διεζεύχθησαν, ἡ δὲ τὸ μὴ πεφυκὸς γενέσθαι ὑπολαμβάνουσα. πάλαι γὰρ οἶδα τοὺς παιδείᾳ συνηυξημένους καὶ ἀρετῇ

21. *νομιζόμεθα* scripsi: *νομίζομεν* F. || 23. *καὶ* post *ἀρετῇ* in extrema pagina delevit. F. || 24. *πῶς* F.

XXXIX Argumentum. *'Te mihi pristinam benevolentiam reddidisse vehementer gaudeo, et Domino gratias ago. Tu adversarios meos fugare, tu me tua doctrina ornare nunquam desistas'.*

1 sqq. Psalm. CXVII, 15–17. || 10. *ἐπηλύδων* F. *διάγοντα* et *συνδιατρίβοντα* scripsi: *διάγοντι* et *συνδιατρίβοντι* F. || 12 sq. Sirach VI, 15. || 13 sq. Matth. VII, 10. || 18. *συναυξημένους* F.

κατωχυρωμένους μὴ ἀφίστασθαι τῶν ὧν ἐβεβαίωσαν· μηδεὶς θαυμάσει τῇ διαπλήξει, ἀλλ' ὑπερθαυμασάτω τὴν ἀγαθότητα. πάντως γὰρ οὐκ ἦν βασκανία τὸ μέσον ἐπισυμβάν, ἀλλὰ <πατρὸς> πρὸς καιρὸν νουθεσία καὶ υἱοῦ φιλτάτου δυσφόρησις. πέφυκε γὰρ τὰ τέκνα μὴ παντάπαν ἀποδέχεσθαι τὰ τῶν τεκόντων θεσπίσματα νεότητος ἁπλαστίᾳ ἢ αἰσθήσεως πρὸς τὰς ἡδονὰς ἐπιτάσει. ἡμεῖς δὲ Θεῷ κἂν ἡμάρτομεν, ἀλλὰ τῆς ἀληθείας οὐδόλως ἠλλοτριώθημεν. καὶ γὰρ θρηνοῦντες παρεκαλοῦμεν, ἀθυμοῦντες οὐκ ἀπηλπίσαμεν, λειποψυχήσαντες οὐκ ἐν ἑτέρᾳ πηγῇ θολερᾷ θολεροῦ γεννητρίᾳ ὕδατος ἐπορεύθημεν, ἀλλὰ πρὸς τὴν τῶν ἀρετῶν καὶ λόγων κρήνην διειδεστάτην, ἧς ἐποτίσθημεν νάματα ἐκ νεότητος καθαρώτατα· ἐξ ἧς ἀκεσόθυμον φάρμακον τὴν τῶν χαρίτων πολύρρουν ῥεῖθρον θείαν ἐπιστολὴν ἀνελάβομεν. ὃ καλῆς οὔσης ταύτης περιστερᾶς, κάρφος ἀγάπης καὶ τῶν πλημμελημάτων ἄμφω συγχώρησιν φερούσης περὶ τοὺς ἐγχαραττομένους αὐτῇ λόγους, ὡς οἷον ἐν φωνῇ τε γλώττῃ καὶ στόματι, παῦλαν κἀκ τού-
f. 82v των | δούσης τε τοῖς ὑπερβαίνουσι κύμασι τὴν ἡμετέραν ψυχήν. εἶχε γὰρ τὴν συνήθη ἔνδον μεγαλοπρέπειαν, ἣν ἰδόντες οἷον ἐνθουσιασμῷ τινι κατεσχήθημεν καὶ τὸν ἡμέτερον πατέρα σέ, ὃ τίμιε τῇ ἐμῇ ψυχῇ καὶ σεβάσμιε, ὁρᾶν ἐνομίσαμεν. κατασπάζομαί σε τῆς τοσαύτης χάριν ἀγαθωσύνης· τὴν εἰκόνα τῶν σῶν ἀρετῶν καὶ λόγου σεβαστικῶς προσκυνῶ· ἧς οὐκ ἀποστερηθείημεν πώποτε τῶν ἰχνῶν, εἰ μή τι τὰς φρένας βλαβείημεν. ἐμνήσθημεν γὰρ νόστου, τὴν γραφὴν τῆς τιμίας μοι κεφαλῆς ἀναλαβόμενοι. ἦκε γὰρ πρὸς ἡμᾶς ἡ παιδεύτρια, ἡ συνήθης διδάσκαλος, τὸ φίλον ἔπος, ἡ νομιζομένη Θεοῦ φωνὴ ἐν ἡμῖν, τὸ φιλοσοφίας ἄνθος, ἡ τῶν προτέρων σῶν ὡραιοτάτων ἐπιστολῶν ἀδελφή, τὸ ἡμέτερον παρηγόρημα. τί γάρ με κόσμου τιμᾶν εἰδέ τις ἕτερον, ἢ τὴν φίλην φιλοσοφίαν; εἰ δὲ ταύτην, τάχ' ἂν οὐδεὶς εἴπῃ ὅτι μὴ σὲ τετίμηκα. οὐκ ἐπιλήσομαι γάρ σού ποτε, εἰ μὴ καὶ Θεοῦ ἐπιλήσομαι· ἦν ὥραν ἐπιλησθείη ἡ τῶν ἐμῶν δεξιά, κολληθείην δὲ τῷ ᾄδῃ, τῷ νοητῷ δηλαδή, σὺν τῇ γλώττῃ μου. οὐ δεδιὼς ταῦτα λέγω· οὔκουν· ἀλλὰ φίλτρῳ τῆς ἧς οἶδας ἐμῆς πρὸς σέ, ὦ Θεοῦ
f. 83r φίλε, σχέσεως. | ἔχω εἰπεῖν δὲ πρὸς τούτοις καὶ ἕτερον. ὥσπερ τῆς τετράδος ἀναιρεθείσης, ἀναγκαίως ἀναιρεῖται τὸ τετράγωνον, οὕτω

---

21. <πατρὸς> πρὸς καιρὸν scripsi: πρὸς κν̄ (= πρὸς κύριον) F. || 24. Θεῷ scripsi coll. ep. XXXVI, 56: θεοῦ F. || 29. immo ἀκεσίθυμον. || 41. μοι scripsi: μου F. || 47 sq. Psalm. CXXXVI, 5 sq.

δὴ καὶ τῆς σῆς ἀπ' ἐμοῦ φιλίας ἀναιρεθείσης, ἀναιροῦμαι ὅλος ἐγώ· οὐδὲν γὰρ τῶν ὄντων ἐστὶν ἀπρονόητον· σὺ ἡ ἡμετέρα μετὰ Θεὸν πρόνοια· οἶδας γάρ, οἶδας· τοῦτο μὴ ἐπιλάθῃ αἰτούμεθα· οὐχ ἕνεκα χρημάτων (πάλαι γὰρ ἡμῖν ταῦτα καταπεφρόνηται), οὐχ ἕνεκα δόξης (μικρὸν γὰρ τὸ τῶν ἀνθρώπων ἐστὶ φρύαγμα), οὐχ ἕνεκα εὐζωίας τῆς ἐν τῷδε τῷ βίῳ (οἷα γάρ ἐστιν ἔγνωσται), ἀλλ' ἕνεκα φιλοσοφίας καὶ τῆς κατὰ δύναμιν ἀρετῆς (καὶ Θεῷ γὰρ φίλον ἐστὶ τὸ κατὰ δύναμιν) ἐπαίδευσας· τίς ἐστιν ὁ ἀνακρίνων με; ἐνουθέτησας· τίς ὁ ζηλοτυπήσων; ἠγκαλίσω· τίς ὁ φθονήσων; ἐκεῖνα πατρὸς ἀγαθοῦ καὶ τὰ δι' ἃ ταῦτα υἱοῦ θαρροῦντος πατρί. ἐπατίμησον τοῖς θηρίοις τοῦ καλάμου, τοῖς τῶν πολλῶν λογισμοῖς δηλαδή, καὶ τὰ κατὰ τοῦ σοῦ υἱοῦ τούτων φρυάγματα καταστόρεσον. σὺ δὲ ἡμᾶς κατοχύρωσον ταῖς εὐχαῖς τε καὶ παιδεύσεσι· καὶ συνήθως ἐπίστελλε μετὰ τῆς συνήθους σοι χάριτος. ἐπὰν δὲ δῴη Θεὸς ἰδεῖν ἀλλήλους ἡμᾶς, τότ' ἂν γνωρίσῃς τὴν καρδιακὴν | ἡμῶν εἰς σὲ πρόθεσιν· οὐχ ὡς μὴ πάλαι ταύτην f. 89ᵛ εἰδώς, καὶ γε λίαν εἰδώς, ἀλλ' ὅπως τοῦ ἑαυτῆς ἐπεθύμησεν· ἀγγαλίζομαί σε καὶ σώματι καὶ ψυχῇ, εὐχαριστίᾳ πολλῇ τῇ ἐγγράφῳ ὑπερευχαριστῶν σοῦ τῆς τοῦ ἐμοῦ αἰτήματος ἀποπληρώσεως. τὸ πρὸς τοὺς ἀσάρκους δαίμονας, νίκης ἠχώ, ἐννάλιον, ἡ εὐχὴ τῆς Ἁγιωσύνης σοῦ παρὰ Χριστοῦ ποθῶ χαρισθείη μοι.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XL. Ὄχλος πολύς· καὶ οἱ μὲν συνεζήτουν, οἱ δὲ ἐθαύμαζον· ἐγὼ δ' ἠρώτων παραγενόμενος, καὶ οἱ ἀφηγούμενοι τὸ λεγόμενον οὐδὲν διεσάφουν, καὶ οἱ θαυμάζοντες οὐκ ἤδεισαν τί καταπλήττονται· ἦν δὲ τοῦτο τοῦ μεγαλείου τοῦ πράγματος. οἱ γοῦν ἀφηγούμενοι καλῶς οὐ διήθρουν τοὺς λόγους· οἱ δὲ θαυμάζοντες εἶχον μεγίστην τὴν ἡδονήν,

70. νίκης ἠχώ ut glossema deleverim, vel post ἐννάλιον transtulerim; ἠχῶ F.

XL Argumentum. *' Una cum ceteris nostris miro gaudio afficior propter victoriam eam quam tua sapientia de Italis tulit. Mitto igitur ad te dulcia poma, quorum ruber color et rotunditas tuum veritatis amorem et tuam multiplicem doctrinam indicant '.*

λέγειν δὲ καλῶς οὐκ ἠδύναντο. μόλις ποτὲ δὲ καί τις ἀνὴρ ἰταλὸς μεθ' ἡμῶν ἔστη ἀνὰ χεῖρας ἔχων τὸ θαυμαζόμενον· ἦν δὲ τοῦτο ἐν χάρτῃ γεγραμμένον θεώρημα, ἓν μὲν δοκοῦν, πολλὰ δ' ἔχον ἐν ἑαυτῷ. ἐγὼ δ' ἰδὼν τοῦτο συνῆκα μηθενὸς εἶναι ἄλλου, ἢ σοῦ τοῦ ἐμοῦ πατρός. τῇ μὲν γνησιότητι κατελάμβανον, τῇ δὲ ἀδηλίᾳ τοῦ ἕνεκεν τίνος ἐγένετο διηπόρουν, ἐπεὶ καὶ οἱ ἀφηγούμενοι καὶ θαυμάζοντες
f. 84r καλῶς | οὐκ ἐγίνωσκον. ἀλλὰ τί λέγω; μικρὸν ἐπιβαλόντος μου τῇ ἐννοίᾳ αὐτοῦ, πάλιν οἱ περικύκλῳ ἐθαύμαζον. συνέρρευσε γοῦν πλῆθος πολύ· καὶ οἱ μὲν ἐμβρόντητον τὸν Μαρκίωνα τῇ τοῦ θεωρήματος λύσει γενέσθαι ἔλεγον, πρὸς ὃν ἦν καὶ ὁ σύλλογος· οἱ δὲ τὸ σοφὸν καὶ τὸ μεγαλοφυὲς ἐξεπλήττοντο, καὶ ὅλως ἦσαν τῆς ἡδονῆς· μικροῦ γὰρ πᾶν τὸ βασίλειον συναθροισθὲν ἐκεῖσε κατεκρατεῖτο τῇ ἡδονῇ· εὐφημίαι τοίνυν πολλαὶ διὰ ταῦτα καὶ ἡδονὴ καὶ νίκη Ἑλλήνων πρὸς Ἰταλούς. ἐγὼ δὲ ὡς μὴ μόνος ἐκείνων τῆς ἡδονῆς ἄμοιρος ἐναπολειφθῶ, εἰς τὴν οἰκίαν ἐξέδραμον· οὓς εἴχομεν δὲ νοημονεστέρους ἐστείλαμεν, ἵνα καλῶς παρὰ σοῦ ἀναδιδαχθέντες τήν τε θέσιν καὶ λύσιν τοῦ θεωρήματος, ἐξ αὐτῶν τε ὅπως ταύτην ἡμεῖς ἀναδιδαχθῶμεν· κενοὺς αὐτοὺς ἐδεξάμεθα, ἔπαθον γὰρ καὶ οὗτοι ὅπερ ὅλον ἔπαθε τὸ βασίλειον. ἡμεῖς δὲ τῇ γνησιότητι πρὸς σὲ καὶ τῇ υἱικῇ ἰδιότητι πάντα καλῶς ἔγνωμεν. διὸ τῇ τοσαύτῃ χαρᾷ, τῇ μὲν ὅτι εὕρομεν τὸ ζητούμενον, τῇ δὲ ὅτι τὸ ὅλον ἀνάκτορον ἑνὶ ἔστη θεωρήματι, καὶ ὅτι ἐν τούτῳ ἡ τοῦ Μαρκίωνος πρεσβεία νῶτα δίδωσι τῇ τῶν Ἑλλήνων φιλοσοφίᾳ, ἥτις αὐτόχρημα σὺ ὑπάρχεις, ἅγιέ μου πατήρ, τὰς γλυκείας ὀπώρας ταύτας δή σοι πεπόμφαμεν ἐρυθρότητι |
f. 84v δηλοποιούσας τὸ πρὸς φιλοσοφίαν καὶ ἀρετὴν ἀληθὲς τῆς Ἁγιωσύνης σου καὶ τὸ κατὰ πᾶσαν σφαιρικὸν ἐπιδειότητα.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XLI. Ναρκᾷ καὶ ἡ χείρ, καὶ ἡ γλῶττα συμπάσχει μου τῷ νοΐ· οὐ γὰρ ἔχω τί εἰπεῖν ἢ τί διανοήσασθαι. ἀγγελία δεινή, καὶ οὐδεὶς ὁ λύσων

---

8. δοκοῦν et ἔχον scripsi: δοκῶν et ἔχων F. ‖ 9. μὴ θενὸς F. ‖ 12. ἐπιβαλλόντος F. ‖ 29. post ἐρυθρότητι exciderit καὶ στρογγυλότητι vel tale quid.

XLI Argumentum. *' Tuae valetudinis nuncius me summo dolore affecit. Dominum obsecro ut te mihi reddat incolumem '.*

αὐτήν, ἡ Θεὸς ὁ πάντων παρήγορος. νόσον γὰρ σὴν ὁ τῆς σῆς γραφῆς ἀποκομιστὴς ἀνηγόρευε, καὶ ἡ γραφὴ ταὐτὰ ἐδήλου. τί τοῦτο θαρρῶ εἰπεῖν; μὴ ἐάσῃς ἡμᾶς ὀρφανούς· ὁ γὰρ ἄγγελος τὰ μάλιστα ἡμᾶς κατεθρόησεν. ἐκτὸς σοῦ ἄλλον οὐκ οἴδαμεν πατέρα, διδάσκαλον, ῥυθμιστήν, μεσίτην Θεοῦ, τῶν κοσμικῶν πραγμάτων συνίστορα, παρήγορον ἐν ταῖς θλίψεσι, φύλακα τῆς ψυχῆς, κανόνα καλῶν, καὶ τὸ τέλος ὅσιον, θεάρεστον, θεόπαιδα, ἅγιον. ἐξευμένισον τὴν Τριάδα, καὶ ἡ εὐχὴ τοῦ φίλου αὐτῆς σώσοι αὐτὸν καὶ ἡμᾶς. πίστευσον γὰρ ὅτι κρεῖττον εἴχομεν <ἂν> ἀνὰ χεῖρας λαβεῖν κώνειον καὶ ἑαυτοὺς δηλήσασθαι, ἢ ταύτην τὴν γραφὴν δέξασθαι. Θεῷ δὲ θαρροῦντες, εἰς ὃν ἐπερρίφημεν ἐκ κοιλίας μητρός, οὐκ ἂν ποτε δειλιάσωμεν, ἀλλ' ἀνδρειωθέντες ὑπὸ τοὺς πόδας ἡμῶν κυλινδουμένην σὴν νόσον σὺν δαίμοσιν ἴδωμεν, | σὲ δὲ καὶ ἐμὲ ᾠδὰς Θεῷ ἀναπέμποντας. ἔρρωσο. ὁ δὲ γραμματοκομιστὴς ἐξαγγελλας πρὸς σὲ ὅσαπερ ἐξ ἡμῶν ἤκουσεν ἀντιστραφήτω· ἵνα καὶ τὴν τῆς ὑγείας εἰλικρίνειαν τῆς Ἁγιωσύνης σου ἡμῖν προσκομίσῃ δῶρον ἐξαίρετον. ἡ εὐχὴ ταύτης μείνειεν ἐν ἐμοὶ ἀδιάλειπτος. f. 85r

Vind. 321

Τοῦ σοφωτάτου βασιλέως κυροῦ Θεοδώρου τοῦ Λάσκαρι ἐπιστολαὶ πρὸς τὸν ἁγιώτατον καὶ μέγαν ἐν φιλοσόφοις κυρὸν Νικηφόρον τὸν Βλεμμίδην μετὰ τὴν τῆς βασιλείας ἐντελέχειαν. f. 310r

XLII

Θαυμαζόμεθα τοῖς πολλοῖς· ἀλλ' ὁ θαυμασμὸς καὶ μάλιστα τοῦ πολλοῦ· ὅτι αἱ τῶν θαυμασίων ἀρχαὶ εἰς ἡμᾶς ἐθαυμαστώθησαν ἐξ αὐτοῦ, καὶ εἴ τις οἶδε θαυμάζειν εἰς ἡμᾶς τὰ θαυμάσια, ἀνάγει τὸν θαυμασμὸν εἰς τὸν θαυμαστώσαντα. τί τοῦτο; σὺ γὰρ καὶ πολὺς καὶ θαυμάσιος· καὶ εἴ τις ἐκπλήττεται, εἴτε θεῖός ἐστιν, εἴτε τὸ μὲν ὡς τὸ δ' ὡς οὔ, τὴν ἔκπληξιν πρὸς σὲ διαβιβάζει τόν με πλουτοδοτήσαντα· καὶ εἴ τις ὡς ἰχθὺς ἄφωνος τοῖς λόγοις ἐξαπελέγχεται,

---

4. ταὐτὰ scripsi: ταυτα F. || 7. ῥυθμιτὴν F. || 11. ἂν supplevi. || 12 sq. Psalm. XXI, 11. || 15. ἴδωμεν scripsi: εἴδομεν F. || 18. μείνοιεν F.

XLII Argumentum. *' Qui me admirantur, te laudent oportet, qui omnia mihi virtutis ornamenta dedisti. — Dona quae ad me misisti argumentum mihi scribendi praebuerunt '.*

1. τοῦ corr. ex τοῖς V. || 6. πρὸς] ὡς superscr. πρὸς V.

μάλιστα μεγαλύνει διὰ τῆς ἀφωνίας τόν μοι τοσαύτας ῥοὰς τοιαύταις ῥοαῖς γραφικῆς εὐγενείας ἀρδεύσαντα καὶ φυτὸν ἐκτελέσαντα γλυκυτάτους ἀπογεννᾶν τοὺς καρπούς· οἱ καρποὶ τοίνυν τοῦ φυτουργοῦ μᾶλλον ἢ τοῦ φυτοῦ· καὶ εἴ τις ἐκπλήττεται, μάλιστα ἐπαινεῖ τὸν βροντᾶς μοι καὶ ἀστραπὰς νοημάτων θείων καὶ ἀνθρωπίνης καταπληκτικὰς τῆς ἀλογίας ἀποχαρίσαντα, νοητοῦ δὲ μαργαρίτου γεννητικάς, τοῦ λόγου φημί. ταῦτα δὲ πόθεν; πάντα ἐκ σοῦ· ἐκ σοῦ γὰρ καὶ ὀπορῶν αἱ χλωρόταται προσφερόμεναι ῥοάς μοι προξενοῦσι τοῦ λόγου καὶ ἄρτι πολλάκις μοι προσαγόμεναι στηρικτικήν μοι νοημάτων πληθὺν ἐπιδαψιλεύουσι. καὶ ἰχθύων ἀφώνων καὶ ὀπτῶν μοι νῦν αἱ προσαγωγαὶ τὰς ἐμὰς γραφὰς ἐργάζονται ἀναζωτικάς, τὸ μὲν κατὰ χύσιν λόγων ἐκτείνεσθαι, τὸ δὲ ὀπτὰς εἶναι τὰς διανοίας τῶν λόγων τούτων, ἵνα μή τι νόημα ὑδαρῶδες ᾖ ἐν αὐταῖς, ἀλλὰ τὸ ὂν τυγχάνῃ ἐν αὐταῖς ἀκραιφνέστατον. χάρις τοίνυν ἐν σοὶ <τῷ γ>ράφοντι, τῷ προσφέροντι, τῷ αἰτιοποιοῦντι, τῷ λογώσαντι, τῷ σοφίαν ἀπο<χαρί>σαντι, ἡμῖν δὲ χάρις αὐτὸ τὸ ὅτι διὰ σὲ παρὰ σοῦ τῶν σῶν χαρίτων ἀπολαμβάνομεν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XLIII. Γραφὴ καὶ ὀπῶραι ἴσαι δὴ τοῖς σχήμασι καὶ τοῖς χρώμασι καὶ διαδιδοῦσαι πρὸς ἑαυτὰς ἀντιστρόφως τὰ ἴδια· ἡ μὲν γὰρ ἐρυθρά τε καὶ σφαιρική, ἡ δὲ ἀληθὴς καὶ τετορνευμένη, ὥσπερ δή τις εἰπῇ, ἐκ τῆς ἐν τόρνῳ λογικῆς οἷον προελθοῦσα φορᾶς. ἀλλὰ δὴ τὸ μὲν
f. 310v τῆς ποιότητος, ὅτι χρῶμα ποιότητος, τὸ δ' αὖ οὐ ποσότητος | ὅτι τὸ σφαιροειδὲς καὶ τετορευμένον τοῦ σχήματος· ὅπερ δὴ ἐν τῇ ὁπώρᾳ κατὰ χρῶμα φυσικῶς ὑπάρχειν ἐφαίνετο, ἐν τῇ γραφῇ φυσικῶς διὰ

8. immo ῥοιάς? || 16. προσαγόμενοι V. || 17. ωπτας corr. ex ωπτήν ut vid. V. || 20. τυγχάνει V. || 21 sq. quae supplevi hic et in sequentibus saepius, tineae nobis in codice inviderunt.

XLIII Argumentum. *'Et fructus a te missos et scriptum tuum accepi. Utraque me vehementer delectarunt; scriptum autem admirari et laudare non desino'.*

5. πότητος utrobique V. || 6. intellige τετορνευμένον; sed nihil mutandum, recentiores enim his verbis promiscue utuntur. || 7. alterum φυσικῶς mutandum in ψυχικῶς vel νοερῶς? sed praestat nihil novare.

τὴν ἀλήθειαν· ἐν ἐκείνῃ γὰρ τὸ ἐρυθρὸν φυσικῶς καὶ ἐν τῇ γραφῇ τὸ ἀληθὲς ἀληθέστατα· ἐν ἐκείνῃ τὸ σφαιροειδὲς ἐκ τοῦ σχήματος καὶ ἐν τῇ γραφῇ τὸ κυκλικόν τε καὶ στερεόν, τὸ μὲν ἐκ τῆς ῥητορικῆς κυκλικῆς καλλιεπείας καὶ φράσεως, τὸ δ' αὖ ἐκ τῶν σφαιρικῶν φιλοσόφων ἐνθυμημάτων. ἀρ' οὖν ἐν ταύτῃ ὁ ἰσασμὸς καὶ ἐν αὐτῇ τὸ ὑπέρτερον τῇ γραφῇ· νικᾷ γὰρ κατὰ μὲν τὸ σφαιρικὸν ταύτην τῇ ἀθροίσει τῶν νοημάτων, κατὰ δὲ τὸ κυκλικὸν τῇ εὐστροφίᾳ τῆς μεταχειρίσεως, κατὰ δὲ τὸ χρῶμα τῇ σημάνσει τῆς ἀληθοῦς φιλοσόφου διατυπώσεως, τῇ γλυκύτητι κατὰ λέξιν, τῇ ἡδύτητι κατ' εὐφράδειαν, τῇ ὑγρότητι ἐννοιῶν κατὰ χύσιν καὶ τῇ θαληρότητι, τῷ ἀνθηρῷ τῆς γραφικῆς συνθήκης καὶ τοῖς ἑξῆς. ὄντως ὑπερνικᾷ τὴν ὀπώραν ἡ ταύτης γραφὴ σύντροφος. εἰ δὲ καὶ νέος ἐνίκησε τὸν γεννήτορα τῆς γραφῆς, οὐχ ὡς ἔγωγέ φημι, ἀλλ' ὡς ὁ τὴν γραφὴν ἀναγραψάμενος διωρίσατο, οὐ νίκη τοῦτο, ἀλλὰ τῶν ἰσχυροτέρων φαλάγγων προτρέχουσιν οἱ ψιλοὶ μυρί' ἅττα προσπταίοντες ἀπρεπῶς. τὸ γὰρ νεάζον τῆς φύσεως προτρέχει ἀεί, κἂν τοῦ σταθηροῦ λείπηται· εἰ μή τοί γε ἡ τῆς προκρίσεως κρίσις ὥς ἐστι κρίνεται· οὔτε γὰρ τὸ μὴ χρόνου τιμᾶται, οὔτε τῷ ἐν χρόνῳ τὸ σύνολον παραβλέπεται. οἱ γὰρ κρίνοντες κρίνουσι, καὶ πρεπόντως καὶ φιλοσόφως καὶ ἀξιωματικῶς τοὺς τῆς ἐπιστήμης ποθοῦσι καταλλήλῳ τῇ τάξει καὶ ἐπιστήμῃ· οὐ χρόνος κρίνει, ἀλλ' ἡ ἀλήθεια μαρτυρεῖ· οὐ τὸ νεάζον δικάζει, ἀλλ' ἡ χρῆσις τῶν ἀναγκαίων τὰς κατὰ κρίσιν χρήσεις φέρει τῇ δίκῃ. καὶ τιμᾶται ὁ φιλόσοφος φιλοσόφως καὶ ὁ στρατιώτης ὡ<ς> στρατιώτης. τίνος τὸ λεγόμενον ἔργον; ἡ κρίσις φιλοσοφίας, ὁ δὲ κρίνων τοὺς <ἐν φιλο>σοφίᾳ πρωτεύοντας συγκεῖσθαί τε καὶ συμβολογραφεῖσθαι τοῖς κρείττοσιν <νικᾷ τε> καὶ ὑπερνικᾷ. πόσην ἂν ἐκ τῆς κριτικῆς καὶ φιλοσοφίας τὴν ἀντίχαριν δέξηται; ἐγὼ μὲν οὖν κρίνω τὴν γραφήν σου καὶ σέ, καὶ σὲ μὲν ὑπὲρ τοὺς νῦν τε καὶ πώποτε, τὴν δὲ γραφὴν ὡραιοτάτην κατονομάζω περιστεράν, χελιδόνα λαλιστάτην καὶ εὔσημον, τρυγόνα ὡραιότατον, ἄνθος κήπου Θεοῦ, παραδείσου ὁσμῆς ἀγαλλίασιν, εὐθυμίαν ψυχῆς, εὐφροσύνην νοός, αἰσθήσεως εἰλικρίνειαν, γλώττης πλατυσμόν, τοῦ προφορικοῦ καὶ ἐνδιαθέτου λόγου σύ-

12. incertum ταύτῃ an ταύταις V. || 15. μεταχειρήσεως V. || 32. προτεύοντας V. || 33. lacunam 6-8 litterarum dubitanter explevi; πόσην scripsi: πόση V. || 37. immo ὡραιοτάτην.

στασιν καὶ ὑψηλοτάτην φωνήν. οὕτω δὴ κρίνας τὴν ἐπιστολὴν καὶ τὸν ἐπιστείλαντα, ἐπέχω τὸν λόγον, τῶν ὀπωρῶν μὲν μέρους γευσάμενος
f. 59r* | τῆς δὲ γραφῆς συνήθως, ὡς ἥδυσμά τι θεῖον καὶ νοερόν, ἀναμαξάμενος τὰ ἐξαίρετα.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XLIV. Βασιλέως μὲν κληρουχία φυλακὴ βασιλείας ἐκ τῆς τῶν περικύκλω λύμης συνομορούντων ἐχθρῶν, καὶ τοῦτο ἄριστον· καὶ σοφοῦ δὲ κληρουχία τε καὶ λαμπρότης ἡ τῶν λόγων ἐντελεχὴς κατάληψίς τε καὶ γέννησις καὶ ἡ τῆς πράξεως διάκρισίς τε καὶ συνεργασίᾳ πρόσληψις, καὶ τοῦτο τῶν μάλιστα. σοφοῦ δὲ καὶ μάλιστα βασιλέως κληρουχία καὶ ἀρετὴ καὶ ἔπαινος καὶ ἐγκώμιον καὶ κόσμος καὶ δοξασμὸς τοῖς σοφοῖς γνωρισμώτατον· καὶ τί λέγω; σὺ πάντως ὅτι σοφώτατος καὶ γινώσκεις ἐκ τῶν ἐργασιῶν τὸν κλῆρον τὸν ἔχοντα καὶ τὸ κληρουχούμενον. τί γὰρ ἄλλο κλῆρος τῶν σοφῶν βασιλέων ἐξαίρετός τε καὶ τιμώτατος, ἢ τὸ ἀληθές, τὸ κριτικόν, τὸ δίκαιον; εἰ δὲ καὶ κρίσις πως μανθάνει, διὰ τὴν κρίσιν ὁ κρίνων οὐ κρίνεται· εἰ δὲ καὶ τὸ δίκαιον μέχρι καὶ τῶν λεπτοτάτων ἑτάζει διὰ τὸ δίκαιον, ἀδίκως οὐκ ἄν ποτε δικασθήσεται· εἰ δὲ καὶ ἡ ἀλήθεια διὰ τὸ φῶς τὸ τῆς ἀληθείας ζητεῖ τὰ μὴ τοῦ σκότους καὶ τῆς ἀποκρυβῆς, πῶς ἂν σκοτασθήσηται; πῶς ἂν ἀποκρυβήσηται; τοῦτο γινώσκεται μὲν τοῖς γινώσκουσιν, ἀγνοεῖται δὲ παντάπαν τοῖς ἐξωτερικοῖς. σὺ δὲ πρὸς ἡμᾶς καὶ μάλιστα γνησιώτατος, καὶ διότι πρὸς ἡμᾶς, καὶ πρὸς τὴν ἀρχήν· ἦν γὰρ ἦν [ὅτε]καιρός, ὅτε οὐκ ἦν καὶ τὸ πρὸς τὴν ἀρχήν· ἀλλὰ νῦν σε τὸ πρὸς ἡμᾶς καὶ τὸ πρὸς τὴν ἀρχὴν ἀρίστως ἐπῳκοδόμησε. καὶ λέγεις τί πρὸς ἡμᾶς, ἢ μᾶλλον τί δὲ πρὸς τὴν ἀρχήν; ἐᾶσαι δὴ παντάπαν τὰ τῆς ἀρχῆς, ἢ τῇ ἀληθείᾳ ἀκολουθεῖν; ζητεῖν δὲ κατὰ λόγον τὸ δίκαιον, ἢ

---

* Cfr. *Prolegomena.*

XLIV Argumentum. '*Quaecumque in administrando imperio facimus, iustitiam in primis et populi nostri commoda quaerimus. Quod si de nobis nonnulli perperam sentiunt, Deum nobis aequum fore iudicem confidimus*'.

11. *μανθάνει* scripsi dubitanter: *λανθάνει* F; num *λαγχάνει* (sc. *δίκην* vel sim.)? || 17. *ὅτε* delevi: mutaverit aliquis in *ποτε* || 18. malim *τὸ καὶ* et mox *ἀλλ' ὁ νῦν γε* (sc. *καιρός*), nam *σε* non intellego.

τὴν κρίσιν ὑπὸ τῆς φιλανθρωπίας ἐξανελεῖν; εἰπερ γὰρ ἐξέλομεν ἐκ τῆς ἀνθρωπίνης φύσεως κρίσιν, ἀκρίτως ζήσει τὸ βρότειον· καὶ ποῦ καὶ πῶς δὲ τὸ ἀρχικὸν πολιτεύσεται; ἔστι δὲ καὶ ἄκριτος κρίσις, ὅταν ἀκρίτως ἤ γε καὶ ἀδιακρίτως ὁ πταίων πταίει παρὰ συνείδησιν. τί λέγεις; παρεᾶσαι τὸ τῆς <βασι>λείας δίκαιον ἡμᾶς ἀναγκάζεις λόγοις σοφοῖς πρὸς τοὺς παραλόγως κατέχοντας τ<ὸ δοῦ>ἐν αὐτοῖς λογικῶς; ὁ γὰρ ἐμὸς γενέτης ταῦτα ἐπράξατο· καὶ ζητοῦμεν ἡμεῖς ἅπερ ἐκεῖνος κατὰ λόγον ἐποίησεν. ὅτι δὲ τὸ ἔργον ἐκείνου καὶ λόγιον, ἀληθέστατα. τὰ γὰρ ἔργα τούτου τὸν σκοπὸν δηλοῦσιν αὐτοῦ καὶ τὴν ἀληθῆ γνῶσιν καὶ λόγον τὸν φιλοπάτριδα καὶ τὴν εἰς τὸ ὑπήκοον κρίσιν καὶ πάντα τὰ τούτου κάλλιστα. ἐνθυμήθητι Τριβαλλῶν καὶ τῆς πρὸς τὴν Ἐπίδαμνον γῆς, καὶ σκόπει περὶ τὴν Τρίπολιν καὶ τὴν Ῥόδον τε | καὶ τὸν Κάραμπιν, καὶ τῇ περμέτρῳ καὶ διαμέ- f. 59v
τρῳ τὸ ἐμβαδὸν τοῦ πλάτους διαμέτρησον καὶ τῷ πολυμερεῖ δὲ σχηματισμῷ τὰς γειτνιαζούσας χώρας καὶ τὰ ἔθνη ἐρεύνησον· καὶ ἰδὲ τὰς μάχας, ἐξέτασον τὰς ἐπιβουλάς, τὰς συμπλοκάς, τὰς περιπλοκάς, τοὺς συνδέσμους τῶν πονηριῶν, τὰς κατασκευάς, τὰς μελέτας ἑνὶ κόσμῳ μιᾷ ψυχῇ πονηρευομένας, μελετωμένας. καὶ ἐπὶ τούτοις σοφωτάτως δὸς τὰς κρίσεις, σοφώτατε. καὶ πάλιν ἐρῶ τί λέγεις; δεῖν τοιούτων στρατευμάτων, ἢ οὔ; εἰ μὲν ἔστι, δὸς σοφωτάτως τὸν ναῦλον καὶ τὴν δαπάνην· εἰ δὲ τοὺς ἀγῶνας ζητεῖς, τοὺς δὲ μισθοὺς οὐκ ἐκ τῶν δι' ὧν οἱ ἀγῶνες γίνονται δίδοσθαι λέγεις, δὸς τὸν τρόπον τῆς γνώσεως. ἔστι μέν, ἔστι χρυσὸς ἢ καὶ κόσμος καὶ ἄργυρος ἀμυδρὸς συνηγμένος πρὸς τὴν ὁλότητα· καὶ εἰ μὲν ἐκεῖσε θήσεις τὴν ἀφορμὴν τῆς τῶν στρατευμάτων χρειώδους ἐξαναλώσεως, ἐν μικρῷ τῷ καιρῷ οὐδαμῶς εὑρήσεις χρυσόν· καὶ τὴν κακὴν συνήθειαν εἰς τοὺς ὑπὸ χεῖρα καταβαλὼν αἰτήσεις διὰ χρῆσιν εἰς χρῆσιν καὶ λήψῃ γε οὐδαμῶς, καὶ ἡ βλάβη ἐκ τοῦ λεγομένου πολλή. τί ποιήσομεν οἱ ὀνειδιζόμενοι; ἀρεταίνομεν, ἢ κακίαν πραγματευόμεθα; ἀρετὴν γὰρ ἔχοντες, τὸ πραττόμενον ἐκμεμφόμεθα· πρὸς δὲ τοὺς ἐπαίνους, οὓς οὐκ ἄν ποτε ἀρετὴν ὀνομάσω, βαδίζοντες, ἔχομεν κριτήν, αὐτὴν ἰσχὺν τὴν ταλαίπωρον. τί ποιήσομεν; σιωπήσομεν πρὸς μικρὸν καὶ τὰ νεῦρα τῆς βασιλείας ἐκνενευρισμένα ὀψόμεθα; λαλήσομεν ὡς τὸ σύνηθες καὶ

---

28. γεννέτης V. || 34. immo τὴν Κάραμβιν. || 35. διαμέτρησον, supscr. ἐκ V. || 36. ἴδε V. || 39. πονηρευομένας] immo πεπονημένας? || 40 sq. δεῖν τοιούτων scripsi: δεῖνται οἱ τῶν V. || 42. τοὺς <μὲν> ἀγῶνας?

παρὰ τῶν σοφῶν, πάλιν ἐρῶ, μεμφθησόμεθα; τί τοῦτο; πρὸς περιττὰς δὴ χρείας ἕλκομεν τὸν χρυσόν; πρὸς βλακείας πολλάς, πρὸς παραχρήσεις ἀνωφελεῖς παραχρώμεθα τῷ καλλίστῳ; τί ποιοῦμεν παράλογον; πρὸς κυνηγεσίων σπουδάσματα καταναλίσκομεν τὸν χρυσόν; πρὸς πολυτελῶν τραπεζῶν πανδαισίαν ἐκδαπανῶμεν αὐτόν; πρὸς πότους ακ<ρατεῖς>, πρὸς τρυφὰς ἀπρεπεῖς, πρὸς νεωτερισμοὺς μισητούς; πρὸς τί δὲ παίγνιον ἢ <πρὸς τί> σπούδασμα τελειότατον ἡμεῖς, οἱ τῇ μὲν ὥρᾳ ἀκμάζοντες, γηράσκοντες δὲ τῇ ψυχῇ, καὶ ἀεὶ τὰ τῆς φιλοσοφίας πρεσβεύοντες; ἀνατέλλοντος τοῦ ἡλίου περὶ τῶν ὁπλιτῶν ἡμῖν ἡ φροντὶς ἐκ τῆς κλίνης συνανεγείρεται, ἀνερχομένου τε καὶ ἀναφερομένου περὶ τὰ ὑψηλότερα ἡ τῶν πρέσβεων μέρμνά τε καὶ εἰσοδοχὴ καὶ ἀπεκβολή, ἔτι δὲ ἀναφερομένου ἡ τῶν φαλάγγων τάξις τάττεται παρ' ἡμῶν, ἱσταμένου δὲ περὶ τὸ ἡμερήσιον μέσον ἡ τῶν δεομένων μελέτη μελετᾶται τε καὶ κατασκευάζεται, καὶ ἵππῳ βαίνο-
f. 60r μεν | ὡς τῶν μὴ πρὸς τοὺς ἐν ταῖς πύλαις τῶν βασιλείων εἰσελθεῖν δυναμένων ἀκροασόμενοι, ὑποκλίνοντος δὲ τὰς κρίσεις τῶν ὑποκλιθέντων ἀποπληροῦμεν, δύνοντος δὲ τῇ βίᾳ τοῦ δεσμοῦ τῆς ψυχῆς καὶ τῆς ὕλης τροφῆς γευόμεθα ὡς εἰκός, καὶ τότε μὴ παυόμενοι λέγειν τὰ περὶ τοῦ λάχους ἡμῶν, καὶ ἐπὶ τὰς παρωκεανείους ὄχθας συστρεφομένου καὶ ὑποκρυπτομένου μερμνῶμεν τὰ τῆς ἐκστρατείας καὶ τῆς ἀποσκευῆς. τί ποιοῦμεν ἀργόν; καὶ τίνος ὀνειδιζόμεθα; ἀγρυπνοῦμεν εὐχαριστοῦντες Θεῷ, καὶ μάλιστα ὅτε φροντίζομεν ἀκρατῶς· καὶ τοῦτο κατὰ τὸ δίκαιον, ὅτι γε μὴ ἀξίους ὄντας ἡμᾶς πολλῶν κατέστησε φροντιστάς. ταῦτα ποιοῦντες καὶ αὔριον ἄλλας ἐγείρει μερίμνας. κινεῖται γὰρ ἡ ἔχθρα τῷ πλήθει καὶ τὰ ἔθνη μάχεται καθ' ἡμῶν. καὶ τίς ὁ βοηθήσων ἡμῖν; Πέρσης πῶς βοηθήσει τῷ Ἕλληνι; Ἰταλὸς καὶ μάλιστα μαίνεται, Βούλγαρος προφανέστατα, Σέρβος τῇ βίᾳ βιαζόμενος καὶ συστέλλεται· ὁ δ' ἡμέτερος τάχα, τάχα δὴ οὐ τῶν ἡμετέρων κατὰ ἀλήθειαν· μόνον δὲ τὸ Ἑλληνικὸν αὐτὸ βοηθεῖ ἑαυτῷ οἰκοθεν λαμβάνον τὰς ἀφορμάς. τὸν στρατὸν ὁριζόμεθα κολοβῶσαι, ἢ τὰ χρήματα, δι' ὧν συνέστηκεν ὁ στρατός; εἰ μὲν οὖν τὸ πρῶτον, βοηθοῦμεν τοῖς ἐναντίοις· εἰ δέ γε τὸ δεύτερον, ἐπεὶ τὸ βοηθοῦν τὸν στρατόν, τὰ χρήματα, καταβάλλομεν, καταβάλλομεν τὸν στρατόν, καὶ πάλιν λέγω βοηθοῦμεν τοῖς ἐναντίοις. οὐ σόφισμα τοῦτο, ἀλλ' ἀληθείας πάσης

---

70. ἀκροασόμενοι scripsi: ἀκροασάμενοι V. || 78. deest aliquid? conieceram ποιοῦνται, καὶ <ἡ> αὔριον. ante μερίμνας delevit μεν V. || 84. λαμβάνων V.

διαφανέστερον. μία γὰρ ἐμοὶ ἡ ἀλήθεια, εἷς ὁ σκοπός, ἐν δέ μοι καθ-
90 έστηκε καὶ τὸ σπούδασμα, τὸ συνιστᾶν ἀεὶ τὴν πολιτείαν τοῦ Θεοῦ καὶ φυλάττειν ἐκ τῶν ἐναντίων λύκων αὐτήν. ὀνειδιζόμεθα τίνος ἕνεκα; φιλάργυροι νομιζόμεθα διὰ τί; καὶ πρὸς τί ἀνελε<ήμ>ονες μάλιστα; φεῖσαι δὴ τοῦ ψεύδους, ὦ Κύριε· τίνος ἕνεκα τοῦ τῆς κ<ρα>τ<αρχ>ίας κλήρου βασιλικῶς ἀγωνιζόμεθα καὶ κατὰ ἀλήθειαν ψυχήν τε καὶ
95 σῶμα, ὕλην καὶ αὐλίαν, τὸν νοῦν τὰς αἰσθήσεις, τὸν λογισμὸν τὴν διάνοιαν, τὸ νοερόν τε καὶ θεῖον, τὸ μαθηματικὸν τὸ μαθητικόν, τὸ διδακτὸν τὸ διδακτικόν, τὸ φιλόσοφον τὸ σοφίζον, τὸ θεοειδές τε <καὶ> τὸ θεῖον ὑπὲρ τῆς τοῦ Θεοῦ πολιτείας διδόντες ἀτιμαζόμενοι προαι-
ρούμεθα; αὕτη μου ἡ αἰσχύνη; μετὰ Παύλου βοήσομαι | ‘Θέατρον f. 60v
100 γενήσομαι καὶ ἀγγέλοις τε καὶ ἀνθρώποις’. δώσω τὸ σῶμα, ἕξω γὰρ τιμὴν ὑπὲρ σώματος· δώσω τὸ πνεῦμα, λάβω τὴν ἀντιμισθίαν ἐκ Θεοῦ, τὴν ἐξουσίαν Θεοῦ καὶ τὴν ζωὴν δέ, ἵνα τῆς εὐζωίας ἐκείνης τύχω τῆς μακαριστῆς καὶ θείας καὶ ἀνεκφράστου. οὐ δοκήσει μεμάθηκα πράττειν, ἀλλ’ ἀληθῶς· εἰ δὲ τῷ ὄντι πειράζομαι, μεμφθή-
105 σονται μᾶλλον παρὰ τοῦ ὄντος οἱ ὑπὲρ τοῦ ὄντος με ὁρῶντες ἀγωνιζόμενον καὶ μεμφόμενοι. τί ποιήσω ἐγώ; πρὸς τίνας ἀντιμαχέσομαι; τίνας ἐλέγξω; παρὰ τίνων δὲ ἐλεγχθήσομαι; ἐγὼ θέλω πάντας ἐλέγχειν με πλὴν τῶν σοφισμάτων· καὶ μάλιστα μεμάθηκα ταῦτα καὶ οὐδείς με κατασοφίσεται. ὅστις δὲ σοφὸν ἀπεργάσεται, ἐκ τῆς ἄνωθεν
110 Αὐτοσοφίας ἀξίαν λάβῃ τὴν ἀνταπόδοσιν. κεφάλαιον δὲ τῶν λεγομένων ἐστὶ βίος, ἀρετή, κακία τε καὶ σκοπός· τὸ μὲν ὡς μέσον κατηγορούμενον, τὰ δὲ παρὰ τῷ κατηγορουμένῳ φαινόμενα, καὶ ὁ σκοπὸς δὲ δείκνυσι τὴν ἀρετὴν καὶ κακίαν. εἰ μὲν οὖν ὑπὲρ τῆς πολιτείας Θεοῦ ἡ ἀρετὴ φαίνεται ὡς κακία, τὰς ἀτιμίας ἀποδεχόμεθα, τὰς
115 ἀλγηδόνας τῶν ὕβρεων ὑποφέρομεν, τὰς ὁπωσδήποτε διασυρομένας ἀφορμὰς προσλαμβάνοντες ὑπομένομεν. εἰ δὲ χάριν ἀρετῆς καὶ πολιτείας τῆς τοῦ Θεοῦ ἀπολαμβάνομεν ἀδίκως τὰς κρίσεις, φοβούμεθα τὴν κρίσιν Θεοῦ, ἵνα μὴ κατὰ τὴν συνήθη κρίσιν κρινεῖ. ἐγὼ μὲν οὖν πρὸς τὴν σὴν ‘Αγιότητα ταῦτα δὴ λέγω· ἡ δὲ κρίσις τῶν λόγων εἰς
120 τὰς μετέπειτα κριθήσεται γενεάς. ἡ δ’ εὐχὴ τῆς ‘Αγιωσύνης σου διὰ παντὸς χαρισθείη μοι.

---

93. τοῦ corr. ex τοὺς V. || 96. θειον corruptum: num θέλον? || 97. καὶ addidi. || 99. sq. Cor. I, 4, 9. || 102. ἐξουσίαν] εὐωδίαν legit Treu, ἐξωδίαν ego.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XLV. Ἐγκ<ω>μάζω καὶ αὐτὸς τὴν ἐπιστολὴν ἐπαινέτην τὴν τῆς ἐμῆς, οὐ ταῖς <φι>λοσόφοις ἐννοίαις, οὔτε ταῖς ῥητορικαῖς ἐπιστημοσύναις <καλ>λιεπείᾳ καὶ γλαφυρότητι, ταῦτα γὰρ ὁμολογουμένως ἴδια τοῦ γεννήτορος ταύτης εἰσίν. εἰ γὰρ ὀνομάσει σέ τις, τὴν ὁλότητα τῆς φιλοσοφίας ἴδῃ τῇ κλήσει, εἴπερ γε τοὺς νοεροὺς ὀφθαλμοὺς καθαροὺς κέκτηται· εἰ δὲ σὸν ἴδῃ γράμμα, οὐκ ἐρωτήσει, ἀλλ' ἐκ τοῦ γόνου νοήσει καὶ τὸν γεννήτορα· βάθος γὰρ τῶν θεωρημάτων καὶ εὐγένεια λέξεων καὶ ὄγκος ῥητορικὸς καὶ κόσμος γραφῆς καὶ συνθήκη καὶ φράσις καὶ καλλιέπεια ἢ καὶ φυσίκευσις καὶ μαθηματικὴ μέθοδος τε-
f. 61r τραχῶς μεριζομένη τε καὶ ποικιλλομένη | καὶ μετρικὴ στάσις καὶ ῥυθμὸς ἐννοιῶν καὶ θεωρητικὴ καταλληλία καὶ νοῦς καὶ ἠθικὴ παίδευσις καὶ κανὼν ὁ πολιτικὸς καὶ νομοθεσία τῶν ἀληθῶν καὶ πάντα ὅσα τῶν ὄντων ἐκ τοῦ ὄντος ἐν τῷ ὄντι ὑπάρχοντα ἐν ταῖς σαῖς ἴδῃ ἐπιστολαῖς καὶ λογογραφίαις καὶ ἐκθέσεσι καὶ παραγγελίαις καὶ διδασκαλίαις καὶ ὑποτυπώσεσι καὶ διατάγμασί τε καὶ συμβουλεύσεσι. πότερον διὰ ταῦτα ὁ γράφων καὶ αἱ γραφαὶ ἀντιστρέφουσι; τίς ἄρα ἐπαινέσει τὸν διὰ ταῦτα κατὰ φιλοσοφίαν ἐμὸν διδάσκαλον καὶ οὐκ ἐπαινέσει καὶ τὰς τούτου γραφάς; εἰ δ' ἀπόρως ἔχει πρὸς τὰ ἐγκώμια, οὐχὶ τῶν γραφῶν καὶ τοῦ γράφοντος τὸ δεκτικὸν ἀσθενεῖ· δέχονται γὰρ ταῦτα δὴ πρὸς αὐτὰ καὶ τὰ μὴ καθήκοντα· ἀλλὰ τῶν γραφόντων ἐξαπελέγχεται ἡ ἀσθένεια. ἐκ τούτου καὶ διὰ τοῦτο οὐ τὴν γραφὴν ἐγκωμιάζω δὴ καὶ τὸν γράψαντα κατ' ἐπιστημοσύνην φιλόσοφον, ἀλλὰ κατὰ σύνδεσμον μάλιστα φιλικόν. ὅσον γὰρ ἡ χάρις τοῦ ἐγκωμιάζοντος τὰ μὴ δεχόμενα ἀσθενείᾳ ἐγκώμιον, τόσον δὴ καὶ ἡ λῆψις τῆς χάριτος τοῦ ἐγκωμιάζοντος τὰ τῶν ἐγκωμίων

XLV Argumentum. *'Tu me laudasti ornatissime et copiosissime; ego tuam laudationem mirari non desino, tibique gratias ago quam maximas. — Medici morbum meum non agnoscunt et tamen mederi volunt; sed Deus mihi sanitatem reddet, tuis epistulis maxime adiuvantibus'.*

12. κανὼν scripsi: καν" (= κανὸν) V. || 20. γραφόντων vix rectum; malim ἐγκωμιαζόντων vel ἐπαινούντων.

ὡς πέφυκεν ὑπερέκεινα· εἰ δ' ἀντιστρέψεις, σὺ μὲν ὁ ἄνω, ἡμεῖς δ' αὖ οἱ κατωθεν πέλομεν. ἐπαινοῦμεν τοίνυν τὴν σὴν ἐπιστολὴν κατὰ τὸ φιλόσυνον, γεραίρομεν αὐτὴν κατὰ τὸ φιλόστοργον, ἐκθειάζομεν αὐτὴν κατὰ τὸ φιλόκαλον, ὡς ἔφεσιν τῆς ὑγείας ἄρτι ζητοῦντες, ὡς ὕδωρ ἀγαλλιάσεως (εὐχῆς γὰρ αὕτη παράδεισος), ὡς ἄγγελον εὐφροσύνης, ἀνθρακα πυρὸς νοητοῦ τὰ νοσήματα καταφλέγοντα καὶ τὸ ζωτικὸν πῦρ ἀναφλέγοντά τε καὶ ἐξανάπτοντα, ὡς ἑωσφόρον αἰθρίας ἐαρινῆς μετὰ κροκοπέπλων ἀληθείας ἐπενδυμάτων, τοῦ τῆς δικαιοσύνης ἡλίου Χριστοῦ ἀκτῖνα τὴν ἀειλαμπεστάτην, τὴν ζωτικήν, τὴν ψυχαγωγὸν εἰς τὴν ἡμῶν καρδίαν, τὴν τῆς εὐεξίας καὶ εὐζωΐας καὶ εὐκλείας τὴν χάριν φέρουσαν, ὑπεμφ<αίνου>σαν καὶ τὸ μεῖζον, ὡς κειμήλιον εὐσεβείας, ὡς δογμάτων στερέμνιον, ὡς δ<ῶρο>ν τῆς ἀρετῆς, ὡς καλοῦ διδασκάλου προπύργιον ἄρρηκτον, δι' οὗ τῶν μὲν αἰσθητῶν καὶ ἐνσάρκων ἐχθρῶν, ὡς προεσημήνω, νῦν ὁρῶμεν τὰ ὑψώματα ταπεινώματα, εἶπω δ' ὅτι τῶν ἀσάρκων καὶ μάλιστα πολεμίων τῆς ἀνθρωπίνης φύσεως ἐκνικώμενα*** πρὸς βραχύ, καὶ ὑποδεχόμεθα τὴν ἀπείλησιν τὴν τῆς ὁλοκλήρου ἥττης αὐτῶν.

Τοιαῦτα τοίνυν τὰ τῆς ἐπιστολῆς, θειότατε, θειότατα φάρμακα· | ἀκέστορες γὰρ σαρκικαῖς ἀσθενείαις παιώνεια φέρουσιν, ἀνήνυτα φέ- f. 61v
ροντες, ἐκ τῆς ἀσυμφώνου αὐτῶν διαγνώσεως ἀπαιδευσίᾳ μεμαθηκότες δουλεύειν καὶ Ἱπποκράτους ὀνόματι λατρεύειν, οὐ τῇ γνώσει ἐκείνου τοῦ ἥρωος. πόρρω τὰ Μυσῶν καὶ Φρυγῶν ὁρίσματα, ἢ καὶ Διός, ὡς εἴπῃ τις γε, καὶ κεραυνοῦ. εἰ γὰρ ἐσκόπουν τὴν γνῶσιν, ἐθεράπευον ἂν καὶ τὰ κατὰ γνῶσιν· ὅτι δὲ τὸ ὄνομα λέγουσι, τῆς πράξεως ἀπεστέρηνται. σὺ δὲ τοῦ ἐμοῦ νοὸς ἀρχαίτιος παιδευτής, τῆς ψυχῆς ἰατρός, τοῦ σώματος εὐκοσμία, διὰ τὴν τάξιν τῆς ἀρετῆς πάντων τῶν κατ' αἴσθησιν ἁμαρτάδων ἐπῳδὸς ἰσχυρός, ἐγκωμίων ἐπέκεινα, ἐπαίνων ὡς ὑπερέκεινα, φιλίας ὑπερκαθήμενος, ἀγάπης ὡς ἔξοχος, τιμῆς ὡς ὑπέρτερος, πάντων τε τῶν ἐμῶν τὸ τιμιώτατον σὺ πέλεις χρῆμα καὶ κάλλιστον. πῶς ἄρα ἐγκωμιάσω τὸν ἐν τοῖς ἐμοῖς τῶν ἐγκωμίων ἐπέκεινα, ἐγκωμίων ἐκ τῶν ἐμῶν; ἄπορον κατ' ἐπιστήμην αὐτό, καὶ μᾶλλον κατὰ φιλικὸν καὶ υἱικόν τε καὶ πατρικόν[τε]

---

35 sq. *εὐσεβίας* V. || 36. δ<ῶρο>ν] conieceram δ<ξιὰ>ν; possis etiam δ<ίφρο>ν, cl. LIV, 59. || 40. lacunam indicavi; *τὰ στρατεύματα ἴδωμεν* vel tale quid conicias. || 44. *αὐτῶν* scripsi: *αὐτῆς* V. || 46. Proverbium; vide *Corpus Paroem. Gr.* I, 377, 2 et Leutschii adnotationem || 47. Cfr. idem *Corpus* II, 620, 1. || 51. *ἐπῳδὸς* scripsi: *ἔποδος* V. || 56. *τε* delevi.

τὸν σύνδεσμον. ὁρῶ γὰρ καὶ τὰς ἐπιστολὰς τῶν ἀνθρωπίνων φαρμάκων ὑπερανῳκισμένως θεραπευούσας με καὶ ἀπαραμίλλους ἐν ταῖς μορφαῖς καὶ ὑπερασυγκρίτους τοῖς κάλλεσί τε καὶ ταῖς μορφώσεσι. καὶ τοῦτο δικαίως ἂν εἴπῃ τις κριτικώτατος νοῦς, ὅτι δεῖ τὸν νοερὸν ἰατρὸν θεραπεύειν καὶ τὰ σωματικά, ἢ τὸν σωματικὸν ὡς ὁπωσοῦν μετέχειν τῶν νοερῶν. διὰ τοῦτο διττῶς τὴν θεραπείαν ἐπάγαγε· τὸ μὲν ἵνα τὴν τῆς χειρὸς ἴάσῃ ἀσθένειαν (τοῦτο γὰρ καὶ κόσμου πέλει τοῦ ἅπαντος ἴασις), τὸ δ' αὖ ἵνα ἀνατομῇ λογικῇ, ἐπιστημοσύνῃ, τὰς τῶν ἀνοήτων βροτολοιγῶν κεφαλὰς διαρρήξῃς, ὡς ἂν Ἑρμῆν ἔνοπλον, Ἀπόλλωνα εὔστοχον, Γαληνὸν καὶ Ἱπποκράτην καὶ τοὺς συνόπτας σωματικῶς εἰσάξῃς αὐτοῖς. ἀνοηταίνοντες γὰρ ἐν ἐμοὶ τὴν ἰατρικὴν δοκιμάζουσι. τὴν ὀδύ<νην φ>ύσει ἐλαφρυνομένην βαρύνοντες καὶ κουφιζομένην καθέλκοντες κ<αὶ ἐγει>ρομένην οἷον ἀπονυστάζοντες· καὶ ταῦτα τῆς μεγίστης ἐπιστήμης αὐτῶν τὰ θεάματα. σὺ δέ, ἁγιώτατε πάτερ, ὅσον σοι ἔνεστι δύναμις, τὰς εὐχὰς ἐπιτείνας, ἡμᾶς ἐκλυτρώσαις τοῦ τηλικούτου φορτίου καὶ νικητὰς τῶν ἀθέων ἀποδείξαις βαρβάρων, ὡς οἴδαμεν, ὡς μεμαθήκαμεν, ὡς ἠλπίσαμεν, ὡς πεπιστεύκαμεν, ὡς ἡ ἀλήθεια μαρτυρεῖ καὶ τὰ πράγματα· ἡ δὲ εὐχὴ τῆς Ἁγιωσύνης σου χαρισθείη τῇ βασιλείᾳ μου.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XLVI Καὶ ὁ δράκων ἐξῆλθε, καὶ ἀληθῶς ἐκαρατομήθη, καὶ τὸ πτῶμα τοῦ νεκρωθέντος πρὸς ἡμᾶς ἀνήγειρε μέγα τρόπαιον. σὺ προφητικὸς
f. 62r ὑπάρχεις καὶ θεωρητικός, | ἡμεῖς δὲ τὰς σὰς προφητείας ἐκπεραίνομεν ἀληθέστατα. νικῴης ἄρα πρὸς τὰς ὁμφάς, ἡμεῖς δὲ πρὸς τὰ τούτων τελέσματα. καὶ κατ' ἀμφοῖν τὸ διάφορον ἰδιούμεθα· ἡ γὰρ ἐμὴ νίκη σὴ πάντως μεγίστη ἡμῶν ἐγκωμίων ὑπόθεσις, καὶ τοῦτο τῆς

---

63. ἰάσῃς V. || 66. συνόπτας] num συνόντας (= φοιτητάς)?

XLVI Argumentum. ' *Victoriam meam recte vaticinatus es. Tuum est praedicere, meum exsequi gloriosa facta* '.

διακρίσεως, ὦ φιλοσοφώτατε, νοερώτατε, ἁγιώτατε, θεοειδέστατε πάτερ τῆς βασιλείας μου. τὰ δ' ἄλλα κρῖνον πρὸς τὸν σκοπόν, καὶ τὸ τῆς ἀνδρείας τῆς ἑλληνικῆς ἀρίστευμα καταθαύμασον.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XLVII

Ἐλλείπει μὲν ἡ γραφὴ τοῖς ῥήμασιν· ὑπερπερισσεύει δὲ ταῖς ἐννοίαις, ταῖς φιλοσοφίαις, τοῖς θεωρήμασι, καὶ δείκνυσι τὸ καθόλου διὰ τοῦ μερικοῦ καὶ τὸν καθόλου φιλόσοφον σὲ οὐ ταῖς σκιαῖς, ἀλλὰ ταῖς δευσοποιαῖς ἀληθεστάταις μορφαῖς, ὑπέρτερον πάντων τῶν κατὰ φιλοσοφίαν ζησάντων μαρτυρεῖ τῇ πολυτιμήτῳ βραχυλογίᾳ. τοιαύτη γὰρ ἡ φύσις τοῦ ἀριθμοῦ· ἐν μονάδι θεωρεῖσθαι πολλὰς μονάδας καὶ ἐκ μονάδος προχεῖσθαι τὸ χῦμα τῶν ἀριθμῶν. καὶ ἡ σὴ βραχυλόγος ἐπιστολὴ μονάδος σεμνυνομένη τιμῇ τὴν ἀναρίθμητόν σοι τῶν θεωρημάτων σοφίαν ἐν ἑαυτῇ κατέχουσα δείκνυσι· καὶ ἔστι δὴ διὰ ταῦτα τὸ πᾶν ἐν τῷ μερικῷ, καὶ φαίνεται τὸ μέγα ἐν τῷ βραχεῖ, καὶ τῆς ἀκαίρου πολυλογίας ἡ φύσις ἐξαπελέγχεται, καὶ τὸ συρφετῶδες τῶν ἀτόπως ἐγκωμαζόντων τῷ ἐπιστημονικῷ ταύτης πυρὶ καταναλίσκεται παντελῶς, γίγαντος φωσφόρου ταύτης φαινομένου περὶ ἡμᾶς. ὄντως ἐν ταύτῃ αἱ τῶν πολλῶν ἡλίων ἀκτῖνες τὴν ἡλιοειδείαν ἀπολαμβάνουσι καὶ φαίνονται μὲν αἱ κάχληκες τῷ ταύτης φωτί, καὶ γινώσκεται ἐκείνων τὸ ἄτμον, καὶ οἱ λυχνῖται, εἴπερ γέ εἰσί τινες ἐν τῇ καθ' ἡμᾶς γενεᾷ, τῇ ταύτης στιλπνότητι παρατίθενται ὡς<ἄν>, εἰ καὶ μὴ παράλληλοι τῷ φωτί, ἀλλ' ἐκ τοῦ παραλληλίζεσθαι πρὸς ἀνι<κητο>ν τὸ κλέος ἀπολαμβάνωσι τῶν πολλῶν· τοιαύτη τῆς βραχυλόγου <γραφῆς> ἡ πλήμμυρα τῶν χαρισμάτων τῆς χάριτος. εἰ δὲ καὶ πρὸς παραθέσεις ἄξει τις αὐτὴν κατὰ ἀλήθειαν, καὶ συγκρίσεις κατὰ

8. incertum κρίνοις an κρίνον V.

XLVII Argumentum. *' Summa brevitate plurimas et clarissimas sententias complexus es. Te laudibus omnes efferant oportet. Ego te mearum rerum prophetam habeo verissimum '.*

4. δευσοποι*αῖς (ι eras. ut vid.) et mg. ποιαῖς comp. V. ‖ 7. χῦμα scripsi, coll. Maccab. II, 2, 24: +υμα V; cfr. etiam Nicom. Intr. Ar. I, 7, 1 (p. 13, 8 Hoche). ‖ 8. σοι] immo σου? ‖ 11. φῦρσις V. ‖ 19. τοιαύτη scripsi: τοιαύτης V.

τὸ δίκαιον, καὶ θέμιδος ἰσασμοὺς ὡς τὸ ἄξιον, καὶ μέτρῳ εὐθυτάτων γνωμόνων κατὰ τὸ πρέπον, ὅρος μὲν αὐτὴν θεάσεται πάμμεγα, τὰ δὲ συγκρινόμενα κέγχρου, ὡς εἴπῃ τις, τὸ φαυλότατον. πότερον οὖν διὰ ταῦτα ἡ βραχυλόγος γραφὴ μεγάλης ἐπιστημοσύνης ἐστὶν ὑπόδειγμα | 25
f. 62v καὶ παιδαγωγὸς τῶν αἰσθήσεων καὶ συναγωγὸς τῆς φρονήσεως καὶ πάντων τῶν καλῶν καὶ τιμίων ὑπομιμνήστωρ ἀκριβής, ἀληθής, ἀσφαλέστατος; συνέτιζε τοίνυν τὰς τοῦ ἡμετέρου νοὸς ὁρμὰς πατρικῶς, ῥύθμιζε φιλοσόφως, παίδευε βαίνειν ἐπιστημόνως τοῖς κατὰ κόσμον, ὡς ἂν ἐκ τῶν ἑκατέρων μίγμα θειότητος καὶ κοσμιότητος ἡμᾶς τελέ- 30
σῃς, μορφῆς, ἀρετῆς· τῶν ὅσα δὲ περὶ προφητείας καὶ λόγου καὶ χρηστῶν ἀποβάσεων εὐχόμενος λαμβάνεις ὑπὲρ ἡμῶν, τὰς ἀποβάσεις τούτων πιστὰς δεχόμεθα. εἴης μοι ἀπειράκις εὐχόμενος τὰ συμφέροντα, προφητεύων τὰ τίμια, τὰ νικητικά, τὰ κατὰ τῶν ἐνσάρκων καὶ ἀσάρκων ἐχθρῶν ἀριστεύματα. ἡ εὐχὴ τῆς Ἁγιωσύνης σου χαρισθείη τῇ 35
βασιλείᾳ μου.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XLVIII Πάντων τῶν ἑνουμένων διὰ Θεὸν ἀρχὴ τῆς φιλίας καὶ τῆς ἑνώσεως αὐτῶν ὁ Θεός· καὶ εἰ μὲν ἰσοτρόπως ἐν ἀρετῇ πολιτεύονται, ἰσοτρόπως τε καὶ ἰσοταχῶς ἐν τούτοις αἱ ἐλλάμψεις καὶ τὰ δωρήματα ἐκ τῆς Ἀρχῆς καταβαίνουσιν· εἰ δὲ φιλίᾳ μὲν ἐξισάζονται, ἀρετῇ δὲ ὁ μὲν ἐγγίζει τῷ θείῳ, ὁ δὲ διίσταται διὰ τὸ μὴ ἐνάρετον, ἐκ τῆς τοῦ 5
ἑτέρου βαθμίδος κατὰ πολὺ ὁ ἀνωτέρω πρὸς τὸν ὑπ' ἐκεῖνον διαβιβάζει τὰ κάλλιστα· καὶ τοῦτο τῆς ἀληθείας καὶ ἀποδείξεως. ἐν ἡμῖν γὰρ ἀρετὴ φιλίας καὶ δεσμὸς τῆς ἑνώσεως ὁ Θεὸς καὶ ὁ λόγος ὁ τοῦ Θεοῦ, ἢ καὶ ὁ λόγος ὁ τοῖς φιλοσόφως ἀρεταίνουσι σύντροφος· καὶ

XLVIII Argumentum. *' Tua pro salute mea intercessio idcirco plurimum valet, quod tua virtus et sapientia meam longe antecedit. Nunc maxime tuis precibus mihi succurras, quia brachii infirmitate doloribus acerbissimis afficior '.*

τοῦτο προτροπὴ τοῦ Λόγου καὶ τῆς Ἀρχῆς. ἀλλ' ἡμεῖς ἀντιστρεφόμεθα μὲν φιλίᾳ πρὸς τὸν φιλούμενον, ὡς καὶ τοῦ φιλουμένου πρὸς ἡμᾶς ἀντιστρεφομένου, καὶ τοῦτο ἰσότης τῶν ἴσων κατὰ ταὐτό. ἀρετῇ δὲ πρὸς τὴν ἑνοποιοῦσαν ἡμᾶς Ἀρχὴν ὁμιστάμενοι, τὸν φ<ιλο>ύμενον ἀεὶ πρὸς αὐτὴν μεσίτην κεκτήμεθα· διὰ τοῦτο καὶ τῆς ἀ<ρετ>ῆς, τοῦ ἡμῶν προνοουμένη συμφέροντος, διαπορθμευτήν, μεσίτην, ἀρωγόν, εὐχέτην τὸν φιλούμενον σὲ πρὸς ἡμᾶς κατεσκεύασεν, ὅπως ἐκεῖθεν μὲν διὰ τὸ τῆς θεοειδείας καὶ τὸ τῆς ἀρετῆς ἴδιον τῇ παρρησίᾳ τὰς αἰσθήσεις ἀπολαμβάνῃ, ἐνθένδε δὲ τῇ ἰδιότητι τῆς φιλίας τὰ θεῖα δόγματα προθεσπίζῃ τε καὶ προλέγῃ. ὄντως ἀρίστως σεαυτὸν πρὸς ἡμᾶς ἀγαθῶν ἀγγελιῶν διαπορθμευτὴν κατωνόμασας· εἰ δὲ καὶ τὰς ἀποβάσεις αὐτῶν ταχινὰς ἐγνώρισας ἐν ἡμῖν, ἐπίσπευσον | πρὸς αὐτὸ f. 63r
διὰ τὸν Θεόν. εἶπερ ποτὲ γὰρ τοῦ τῆς ἀρετῆς δεόμεθα τάχους ὀδύνῃ περιπεσόντες σωματικῇ, οἵαν οὐκ εἶδέ τις πώποτε οὔτε ἤκουσε· χειρὸς ὀδύνη περὶ τὸ ἀκρώμιον καὶ μέχρι τοῦ ἀγκῶνος ὡς διαβαίνουσα καὶ τὸν βραχίονα πιέζουσα καὶ δι' ὅλης τῆς κερκίδος καὶ τοῦ πήχεως βαίνουσα· οὐκ ἔστιν ἐρύθημα οὔτε ὄγκος ποσῶς, καὶ τὸ ἄλγος ὡς ἄστεκτον, καὶ τοῦ ἄλγους τὸ ἀλγεινότερον ἡ νάρκη καὶ τὸ ἀκίνητον. πολλάκις ἡ χεὶρ αὕτη ἐκινήθη πρὸς πράξεις ἀπρεπεῖς πρὸς αὐτήν, καὶ νῦν δὲ τὰ ἀντίποινα δέχεται, πλήν γε [εἰ καὶ] οὐκ ἴσα τοῖς γεγονόσιν. ἄξιοι γὰρ ἡμεῖς ἐσμεν πολλῶν τῶν δεινῶν· ἀλλ' οὖν ὀδυνηρά τε καὶ λυπηρὰ καὶ τῆς ἀνθρωπίνης μικροψυχίας ἀνώτερα. ὄγκος οὐ φαίνεται καὶ τὸ βάρος ὡς πάμμεγα. ἰατρὸς οὐδὲ εἷς· οἱ γὰρ ὄντες ἀνοηταίνουσι· δημοκαπήλους γὰρ ὑποτοπάσειέ τις αὐτοὺς ἐκ τῆς προσταγῆς τῆς διαγνώσεως καὶ τῆς θεραπείας, ἢ ἀκέστορας τὸ τυχόν. πυρετὸς οὐ τὸ σύνολον, καχεξία ἐκ τῆς ὀδύνης, μᾶλλον δὲ ἐκ τῆς λύπης διὰ τὴν ἀργίαν τὴν τῆς χειρός· κινεῖται μέν, ἀλλ' οὐ κατὰ πάντα τὰ πέρατα· τῇ γὰρ ἄνω φορᾷ βιάζεται πάμπολλα καὶ κινεῖσθαι πλέον οὐχ ὑπισχνεῖται. λυπούμεθα πρὸς αὐτὸ οἱ πολλοὺς ἀρήγοντες σωματικῶς, σωματικῶς μηδ' ὁπωσοῦν βοηθούμενοι. ἓν μόνον τὸ παραμύθιον, ἡ σὴ ἀγγελία μετὰ Θεὸν καὶ τὸ τῆς γραφῆς ἀσφαλὲς καὶ τὸ τῆς βεβαιώσεως ἀκριβὲς καὶ τὸ τοῦ διαπορθμευτοῦ ἀξιόπιστον. ἐν τούτῳ θαρρήσαντες τὴν ἐλπίδα τε πρὸς τὸν Θεὸν ἀνατείναντες, τὴν τῆς καρδίας ζέσιν κινήσαντες, τὴν ψυχὴν

15. ἀρρωγόν V. || 18. τῇ] τῆς V, ubi mox θεία. || 29. εἰ καὶ delevi. || 38. ἀρρήγοντες V.

ὑλικῶς ἐκθερμάναντες, τὸ θεῖον ἐξιλεούμεθα τῶν χρηστῶν ἀγγελιῶν <τὰς> ταχινὰς ἀποβάσεις ταχινώτερον δέξασθαι. ἐπίτεινον τὰς εὐχὰς ἵν' <ἕλκ>ῃς τὰ τῶν εὐχῶν συμπεράσματα καὶ τῆς κατεχούσης ἡμᾶς ἀλγηδόνος ἀπαλλάξῃς ὡς πεπιστεύκαμεν. ὅσα δὲ τῷ Πρωτονοταρίῳ διεμηνύσω συνεπέρανεν ἡ βασιλεία μου ὡς ἠθέλησας. ἡ εὐχὴ τῆς Ἁγιωσύνης σου χαρισθείη μοι καὶ ψυχικῶς καὶ σωματικῶς.

47. *συνεπαίρανεν* V.

II

AD GEORGIUM ACROPOLITAM

Ἐπιστολαὶ τοῦ υἱοῦ τοῦ μεγάλου βασιλέως τῶν Ῥωμαίων κυροῦ Ἰωάννου τοῦ Δούκα, κυροῦ Θεοδώρου τοῦ Λάσκαρι πρὸς τὸν μέγαν φιλόσοφον κυρὸν Γεώργιον τὸν Ἀκροπολίτην πρὸ τῆς τοῦ Μαρκίωνος πρεσβείας.

Laur. 59, 35 f. 85r

Μεσονύκτιον ἐξεγειρόμην, τοῦ κοσμικοῦ δηλαδὴ κλυδασμοῦ, ἐξομολογήσασθαι τῷ Κυρίῳ καὶ Θεῷ μου τὰ τῆς καρδίας μου. ἀπηντηκὼς δὲ τῇ Ἀρετῇ καὶ γνοὺς ἐξ ἐκείνης τὸ ἀμέσως εἰδέναι τινὰ τὸν Κύριον ὅλως ἐπιβλαβές, συνωμίλουν αὐτῇ. πολλοῦ δὲ χρόνου διελθόντος τῇ συνομιλήσει ἡμῶν, πρὸς τὰς αὐγὰς τοῦ ἑωσφόρου κατήντησα· καὶ ὁ σύλλογος ἔμενε, | καὶ ὁ ἑωσφόρος ἀνέτειλε καὶ τὸν φωσφόρον ἐμήνυσεν, ὃς καὶ ἐπέστη καὶ ἐφώτισε τὴν ὑφήλιον. ῥᾷστον δέ μοι φανὲν συνομιλῆσαι τῷ ἡλίῳ καὶ τῇ αὐτοῦ γειτνιάσει διὰ τῆς ἐκείνου θέρμης διελθεῖν μου τὰς εὐχὰς πρὸς τὸν Κύριον, ἐπεὶ ἑώρων αὐτόν, εἰρηκέ μοι ἡ Ἀρετή· ‘ἵνα τί βαίνεις ἀτάκτως, καὶ οὐ μεμάθηκας ἐν φιλοσοφίᾳ περιπατεῖν καὶ ἐν λόγῳ διατρίβειν τὰς

I. [XLIX]

f. 85v

I Argumentum. ‘*Philosophia duce mentem meam ad Dominum extuli, cuius beneficio errores debellare potui*’.

Extat haec epistula etiam in cod. V, f. 112r (tit.: *τοῦ αὐτοῦ πρὸς τὸν κυρὸν Γεώργιον τὸν Ἀκροπολίτην*) || 7. *ὑφ' ἥλιον* V. || 10 sq. cfr. Paul. Thess. II, 3, 6. || 11 sq. cfr. Prov. VIII, 20.

τρίβους σου καὶ ἐν συνέσει διεξιέναι σου τὰς ὁδούς; μεσονύκτιον γὰρ ἀνεπιστημόνως ἐγερθεὶς ἠβούλου συνομιλεῖν τῷ Κυρίῳ σου, μὴ καταλεάνας πρότερον τὰς ὁδούς σου δι' ἐμοῦ ὡς εἰκός, μὴ περισκοπήσας τὰς τῶν τόπων δίνας τε καὶ συστροφάς, κοιλότητάς τε καὶ κατορυχώματα, τὰ τῶν κακιόνων δυσάδυτα βάραθρα, καὶ εἰ μὴ αὐτὴ κἀγώ σοι συνήντησα, ἐπορεύου ἂν ἐπὶ τόπους ἐπιδεδεγμένους νεκρούς· νυνὶ δὲ τὸν ἑωσφόρον ἑωρακὼς ῥαγδαίως πρὸς ἐκεῖνον ἐξορμῆσαι ἠθέλησας, τὰ ἄκρα ἀτέχνως μεμαθηκὼς καὶ τὰς ἀναλογητικὰς μεσότητας τὸ σύνολον μὴ εἰδώς. πολυαμάρτητά σου τοίνυν ὁρῶ τὰ ὁρμήματα· προσκόμματα γὰρ ἔχων πολλὰ τῇ νυκτὶ πορεύῃ ἐν ἀλογίᾳ καὶ ἥλιον βλέπων λαμπροφαῆ, τοὺς τῆς ὁράσεως δρους ἀτάκτως καὶ ἀμέσως αὐτῷ προσάψαι ἠθέλησας. τί ταῦτα ποιεῖς; ἐνατένισον περι-
f. 86r κύκλῳ καὶ κατασκόπευσον καὶ λέξον μοι, | τί ὁρᾷς;' ἐγὼ δὲ κύκλωσε διελθὼν διὰ τῆς ὁράσεως εἶδον ἑστῶτας στύλους ἑπτά, οἵτινες οἶκον πολυκλεῆ ἔφερον, ἐξ οὗ ἐξήρχοντο φωτοχυσίαι πολλαί, κἀκεῖθεν αὗται πρὸς ἑαυτὰς ἐμερίζοντο· μέσον δὲ ἑώρων βασιλέα πάνυ λαμπρόν, καὶ ὁτὲ μὲν ἑώρων ὅτι τὴν τοῦ οἴκου καὶ αὐτὸς καλλονὴν ἐνεδύετο, ὁτὲ δὲ ὅτι ἐκ τῆς ἐκείνου καὶ αὐτὸς τὸν οἶκον ἐκάλλυνε καὶ ἐκαλλύνοντο ἐν διαδόσει καὶ ἀντιδόσει αἱ καλλυναί, ἡ τοῦ οἴκου τε καὶ τοῦ ἄνακτος. ἑώρων δὲ καὶ τράπεζαν μεστὴν οὖσαν κρατήρων, ἣν καὶ θυμάτων πλῆθος ἐξώπλιζε, πόρρω που δὲ τοῦ οἴκου ἑώρων δούλους ἐν φωνῇ ἠχοῦντας καὶ λέγοντας· 'ὃς ἐστιν ἄφρων, ἐνθεν πορεύθητι, οἱ δὲ ἐνδεεῖς φρενῶν δράμετε εἰς τὰ ἀνάκτορα ἵνα καὶ τὸν οἶνον ὃν ὑμῖν κεκέρακα πίητε καὶ ἀπολιπόντες τὰ αἰσχιστα ζήσητε.' ἐγὼ δὲ ἀκούσας αὐτῶν, καὶ τὴν ᾗ συνωμίλουν χρηστὴν συμβουλον παραλαβών, ἐπορεύθην εἰς τὸ ἀνάκτορον· καὶ τις ἐκ τῶν προαυλίων με δεξιωσάμενος εἰσῆξεν, ὀλιγάκις μαστίζων με, ἑώρα με γὰρ προσκόπτειν ἐπὶ τὴν εἴσοδον, προτρεπούσης αὐτῷ ἐκεῖνο ποιεῖν καὶ τῆς συνούσης μου συμβούλου χρηστῆς. ἐπὰν δὲ εἰσήλθομεν, ἑώ-
f. 86v ρων καὶ ἑτέρους συνεισερχομένους, καὶ τοὺς μὲν ἐσθίοντας | καὶ

12. διεξιναισου F. cfr. Hesai. XL, 14. || 12-14. μεσονύκτιον – ὁδούς om. V. || 16. τὰ ante κατ. F; maluissem κατορύγματα; sed καταρριχώματα F, κατορυχόματα V. κακιόνων vix rectum; num κακιῶν? item δυσάδυτα fuerit δυσόδευτα vel ἄδυτα. || 17. κἀγὼ (om. σοι) F. || 20. τὸ om. V. || 21. προσκώμματα F. || 22. λαμπροφανῆ V. δρους] πόρους? || 28. καὶ αὐτὸς post καλλονὴν V. || 30. ἡ V: οἱ F. || 33. φωναῖς V. || 34. οἱ δὲ ἐνδεεῖς F: εἰ δὲ ἐνδεὴς V. cfr. Prov. XII, 11. || 36. χρηστὸν VF; correxi cl. 40. || 38. προαβλίων V. || 39. προσκόπτειν F: προσκοπεῖν V. || 40. μου] malim μοι. εἰσήλθωμεν F. || 41. εἰσερχομένους V.

ἐμοῦντας τὰ βρώματα, τοὺς δὲ ἐσθίοντας καὶ οὐκ ἐμοῦντας, τέως γε περὶ τὴν γαστέρα ἀλγοῦντας, ὡς ἅπερ τὰ σῖτα φέροντας· ἀλλ' οὐκ ἀπεντεῦθεν ἐπὶ τὴν κορυφὴν τῆς τραπέζης ἀναγομένους, ἀλλὰ κατὰ μικρὸν ἀνιόντας. ἐμὲ δὲ μόνον εἷς ἐξ ἄλλου διαδεξάμενοι ἀνῆξαν ἐπὶ τὴν κορυφὴν καὶ ὑπὸ τοὺς πόδας τοῦ ἄνακτος ἐνθρονίζεσθαι με αὐτοὶ διετάξαντο. εἴτε γοῦν καὶ ὁ ἄναξ αὐτὸς τῆς κορυφῆς μου ἥψατο, εἴτε τῆς. ταλαιπώρου μου καρδίας νοερῶς κατεκράτησε, μόνος οἶδεν αὐτός· ἐν οἶδα δέ, ὅτι καὶ πάντων με τῶν τῆς δαιτὸς ἐδεσμάτων ἐνέπλησε, μικροῦ δὲ καὶ δύο ἀδελφὰς ἐκ τοῦ ἔνδον κοιτῶνος ὁ βασιλεὺς ἀγαγὼν περὶ ἐμὲ ἔστησε, καὶ νύμφας μοι αὐτὰς προσηρμόσατο· αἳ καὶ κατενώπιον τοῦ βασιλέως ἐμοὶ πλεκόμεναι οὐκ ἠσχύνοντο, καὶ τοσοῦτον ἐκ τοῦ αὐτῶν ἔρωτος ἐξεβακχεύθην ἐγὼ τὸν νοῦν, ὅτι καὶ μέλη τινὰ ἐκείνων ἀναλαμβανόμενος ἦδον ἐγκωμιάζων τὸν βασιλέα. μικροῦ δὲ πρὸς ὀυσμὰς ἤδη ἐρχομένου καὶ τοῦ ἡλίου, ἑώρων αὐτὸν ὅτι οὐ κατὰ τὸν κυκλοφορικὸν καὶ συνήθη δρόμον διέρχεται· ἀλλ' ἦλθε καὶ οὗτος εἰς αὐτὸ τὸ ἀνάκτορον, εἴτε ἐπὶ πλέον λαμπρυνῶν αὐτό, εἴτε συνομιλήσων τῷ βασιλεῖ, οὐκ οἶδα· | τέως γε εἶδον καὶ ὅτε τὸν οὐρανὸν ὁ ἥλιος διήρχετο, καὶ πανταχῇ ἐλάμπεν, ἐν διαδόσει ἀκτῖνα τηλεπρεπῆ ἐν συναφείᾳ συνηνωμένην τῷ ἡλίῳ τε καὶ τῷ βασιλεῖ. ὡς γοῦν εἰς τὸ τοῦ βασιλέως ἀνάκτορον συνέδραμον καὶ ἡ ἀκτὶς καὶ ὁ ἥλιος, οὐκ ἴσχυον κἀγὼ ἀτενίσαι ἐκ τῆς λαμπρότητος. ταῦτα γοῦν αἱ ἐμαὶ σύζυγοι ἀδελφαὶ θεασάμεναι, κεστοὺς ὡραίους τινὰς ἐκ τῶν ἐνδοθεν ἐνδυμάτων ἐξάξασαι, τοὺς ὀφθαλμούς μου περιεκάλυπτον, καὶ ὡς ἐσόπτρῳ ὁρᾶν με ἐκέλευον, καὶ οὐκ ἂν ἄλλως ὁρᾶν τινα τὸν ἥλιον δύνασθαι, ἢ οὕτως, ἔλεγον. καὶ ἔβλεπον ἐν τῷ ἡλίῳ, τῇ ἀκτῖνί τε καὶ τῷ βασιλεῖ, θαυμασίαν πλοκὴν ἄρρητον πάνυ καὶ ἀνεκλάλητον. ταῦτα οὕτως ὁρῶν ἐγὼ καὶ τερπόμενος (οὐδεὶς γὰρ ἂν ἐκείνης τῆς ὄψεως γεύσηται καὶ οὐκ ἐκστῇ τοῦ νοός) ἐξῆλθον ἔχων σὺν ἐμοὶ καὶ τὰς δύο ἀδελφὰς ταύτας, χερσί τε ὁμοῦ φερούσας καὶ αὐτὰς σὺν ἐμοὶ λαμπάδας περιφανεῖς, ἃς

f. 87r

---

43. ἀλλ' F: ἄλλους V. || 45. ἀνιῶντας et mox δεξάμενοι V. || 49. καὶ πάντων με τῶν τῆς V: ἐκ πάντων με τῆς F. || 52. καὶ κατενώπιον F: τῇ ωπὶ ut vid. V. || 53. καὶ F: κἀγὼ V. et mox ἐγὼ τὸν F: αὐτός τε κατὰ τὸν V. || 55. τὸν βασιλέα V: τῷ βασιλεῖ F. || 57. αὐτὸ om. F. πλέον F: πλέοντα V. || 58. λαμπρυνῶν V: λαμπρύνων F. || 62. κἀγὼ | οὐκ ἴσχυον (sic) V. || 64 sq. ἐξάσασα et mox ἐσόπτω ut vid. V. || 68. ὁρῶν F: ὁρᾶν V.

ἐξερχομένοις ἡ τοῦ βασιλέως μύστις, μήτηρ δὲ τῶν σὺν ἐμοὶ περικαλλεστάτων γυναίων, ἡμῖν δέδωκε διὰ τὸ τῆς ἀληθείας περιφανές, τὸ θερμότερόν τε τοῦ νοεροῦ καὶ τὸ τῆς διακρίσεως καυστικόν. σὺν
f. 87v τούτοις καὶ ῥάκος εὐτελές τί μοι δέδωκε | καὶ λίαν τραχύτατον, δ καὶ συχνάκις αἱ ἀδελφαὶ αἱρουσαι ἐπάνω μου ἐτίθουν, ὡς κλῆρον δεδωρημένον μοι ἐκ τῆς ἐκείνων μητρὸς ἀναφαίρετον. ἐβαδίζομεν τοίνυν ἐν χαρμονῇ· ἔνιοι δὲ ὁρῶντες ἡμῶν κατεκάγχαζον καὶ οὔτε τὰς λαμπάδας ᾐδοῦντο οὔτε τὸ ἐξ οἴου οἴκου ἐξεπορευόμεθα ὑπεστέλλοντο, εἶχον δὲ οἱ ταῦτα ποιοῦντες εἰς οἰκεῖον σέμνωμα τὸ κωμῳδεῖν τὰ ἡμῶν. ὅτε γοῦν μέσον τοῦ πλήθους εἰσήλθομεν καὶ ἐβαίνομεν, ὡς εἰκὸς πάντες πρὸς ἡμᾶς ἔβλεπον· καὶ ὅσοι μὲν τοιαῦτα γύναια εἶχον καὶ τὰς ὁμοίας λαμπάδας, καὶ τὸ ῥάκος ἔφερον, ἅπερ οὐκ ἄλλοθεν εἶχον κατὰ τὸν ἐμὸν λόγον, ἢ ἐξ ἐκείνου τοῦ βασιλέως, συνωμίλουν ἡμῖν· ὅσοι δὲ οὐκ εἶχον, χεῖρας ψοφοῦντες καὶ καταμωκώμενοι ἡμῶν διελύοντο. μικροῦ δὲ διεξιόντων ἡμῶν, μέλαινά τις γυνὴ ἐκ τοῦ πλήθους ἐπήδησε μετὰ πολλοῦ ἐμβριθοῦς ἀγχιστρόφου τε, ὡς ᾤετο, τοῦ φρονήματος, ἅττουσα μὲν τὸ στέρνον περιστροβοῦσά τε τοὺς ὀφθαλμοὺς καὶ ἀναιδῶς ἡμῶν ἐπεμβαίνουσα, στεφάνους τε πεπλεγμένους φέρουσα τρεῖς ὑπὲρ κεφαλῆς· ἁπλοῦν καὶ λεπτόν, ἐπι-
f. 88r μήκη τε καὶ ποικίλον, καὶ ἄλλον | πάντῃ λεπτότατον· τὰ δὲ ταύτης ἐνδύματα βεβαμμένα ποικίλως τε καὶ πολυμερῶς. ὡς γοῦν τὸν ἡμῶν φρυαττομένη ἐζήτει θάνατον, πρὸς τὸ πλῆθος ἐβόησεν· ‘αἴρετε χεῖρας καὶ τούτους κτείνατε’· αὖθίς τε ταῖς δουλίσι προτρεψαμένη, χρημάτων πλῆθος ἐπὶ τὸ πλῆθος ἐῤῥάντιζον, χρήμασι δοκοῦσα κτεῖναι ἡμᾶς. οἱ μὲν οὖν τὰ γύναια φέροντες, τὰς λαμπάδας τε καὶ τὰ ῥάκη ἐχοροστάτουν, τὸ δὲ πλῆθος ἡμῶν κατεπέμβαινεν· ὅσῳ τε ὅσον αἱ λαμπάδες ἐξήπτοντο καὶ οἱ πλησιάσαντες κατεφλέγοντο καὶ οἱ φεύγοντες ἐτυφλώττοντο καὶ οἱ μαχόμενοι ἐλυμαίνοντο καὶ τὸ γύναιον διεπρίετο καὶ τὸ μέλος ἡμῶν ἀνήρχετο. τούτων οὕτως γενομένων δι’ ὅλης νυκτὸς ἐτιτρώσκοντο μᾶλλον οἱ τοῦ ἀντιθέτου μέρους εἰς ἄπειρον· ἡμῶν δὲ αἱ λαμπάδες ἐπυρσοῦντο τῇ τοῦ βασιλέως ἰσχύι· πρὸς

---

72. cfr. Sap. Salom. VIII, 4. τῶν σὺν ἐμοὶ F: σὺν ἐμοὶ τῶν V. || 79 sq. ὑπεστείλοντο V. || 83. ἅπερ F: ἅσπερ V. || 84 sq. κατὰ — εἶχον om. V, sed supra lin. add. m.1 || 85. δὲ] δέγε V. || 89. τοὺς στεφάνους F. || 92. ἡμῶν V: ἐμὸν F. || 95. ἐράντιζον F: ἐῤῥάντιο"ν ut vid. V. || 99. μαχώμενοι V.

τὰς αὐγὰς δὲ πάλιν ἐλθόντος τοῦ ἡλίου, ἡμεῖς καὶ πάλιν εἰς τὸ ἀνάκτορον ἀνεδράμομεν, σκηπτοὶ δέ τινες τομῶς τοῖς μιαιφόνοις οὐρανόθεν ἐπέκειντο καὶ τοῦ τε ἀσέμνου γυναίου οἱ δύο στέφανοι, ὁ ἁπλοῦς καὶ λεπτός, μέγας τε καὶ ποικίλος, τὸν πάντῃ λεπτὸν ἔνθεν κἀκεῖθεν σύραντες διέρρηξαν, καὶ τὸ γύναιον τέθνηκε.

Τοιαῦτα τοίνυν, ὦ καλή μου | καὶ σεπτὴ κεφαλή, ἡ τιθηνὸς Φι- f. 88v
λοσοφία ἐγείρασά με μεσονυκτίου τοῦ κοσμικοῦ κλυδασμοῦ διὰ τῆς συμβούλου ἐδίδαξεν· ἄτινα καὶ σὺ ὁ αὐτὸς ὑπὲρ ἐμὲ οἶδας, καὶ τοὺς τούτων ἐξηκριβώσω λόγους ἐν φιλοσοφίας μεγαλειότητι.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

II. (L)

Κέντρου δίκην ὑπάρχεις σὺ ἐν ἐμοί, ἐγὼ δὲ κύκλος ἐν σοί· καὶ ἀντιστρόφως ἐγὼ μὲν κέντρος εἰς σέ, σὺ δὲ κύκλος ἐν ἐμοί· καὶ ὑποδηλοῖ τοῦτο τὸ τῆς ἀγάπης ἡμῶν ἀλληλένδετον. εἰ δὲ καὶ διανοητικώτερον ἀναχθῶ ἐρευνῶν, ἐξαισίαν εὑρήσω ἐν ἡμῖν ἁρμογὴν ἐκ τριάδος καὶ δυάδος τε καὶ μονάδος. ἡ γὰρ τριὰς ἔχει τὴν δυάδα καὶ τὴν μονάδα· ἡ δυὰς δὲ καὶ ἡ μονὰς πάντως ἐστὶ τριάς· ὑπάρχει γοῦν ταῖς δυσὶν ἡ μία ἑνωτική, καὶ αὖθις αἱ δύο αὐτῆς τελειωτικαί· αἱ δύο γοῦν τῆς μιᾶς καὶ ταῖν δυοῖν ἡ μία· ἁρμονία γοῦν ταῖς τρισίν. ὅμοια γοῦν καὶ τὰ καθ' ἡμᾶς· τοῖς γὰρ δυσὶ σώμασιν ὑπάρχει μία ζωογόνος ψυχή· ὡσαύτως καὶ μιᾶς ψυχῆς δύο σώματα ὄργανα· ἀπαρτίζουσιν οὖν τῆς μιᾶς τὰ δύο πᾶσαν ἐνέργειαν, ἐξαρκεῖ δὲ καὶ ταῦτα πρὸς τὸ ζωογονεῖν καὶ συνδέειν αὐτήν. ἀλλὰ μὴν τοῖς δυσὶν ὅλοις ἡ μία, καὶ τὰ δύο | περὶ αὐτὴν ὅλην ὅλα· μία ἄρα ἐν ἡμῖν ψυχὴ ἐν δυσὶν f. 89r
ὅλοις σώμασι, καὶ δύο ὑπουργὰ σώματα μιᾶς ὄντως ψυχῆς. ἄρα οὖν διὰ μὲν τῆς ψυχῆς τριάδα τις ἡμᾶς ὀνομάσει (ἑνοῖ γὰρ αὕτη τὰ σώματα καὶ ἡ τριὰς τὴν δυάδα καὶ τὴν μονάδα), διὰ δὲ τῶν σωμάτων

---

104. τομῶς F: τομεῖς V.

II Argumentum. ' *Tam arcte inter nos amoris vinculo coniuncti sumus quam circulus et centrum vel numerus ternarius cum binario et unitate ipsa. Idcirco duobus corporibus unus est animus* '.

11. οὖν] malim γοῦν; et mox καὶ πρὸς τὸ ταῦτα ζωογονεῖν καὶ συνδέειν αὐτήν. || 15. f. ὀνομάσειεν? αὕτη scripsi: αὐτὴ F.

δυάδα τε καὶ μονάδα (περιέχουσι γὰρ ταῦτα μίαν ψυχήν, καὶ αὗται ἀπαρτίζουσι τὴν τριάδα), διὰ δὲ τῆς κοινῆς ἁρμογῆς ἀπαθεστάτην μονάδα. ὅλον γοῦν τὸ ἡμῶν ἑνιαῖόν τε καὶ μοναδικόν, οὐχ ὡς μέρη μὴ ἔχον, ἀλλ' ὡς τὰ μέρη ἑνωτικῶς περιέχον, καὶ ταῦτα συμφυῆ καὶ εὐάρμοστα. ὁποία γοῦν ἐν ἡμῖν ὑπάρχει ἡ ἁρμογή, σύναξον σύ, ὄντως φιλόσοφος· ἕπεται δὲ ταύτῃ διὰ τὸ εὐάρμοστον φιλία καὶ ἀρετὴ καὶ παιδεία, παιδεία καὶ σύνεσις, σύνεσις δὲ καὶ εἴ τι ἄλλο καλόν. τίς οὖν ἡμᾶς λύσει τῆς ἁρμονίας; τίς διαστείλει τῆς κοινωνίας; τίς διαζεύξει τὸ ἡμῶν ἀλληλένδετον; ὄντως ἐν ἐμοὶ τῷ κέντρῳ σὺ μόνος ὁ κύκλος, καὶ τοῦ ἐμοῦ κατὰ ψυχὴν κέντρου, σοῦ, μόνος κύκλος ἐγώ· περίμετρος δὲ καὶ διάμετρος ἐν ἡμῖν παιδεία τε καὶ φιλοσοφία, μῆκος ἀγάπη, ὕψος εὐσέβεια, πλάτος ἡ ἀρετή, καὶ τὸ ἡμῶν ὅλον Θεοῦ.
f. 89ᵛ μηδείς με | κομπάζειν ὑποτοπάσειε· τὸ γὰρ ἀληθὲς ἀνεπίληπτον, οὐδαμῶς ἐξωτερικόν· τὸ δὲ μὴ τῶν ἐκτὸς ἀληθὲς οὗπερ ἔστιν ἐστίν· οὐκ ἄρα τὸ ἀληθὲς εἶποι τις κομπηρόν. ἀλλὰ ταῦτα μὲν πρὸς σὲ τὸν εἰδότα γέγραφα ὡς ἐμόν· τοῖς δ' ἄλλοις περιπεζίως καὶ λέξω καὶ διαλέξομαι, εἴτουν κατὰ τὴν ἐκείνων δύναμιν καὶ προαίρεσιν. τὰ δ' ἄλλα πράττωμεν ὡς ποθεῖς, εἰ καὶ τῷ Θεῷ ποθητά.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

III. (LI) Ὁ μὲν ποιητὴς τὰ δῶρα οὐ δεκτὰ τῷ Ἀγαμέμνονι ἱστορεῖ τοῦ Χρύσου καὶ ἱερέως· διότι ἡγεμονίας ῥοπὴν οὐδεμία τις ἄλλη ὁρμὴ οὔτε λαοῦ οὔτε προὐχόντων ἢ στήσει, ἢ ἀνάρροιαν ποιήσαι ἐν ταύτῃ δυνήσεται διὰ τὸ ἄκρον τῶν ἀντικειμένων, ἄρχοντός τε καὶ ἀρχομένου, καὶ τὸ πολὺ τῆς δεσποτείας καὶ τῆς δουλείας διάστημα. ὅπου γὰρ τὸ παλίμβολον διαστέλλει πλεῖστα, ὁ πλεονασμός, εἰκότως οὐδεμία εὑρεθῇ τούτου ἰσότης, ἐπειδὴ καὶ κατὰ φύσιν ἄλλως ὁρμᾷ καὶ

---

23. immo *παιδείᾳ καὶ σύνεσις, συνέσει δέ*? || 28. ὅλου F. || 32. περιπεζέως F. || 34. *πράττωμεν* scripsi: *πράττομεν* F.

II Argumentum. *' Quaecumque alter nostrum ab altero accipit longe differunt a vulgaribus divitiis; idcirco libenter excipienda sunt. Opellam meam tibi inspiciendam et iudicandam committo. Te brevi mecum una fore spero '.*

6. *παλίμβολον* scripsi: *παλίμβουλον* F.

διχῇ φρονέει τῇ ῥοπῇ· διὰ τοῦτο ἀποδίστανται τὰ ἑκάτερα, ἀρχοντος δηλονότι καὶ ἀρχομένου, φρονήματα κατὰ τὴν < τῆς > σκιᾶς καὶ
10 τοῦ σώματος ὁμοτιμίαν τε καὶ ῥοπήν. οὕτω γὰρ καὶ ἡ Ὁμηρικὴ | Μοῦ- f. 90r
σα πεπείραται· διὸ καὶ Ἀγαμέμνονος ἰδοῦσα τὴν ἐν ταῖς θαμιζομέναις ἐν ἔρωτι ὁρμαῖς ῥοπήν, ταῦτ' εἰρηκε, τά τε Χρυσηίδος γενέτου δῶρα καὶ ἐκπομπὴν πρὸς αὐτὸν τὴν Ἀτρείδου, τὰ μετὰ τῆς ἀποστροφῆς ἀποστροφὴν ἐκ Θεοῦ πρὸς ἐκεῖνον καὶ τὸν λεών· οὕτως γὰρ
15 εἶποι καὶ πεπηρωμένον τὸν πλοῦτόν τις καὶ τῇ Πυθίᾳ δαφνηφάγον ἔπος λαρυγγιῶν ἐκ φωνῆς καὶ διὰ φωνῆς ὁ ταῦτ' ἔχων ἐγγίζειν μαντικῇ προαιρέσει πρὸς τὴν ἀλήθειαν, εἴπερ καὶ τῇ Ὁμηρικῇ Μούσῃ τὰ πρωτεῖα δωρήσεται καὶ τὸ ἀληθὲς αὐτῇ ἐν ἀληθείᾳ ὅτι φιλοτιμήσεται τῇ πολλῇ. Μούσαισι γὰρ ἡ Ὁμηρικὴ θεῶν Μοῦσα μιχθεῖσα, οὔποτ'
20 εἶπεν αἰσχρὸν ἔπος, ἀλλ' οὐδὲ τέλος κακίας ἐτέλεσεν ἔργου ἐν φιλοσοφίας λόγῳ ποτέ· ἀλλ' ἀνδρῶν ἡρωοκλεῶν ἔργα ἐξυμνεῖ ὀλυμπιακὰ τῇ ῥοπῇ παροτρύνουσα, ὡς εἰκός, εἰς τὸν ἴσον ζῆλον πολλούς. ἀρετὴ γὰρ ὑμνουμένη καὶ πρὸς ἐπίδοσιν αὔξει, καὶ ζηλοτυποῦσι διὰ ταῦτα ταύτην πολλοί· ὥσπερ δ' αὖ ἀντιστρόφως ἀποσκορακιζομένης τῆς
25 ἀρετῆς καὶ μὴ μέσον ἐν τιμῇ θεατριζομένης, ἔκλυτοι γίνονται οἱ ταύτην ἔχοντες ἄνθρωποι, ἀργαλέῳ τε βαδίζουσι τῷ ποδί, ἐπειδὴ τῶν κακιόνων οὔπω τι διαφέρουσιν. εἰ γὰρ καὶ τῶν ἄλλων | ἁπάντων f. 90v
ἐξηρτημένη ἐν πλείστῃ τιμῇ ἦν ἡ τοῦ Λαερτίου βουλὴ καὶ τοῦ Νέστορος, τάχ' ἂν τις εἶποι, οὔποτ' ἂν τῇ τοῦ Θεστορίδου μαντικῇ ὀπὶ
30 ὑστάτῳ ἐχρήσαντο οἱ Ἕλληνες εἰς τὴν τῆς ὀλετείρας νόσου ἀπόδειξιν, καὶ ὁποίῳ τρόπῳ χολοῦται ὁ Ἀπόλλων κατὰ τοῦ στρατοῦ ἐξ ἐκείνης μαθεῖν ἠναγκάσθησαν· ἀλλὰ τὸ τῆς βουλῆς ἀκραιφνὲς ἐξ ἐκείνων ἔγνωσαν ἂν καὶ ἔπραξαν, τήν τε Χρυσηίδα τῷ ἱερεῖ ἀντέστρεψαν καὶ τὰ ἀγλαὰ δῶρα εἰσῳκίσαντο τοῦ Ἀπόλλωνος. ἀλλ'
35 οἶδ' ὅτι καὶ φρένες σοφῶν ἐκτυφλοῦνται καιρῷ κακίας, καὶ τῇ μήτιδι τὸ ἐπισφαλὲς οὔποτε διαπέφευγε· διὰ τοῦτο καὶ ἡ Ἀτρείδου καὶ Ἀχαιῶν βούλησις οὔτε τὴν κόρην ἀνετον ἐποίησεν, οὔτε μὴν τὰ ἄποινα ἐδέξατο τοῦ Θεοῦ· τὸ μέντοι γε ὅτι τῇ βασιλείῳ ὁρμῇ ἠνδραποδισμένα τὰ τῶν ὑπὸ χεῖρα παρηκολούθουν θελήματα, καὶ τῆς ἀληθινῆς
40 βουλῆς μύσαντα τὰς τρίβους ἠγνόουν ἐθελοντί· τὸ δ' ὅτι γε[ὅτι]

9. τῆς addidi. || 13 sq. num καὶ τὰ τῆς μετὰ τὴν ἀποστροφὴν ἐπαστροφῆς κτέ.? || 15. cfr. Lycophr. 6; δάφνη φάγον F. || 16. λαρυγγιῶν scripsi: λαρυγγᾶν F. || 18 sq. scil. φιλ. τῇ ὅτι πολλῇ. || 21. ἡρωκλεῶν F; sed cfr. ep. LIX, 27. || 22 sq. γνωμικὸν comp. in mg. F. || 25. immo, ni fallor, ἔκκλιτοι. || 40. alt. ὅτι delevi.

ὁρμὴ ἄρχοντος δραξαμένη καιροῦ ἀκρατῶς ὁρμᾷ πρὸς τὰ μὴ δέοντα. φυσικὸς γὰρ ὁ λόγος οὗτος καὶ τοῖς πολλοῖς εὔδηλός τε καὶ γνώριμος. ἀλλὰ μὴν ἐκεῖνοι σὺν τῷ οἰκείῳ βασιλεῖ καὶ δεσπότῃ οὔτε τὴν
f. 91r Χρυσηίδα ἠθώωσαν | τοῦ δεσμοῦ, οὔτε τὰ ἄποινα τιμήσαντες προσελάβοντο, διὰ τοῦτο καὶ τἀντίποινα ἐδέξαντο βαρέως κατὰ πολὺν χόλον τοῦ Ἀπόλλωνος. ἐμοὶ δὲ καὶ σοί, ὦ κοίρανε τῆς ἐμῆς ψυχῆς λόγῳ φιλίας τε καὶ ἑνώσεως, τίνα τὰ δῶρα καὶ ὁποῖα τοῖς ἑκατέροις ἁρμοδίως ἐξ ἑκατέρων ἡμῶν; εἴπερ δοθῶσι, δέξονται τὴν ἀντιστροφήν; ἀνήνυτα βαδίσουσιν ὡς μὴ ὤφελον, ὥστε καὶ κατὰ πυρκαϊὰν αἰθαλῶσαι ὑστάτως τὴν ἡμῶν ἕνωσιν τῷ παρεφθαρμένῳ βουλήματι; οἶμαι δὴ πάντως οὐδὲν ἐξ ἡμῶν τοιοῦτον ἄποινον προχωρήσει πρὸς ἕτερον, ὅ τι οὔτε ἀντιστροφὴν πάθῃ ἐκ τοῦ ἑτέρου καὶ τῆς αὐτοῦ δωρεᾶς ἕτερος, οὔτε μὴν ὃ μὴ κοινὸν τοῖς ἀμφοτέροις εἰς τῷ ἄλλῳ προσάξειε. καθὰ δὴ καὶ τὴν κόρην οἱ πρὶν ἀνέρες, μάλα γε τὸ φιλοτίμημα ταύτῃ προσήρμοζον δέχεσθαι ἐξ ἀνδρός, ἢ τὸ τὰ γαμήλια ἀνέρι δέχεσθαι τὰ τῆς πρωτοπείρου δῶρα μνηστῆρος, ὅπερ οὐκ ἦν ἀγαθῆς βουλῆς, οὐδὲ τῷ ἀνδρὶ ἀνδρικὰ διδούσης πρωτεῖα ὡς εἰκός, ἀλλ' ὄντως θηλυπρεπεστέρας καὶ γυναικωνιτικῆς καὶ ἀνάνδρου. τοιαῦτα γοῦν
f. 91v ἐν ἡμῖν οὐκ ἐπέραστα δῶρα οὔτε μὴν εἰς ἑτέρῳ προξενήσει | ταὐτά ποτε. μᾶλλον γὰρ ἂν σὺν τούτοις καὶ κόρης ἀρνησιν ἑτέρῳ ἕτερος προβαλῆται καὶ ὠθήσῃ διάζευξιν, ἢ τοιαῦτα δῶρα καὶ ἕνωσιν. οἷα γὰρ τὰ δήγματα τῶν κυνῶν τῇ σαρκὶ φέρουσι στίγματα, τοιαῦτα καὶ τὰ ἄδωρα δῶρα ἐχθρῶν τῇ ψυχῇ προσάγουσι δήγματα. ἐν ἐμοὶ δέ, πάλιν ἐρῶ, καὶ σοὶ πάντα τὰ δῶρα ἀγαθὰ καὶ ἐσθλά. εἰ γὰρ καὶ ὑλικὰ ἐν καιρῷ καὶ πρὸς ζωαρκείας ἐξυπηρέτησιν νέμονται, ἀλλ' οὖν ἐκ τοῦ πλεονασμοῦ δὴ εἰκότως ἀποφαίνεται ὁ κριτής. ἐν ἡμῖν γὰρ οὐκ ἄλλα δῶρα πλεονεκτοῦσιν εἰς τὸ δίδοσθαι καὶ λαμβάνεσθαι, ἢ τὰ λόγου περιουσίας γεννήματα, ἔγγονα τὰ Ἑρμοῦ, καὶ Ἀθηνᾶς φυήματα ἀγαθά· τῷ τοί γε καὶ καρποφοροῦνται ταῦτα τῇ ἀγαθῇ φιλίᾳ· συχνάκις καταρδευόμενα ὡραίους τίκτουσι τοὺς καρπούς, λογικοὺς ὁμοῦ καὶ σοφούς. διὰ τοῦτο δὴ οὐκ ἂν ἡμέτερόν τι δῶρον ἀντιστραφῇ πώποτε, ἐπειδὴ σοφίας ἐστὶ γέννημα. πότερον οὖν διὰ ταῦτα πάντα τὸ νῦν δῶρον λογικόν σοι ἀποπέπομφα, ὡς ἄν γε γνοίης οἷά μοι

---

54 sqq. non intellego. || 63. Soph. Ai. 665. || 66. ἀποφαίνεται scripsi: ἀποφήνεται F. || 68. γεννήματα] litterae γεννη in rasura F.

κατεβάλου τὰ σπέρματα, καὶ ὁποῖοι φύονται οἱ καρποί; ἀλλ' οἶδ' ὅτι
ἐξ ἀγαθῶν ἀγαθοί· οὐ γὰρ καταβεβλακευμένην ζωήν, ὡς οἶδας, ἠρετισάμην ποτέ, ἀλλ' εἰς τὰς αὐλακας τῆς ψυχῆς ἀγαθὸν σπόρον κατέβαλον, ἐκ σοῦ τοῦτον σχών· | οὗτος δ' ἐστι λόγος σοφίας ὑπὲρ f. 92r
πάντα τῆς γῆς τὰ τίμια. ὅσον γὰρ ἀποδιίσταται τοῦ προφορικοῦ λόγου νοῦς καὶ πηγὴ ῥεύματος καὶ τῆς οἰκείας θέρμης ὁ ἥλιος, τοσοῦτον καὶ τὰ σὰ πρός με δῶρα τῶν γηίνων τε καὶ φθαρτῶν. διὰ τοῦτο οὐδ' ἀντιστραφῶσιν, ἀλλὰ μείνωσιν ἐν ἐμοὶ ὡς οἷα δῶρα Θεοῦ. ὑπὲρ χρυσίον γὰρ καὶ τοπάζιον ταῦτά εἰσιν, ἐπειδὴ οὐ σωματικὴν κεφαλὴν καταστέφουσιν, ἀλλὰ νοερὰν καὶ ἄφθαρτον ἀκρώρειαν τοῦ νοός. δέδεξο γοῦν τοῦτο δὴ τὸ γραμμάτιον ὥσπερ τι ἀθυρμάτιον, καὶ ταύτην ἐν λόγῳ συνήθει δι' αὐτοῦ παρακινηθεὶς κατάστεψον, ὡς ἐλαίῳ τῆς σῆς σοφίας πιανθεῖσα ὡραίους βοστρύχους ἐκφυήσει τῆς ἀρετῆς, πρὸς σὲ δὲ φυτηκομοῦσα τὰς πράξεις τε καὶ τὰς ἀρετὰς ἐλεύσεται ἐν σπουδῇ, ἐπειδὴ τῆς ὑμνουμένης ἐξ ἡμῶν Νικαέων ἀπέστη πόλεως. οἷα δὲ χαρᾶς ἔργα ἐν ταύτῃ ἐπεπράχεμεν, ὁ Κουβουκλάριος διασαφήσει σοι. εἴπερ οὖν ζέεις τῷ πνεύματι ἐν ἐμοί, τὸ τῆς ῥητορικῆς τέλος φιλοτίμησαι αὐτῷ ἐν σπουδῇ. ἀγαθὸς γὰρ ὁ ἄνθρωπος. ὁ δὲ λόγος τοῦ Θεοῦ λογικεύσοι μου τὴν ψυχὴν διὰ τῶν σῶν ἑρμηνειῶν· ὧν οὐδὲν ἐν κόσμῳ ἠράσθην τε καὶ ἀγαλλιωμένῳ ἐδεξάμην νοΐ.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Νόμος ἐστὶν ὀνομαστὶ τὸ μὴ κωμῳδεῖν. ἑπόμεθα τοίνυν καὶ ἡμεῖς **IV** f. 92v
τοῦτο ὡς τῷ νόμῳ πειθήνιοι, ὀνομαστὶ τὸ μὴ κωμῳδεῖν. εἰ δ' ὀνομαστὶ σιωπῶμεν μὴ κωμῳδεῖν, καὶ παραβλέπομεν ἅπερ ὁ λόγος λέγει κρίνειν κατὰ τὸν ἐμὸν λόγον ἄξια, κωμῳδοῦμεν ἄρα ἐν σιωπῇ. ὥσπερ γὰρ σιγῶντες ἐπαινέται τῆς τοῦ Θεοῦ μεγαλονοίας οἱ οὐρανοὶ καθε-

(LII)

---

75 sq. ἠρετισάμην F. || 83. καταστέφουσιν scripsi: καταστρέφουσιν F. || 85. κατάστεψον scripsi: κατάστρεψον F. || 93. μᾶλλον post κόσμῳ excidisse puto.

IV Argumentum. ' *Nihil ad te scripsi ne horum temporum malos mores tecum frustra quererer; simul etiam quia curis et valetudine distentus sum. Mitto ad te quae stomachum tuum reficiant* '.

5. Cfr. Psalm. XVIII, 2.

στήκασιν, οὕτω δὴ καὶ κήρυκες διαπρύσιοι πρὸς τὸ ἀνεμένον ἢ μᾶλλον ἄμελον αἱ τῶν λογικῶν κολλάβων στροφαὶ πρὸς τὸ δεῖξαι τὸ τῆς ἀλογίας ἀναίσχυντον. οὕτω γοῦν σιωπῶμεν, τούτῳ τῷ τρόπῳ τῷ μέλανι χάρτην οὐκ ἐγχαράττομεν, οὕτω φεύγομεν τὸ λαλεῖν. εἰ γὰρ πρὸς σὲ τὸν ὑπερημένον ἐν λόγῳ ὁρμήσομεν φθέγξασθαι, τί ἂν ἄλλο ἐρῶμεν, ἢ τὴν τῆς ἀλογίας διακωμῴδησιν; διὰ τοῦτο καὶ σιωπῶμεν, τὴν σιωπὴν ἐκείνης ἔλεγχον ἔχοντες, ἣ ἐχρήσατο ταῖς παρὰ Θεοῦ δυνάμεσι δοθείσαις ἀλόγως αὐτῇ. ὕλη γὰρ πάντα τὰ ἐν τῇ γῇ· ὅπου δ' ὕλη, καὶ ἀλογία, εἰ μὴ κατακυριεύει τὸ νοερόν. τί οὖν περὶ τούτων φαμέν; εἰ διὰ ταῦτα λέξαι πεισθήσομαι, κωμῳδήσω ἄρα ὀνο-
f. 93r μαστί· εἰ δὲ κωμῳδήσω ὀνομαστί, | ἔκνομος τοῦ νόμου γενήσομαι· εἰ δ' ἔκνομος τοῦ νόμου γενήσομαι, κατακριθήσομαι παρὰ τῶν ἄξια σχόντων οἰκείᾳ προαιρέσει τῆς κωμῳδήσεως. ἀλλὰ τί λέξω μοι τῷ σοφῷ; περὶ λίθων τε καὶ μαργάρων, ἐνδυμάτων τε καὶ τροφῶν; καὶ ταῦτα εἰ μὲν εἰς ἐγκώμια φέρω, ἀτιμάσω τὴν ἀρετήν· εἰ δὲ κατὰ φύσιν περὶ τούτων ἐρῶ, δόξω ὅτι ὀνομαστὶ κωμῳδῶ. σιωπῶ διὰ ταῦτα τοῦ ἐπιστέλλειν σοι· ἀμφαιότερος γοῦν πρὸς σὲ οὐ φανήσομαι, ὥστε καὶ τὰ τῆς ἀλογίας βαδίσματα ἐθέλειν ἐνδείξαι σοι. σοὶ γὰρ πάντα ταῦτα διεστάλησάν τε καὶ διεκρίθησαν, ὁπόταν τρέφεσθαι ἤρξω τῆς τιθηνοῦ φιλοσοφίας τῷ γάλακτι. ἐπεὶ δὲ οὕτως σοι διεστάλησαν καὶ τοῖς σοῖς ποσὶν ὑπεστρώθησαν, τηλεσκοπεῖς τὰ αὐτῶν ἀμέσως καὶ ὡς ἔχουσι φύσεως. εἰ γὰρ οὐχ ὁρῶσιν οἱ τὰ σά, ὡς ἔφαμεν, βλεπόμενα πράττοντες, ἀλλὰ σοί τε καὶ ἐμοὶ καὶ ἄλλῳ εἰσὶ γνωστά τε καὶ τῇ ὀντότητι καὶ ἑτέροις, οὓς ἡ φιλοσοφία ἐθρέψατο καλοὺς κἀγαθούς, ὡραίους, ἐμοὶ ποθεινούς, ἀδελφοὺς καὶ ὁμομητρίους καὶ ὁμοπνόους, ὡς κέκρικα. εἰ γοῦν διὰ ταῦτα, ὅτι τις λύπη ἡμᾶς ἐνεπόδισε γράφειν σοι, μομφὴν σχῶμεν ὕβρεως, (ἡ γὰρ διάκρισις ῥᾴστη πάντων ἐν σοί), ἐκ
f. 93v τῶν | λεγομένων τε αὐθις, οὐκ ἐκ τῶν νῦν, ἀλλ' ἐκ τῶν ἐφεξῆς, ὧν σὺ νοήσειας, συγγνωμονήσεις ἡμᾶς, γνοίης τε ἂν ὅτι οὐ παροράσει ἀλλ' ἐπιμελείᾳ τινῶν πραγμάτων ἡμῖν συμβεβηκότων οὐκ ἐπιστέλλομεν· ἃ καὶ Θεὸς καὶ τύχη καὶ νοῦς καὶ λόγος καὶ οἰκονομία καὶ ἡ διὰ τὸ καλὸν ἀρετή (τοῦτο γάρ ἐστι καὶ ἀρετή) ἀμυδρὰ ἀσθενείας ἰνδάλματα δείξουσιν.

---

7. immo ἀμελὲς vel ἀμελούμενον. κολάβων F. || 12. παρὰ scripsi: περὶ F. || 13. αὐτῇ ante ἀλόγως transposuerim. || 18. μοι] immo σοι. || 34. τε scripsi: γε F. || 37. τοῦτο] ταὐτὸ?

Εἶεν· πρὸς δὲ διάχυσιν τῆς συναγομένης ἐν τῷ σώματί σου ὕλης, τῇ συνεργείᾳ τῶν βαφεοπώλου ποτῶν, μαγείρων ἐγκωμιαστικόν σοι ἐστείλαμεν ἔδεσμα. μικροῦ δὲ καὶ ψόγον ἴδῃς Ἀριστοτελικὸν καὶ Ὁμηρικόν, ἔπαινον δὲ χρυσοχόου καὶ ἱστουργοῦ, οἵτινες ἐκ τοῦ ἐναντίου κομποματίτζιν ῥητορικῶς ὑπερέκεινα κρίνονται.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

V. (LIII)

Ἡμεῖς μέν, ὦ σοφὴ κεφαλή, στέργομεν καὶ αἰδούμεθα, καὶ ἀκηκοότες οὐκ ἐκτρεπόμεθα, καὶ ἐναργῶς ὁρῶντες οὐ μαινόμεθα πώποτε· ἡμᾶς δὲ παροτρύνει τὸ βάσκανον, καὶ πάντας ὄντως τὸ πονηρόν, καὶ ἡμᾶς διὰ ταῦτα τὸ ὕπουλον. ἔστι καὶ τοῦτο συλλογισμός, ἐξ ἡμῶν τῶν ἀσυλλογίστων παιζομένων παρὰ σοφῶν καὶ συλλογιζομένων τὰ ἀσυλλόγιστα. οἱ γὰρ ἀμβλυωποῦντες | ὅπῃ τι καὶ θεάσωνται πώποτε f. 94r *μὴ ὄντως ἢ ἠμβλυωπημένον, ἀλλ' οὐκ ὀρθὸν καθεστηκὸς τοῖς περιστρεφομένοις τῷ λογισμῷ, ἐκροὴν νομίζουσιν αὐτὸ κακοῦ καὶ ἀπορροὴν αἰσχροῦ· καίτοι γε δεῖ ἐξ ἀνάγκης νοεῖν τὰ ἐν τῇ φύσει ἑκάτερα ὅμοια (ἐπειδὴ ἔν εἰσι κατὰ φύσιν), τὰ δὲ μὴ προσφυῶς τῇ φύσει αὐτοῖς ξυμβαλλόμενα μάλα γε ἀγνοεῖν, ἐπεὶ καὶ ἀνόμοια. καὶ διὰ τοῦτο φιλοσόφοις ἐντεθραμμένοι ἡμεῖς καὶ ἑπόμενοι δόγμασι, στέργομεν τὰ ὅμοια ὡς σοφοί, τῶν δὲ μὴ ὁμοίων τοὺς λόγους ἐξαπελέγχομεν. εἰ δὲ διὰ τοῦτο ἀμαθεῖς ἡμεῖς νομιζόμεθα, οἱ πάντα μεμαθηκότες προνοίᾳ Θεοῦ, οὐκ ἔκ τινος λυμανθῶμεν· ὅτι ὁ προνοησάμενος ἀνεπιβούλευτος, ἡ τοῦ ἄρα γε ἀνεπιβουλεύτου πρόνοια ὄντως ἀνεπιβούλευτος· καὶ διὰ τοῦτο οὐδεὶς ἡμᾶς λυμανεῖ, ὅτι προνοίᾳ τοῦ ἀνεπιβουλεύτου προήχθημεν. ταῦτα δὲ λέγοντες καὶ συνετιζόμενοι ἐκ Θεοῦ, ἐρωτῶμεν σὲ τὸν σοφόν, εἰ ἔστιν ἡ τοῦ ἀνεπιβουλεύτου Θεοῦ ἀνεπιβούλευτος πρόνοια, ἢ οὔ. εἰ μὲν οὖν εἶπῃς τὸ πρῶτον, στέρξομεν καὶ ἡμεῖς· εἰ*

---

39. immo *ἐγκωμαστὸν*. || 42. non intellego; num *ῥητορικῶν*?

V Argumentum. '*Quae de me dictitant invidi, sapientia duce contemnam et aequo animo feram*'.

6 sq. *μὴ πώποτε ὄντως* < *ὄν* > ? || 8. *ἐκροὴν* F.

δὲ τὸ δεύτερον, σχετλιάσει σοι καὶ ὁ λόγος ἐκ τῶν ὀδόντων σου διὰ πνεύματος ἐξερχόμενος. ἀλλ' οἶδ' ὅτι οὔποτ' ἂν εἴπῃς τὸ δεύτερον,
f. 94v ὅτι πρωτεύεις | ἐν φιλοσοφίᾳ ἐν τοῖς ἀσόφοις. εἴπῃς δέ γε τὸ πρῶτον, καὶ στέρξεις οὐκ ἐν βραχεῖ, ἀλλ' ἕως ὅτου οἱ σοὶ μαθηταὶ στῶσι κατενώπιον τοῦ προσώπου σου, καὶ τὸν προνοίᾳ Θεοῦ σοφόν, ἐλεγχόμενοι παρ' αὐτοῦ τὰς ἑαυτῶν ἀτοπίας, δείξουσιν ἀπρονόητον, καὶ ἀπελέγξουσι βραχυλόγον οἱ πολλὰ ληροῦντες καὶ ἄστατα, εὐφραινομένου τοῦ ἐπ' αὐτῶν ὅσον ἐξὸν ἐπευφραίνεσθαι. πότερον οὖν οὐκ οἶδα εἴτε μαίνονται τῇ σοφίᾳ, παράτριπτοι ὄντες τῷ διδασκάλῳ ὁμοῦ καὶ παράσιτοι, καὶ θωπεύειν αὐτὸν εἰθισμένοι; καὶ διὰ τοῦτο καὶ τὰ παίγνια τούτου σπουδάσματα λέγουσιν, οἵ, καί γε πόρρω καθεστηκότες τῆς φιλοσοφίας αὐτοῦ, αὐτὴν ποθοῦσι καὶ ἄληπτον ἔχουσι, καὶ διὰ τοῦτο θαυμάζουσι καὶ θαυμάζοντες ἕλκουσιν, εἰ καὶ ἀτυχοῦσι κατὰ καιρόν· καιρῷ δέ πού γε καὶ εὐτυχοῦσι τῶν καλλίστων καὶ ἐπευφραίνονται ἐν αὐτῇ, ὡς ἐξὸν ἐν προσώπῳ αὐτοὺς διδασκάλου εὐφραίνεσθαι. ὃ γοῦν ἐκ τῶν ἑκατέρων ἐστίν, ἐγὼ μὲν οὐκ οἶδα· ἓν οἶδα δέ, ὅτι παίζομαι. στέρξω δὲ καὶ τοῦτο, εἰ ἔστι κατὰ τὸν σοφώτατον
f. 95r Πλάτωνα, παίγνιον εἶναι δηλονότι Θεοῦ διὰ τὴν μίξιν | καὶ τὴν ἀνάκρασιν. οἶδα δέ τι καὶ ἕτερον παίγνιον, εἰς ὃ καὶ μᾶλλον παιχθήσομαι οἰκειότατα· τὸ μὴ περιπατεῖν ἐν φιλοσοφίᾳ τε καὶ ἀρετῇ, φιλίᾳ τε σοφίας καὶ ἀληθείας, καὶ ὁμοῦ ξυνελὼν εἰπω, τὸ μὴ περιπατεῖν ἐν φόβῳ Θεοῦ. ὁπόσους οὖν ἐκ τούτων τις εὐκαίρους τοὺς γέλωτας εὕρῃ μοι; σὺ ὁ σοφὸς ὅτι μάλιστα εὑρήσεις ἂν εὐχερῶς. διὰ τοῦτο καὶ παιζόμενοι στέργομεν, καὶ ἀγνοοῦμεν νοοῦντες, καὶ οὐ κραυγάζομεν, καὶ ἀκηκοότες τὸ πρίν, τοῦ εἰπεῖν ἐναρκώθημεν, καὶ αὐτήκοοι γεγονότες πολλάκις ἐσιωπήσαμεν, καὶ ἐστέρξαμεν ἕως δεῦρο, εἰ καὶ τοῖς ἡμετέροις πᾶσι τοῦτ' αὐτὸ δοκεῖ πως παράδοξον.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

VI. (LIV) Θαυμάζω σου τὴν πρὸς ἐμὲ πρόνοιαν τοῦ συμφέροντος, καὶ τὸ

25. κατ' ἐνώπιον F. ‖ 38. Leg. I p. 644 d.

VI Argumentum. *' Cum me ad musicos concentus impellere volebas, laudandae tibi fuerunt voluptates et mollities. At ego Christo confisus modorum et numerorum rudis et expers vivam. Te brevi hostes victurum confido '.*

πολύ τε καὶ ποικίλον ταύτης, τὸ πρὸς παράκλησιν ἡμετέραν καὶ ἀνανέωσιν· ἀλλὰ δὴ καὶ τὸ ἐπιστημονικὸν τῆς στερρότητος πρὸς τὴν τῶν αὐλῶν ἁρμονίαν τε καὶ κατασκευήν· τὴν μὲν ὡς ὄντως οὖσαν φιλίας καὶ φιλίας τῆς ὑψηλῆς, τὸ δὲ ὡς τῷ φιλουμένῳ μάλιστα συναλ-
f. 95v γοῦν καὶ τὰ εἰς ὄνησιν τούτου | πανταχόσε ἀθροίζον καὶ οἰκονομοῦν, τὸ δὲ ὡς οὐχ ἁπλῶς μικράν τινα καὶ κατηυτελισμένην οἰκονομίαν οἰκονομοῦν, ἀλλ' ὑψηλὴν καὶ θείαν τε καὶ ἁρμονικὴν ἐξ αὐλῶν καὶ ᾠδῶν ἡρμοσμένην, ἐν ᾗ ἐτράφης, ᾗ γέγηθας καὶ ἧς τοῖς κρούμασι ἐπεντρυφᾶν σε διὰ παντὸς ἡ σὴ τιθηνὸς φιλοσοφία σοι ἐπεχαρίσατο. τὸ γὰρ ἁπλῶς παραμυθεῖσθαι καὶ μὴ δι' ᾠδῶν, κοινόν ἐστι καὶ τῶν οὐτιδανῶν· τὸ δὲ διὰ τῶν σῶν ποθουμένων αὐλῶν, ὧν τῆς εὐρυθμίας, εἰ καὶ μὴ τοῦ φάρυγγος εὐμοιρεῖς ὀργάνου, ἀλλά γε δι' ὅλης αὐτῆς οὐσίας καὶ ἕξεως καὶ αὐτῶν φημι τῶν ἐγκάτων ἔχεις ἀνενδεῶς, ὑψηλὸν καὶ ἀκροτάτης φιλοσοφίας ἐστὶ παραμύθιον. ἔνθα γὰρ αὐλεῖ ὁ αὐλός, ἐκεῖ καὶ ᾠδή, ἐκεῖ καὶ ὁ χορός, ὡσαύτως δέ γε καὶ στροφὴ καὶ ὁ ἐπῳδὸς παρὰ τῆς τοῦ αὐλοῦ ἐξερχομένης ᾠδῆς ἔχουσί γε τὴν ὕπαρξιν. ὅπου δὲ ἀσοφία καὶ ἀμουσία, οὐδὲ ἁρμονία ἐστίν· ἁρμονίας δὲ μὴ παρούσης, οὐκ ἔστιν ᾠδή. διὰ τοῦτο ἄσοφοι καὶ ἄμουσοι καθεστηκότες ἡμεῖς οὐ μαλθακιζόμεθα τοῖς αὐλοῖς· ἀλλ' ἀνδρειούμεθα τῇ τοῦ Πνεύματος χάριτι πρὸς τὰς τοῦ ἀντικειμένου βασκανίας καὶ με-
f. 96r θοδίας, | κόσμον φεύγειν βουλόμενοι· ἀλλ' ἡμεῖς μὲν οὕτω διάγειν βουλόμεθα, δρυὸς καὶ πέτρας φύσιν ὡς ἔχοντες· σὺ δέ, ὁ τῆς φιλοσοφίας δρπηξ ἀειθαλής, ἐπιτέρπου τοῖς κρούμασι τῶν αὐλῶν, μαλθακιζόμενος καὶ ἐκθηλυνόμενος ταῖς ᾠδαῖς, ἵνα καὶ καθ' ἑκάστην μηκύνηται ἡ σὴ εὐστελέχεια πρὸς ἐπίδοσιν ἄριστα, ἐκπεπερονημένη τῇ ἡδονῇ καὶ ταῖς χάρισιν ἐκβεβακχευμένη τῶν εὐφραντῶν. ταῦτα λέγομεν ἀμούσως οἱ μὴ Τιμόθεον σχόντες αὐλητῆρα, μήτε τινὰ εὐμουσίαν πλουτοῦντες ἁρμονικήν. ἀλλ' ὅμως, ἐπειδὴ καὶ βατράχων γένος καὶ κανθάρων καὶ ἑτέρων ἀμούσων ζῴων τῆς εὐμουσίας ἐφίεται, ἐφιέμενα δὲ ᾄδουσιν, εἰ καὶ ἄμουσα καὶ ἀνόνητα, ταῦτα καὶ ἡμεῖς μιμησόμεθα. καὶ ἁρμοσόν τινα καὶ παραδοξοτέραν ᾠδὴν διὰ λόγου, ὃν οἶδας καὶ ᾧ γέγηθας.

Σὺ μέν, ὦ φίλε, τὰ πρὸς εὐθυμίαν ἀναγκάζεις καὶ τοῖς τῆς ἁρμονίας μέλεσι παραπείθεις ἡμᾶς ἐπευφραίνεσθαι, καὶ τοῦτο ἡμῖν δοκεῖ

---

2. ποικίλον F. || 14. τῆς ante οὐσίας excidisse arbitror. || 23. cfr. Macar. III, 40 (*Corpus Paroem.* II, 158). || 26. ἄριστα scripsi: ἄριστε F. || 28. cfr. Luc. adv. ind. 5, unde hic malim *Τιμοθέου σχόντες αὐλούς*. || 31. immo *ἀνήνυτα*.

πάντῃ καινὸν καὶ πόρρω ὅλως τοῦ δέοντος. ἦ γὰρ ἐπελάθου πρότερον
f. 96r τῶν πρὸ τῆς ᾠδῆς μηχανῶν, τῶν τε | διὰ κεκαρυκευμένων ὄψων καὶ
διὰ τοῦ νεκταρώδους κεράσματος· ἃ μᾶλλον τελεσθέντα πρὸ τῆς ᾠδῆς
ἔπεσθαι πείθουσι ταύτην τούτοις καὶ μελουργεῖν; τοῦτο πάντῃ ἐμοὶ ἀνοι-
κονόμητον ἔδοξε. ποῦ γὰρ ἡ τῶν ἀγγέλων τροφή, ἡ τῶν ὀστρείων, ἡ
θαυμαστή, ἡ σοὶ μὲν ποθεινή, ἐρασμία δὲ ἐμοὶ διὰ σέ; γέγραπται
γάρ· ‘οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, ἀλλ' ἐπὶ παντὶ
λόγῳ Θεοῦ, καὶ πάλιν· ‘ἄρτον ἀγγέλων ἔφαγεν ἄνθρωπος’.
τοίνυν οὖν, εἰ οὐκ ἐπ' ἄρτῳ μόνῳ ζήσεται ἄνθρωπος, τὰ δὲ ὀστρεια
τροφὴ ἀγγέλων εἰσί, σὺ δέ, ἄνερ Θεοῦ, ποθητῶς ἐσθίεις αὐτά, ἄρτον
ἀγγέλων ἀριδήλως ἐστιᾷ ὁ ἀληθὴς ἄνθρωπος. ἆρ' οὖν πρὸς εὐφροσύ-
νην καὶ ἁρμονίαν αὐλῶν μέλλοντά σε παρακινεῖν ἐμὲ τὸν ἀνάρμοστον
ἐκ τῆς σῆς ποιῆσαί σε ἀμβροσίας ἔδει τὰς ἀπαρχάς. ἀλλ' ἡ πρὸς τὰ
ὀστρεια λίχνος σχέσις καὶ τῆς φιλίας ἐπιλαθέσθαι παρέπεισε καὶ μονον-
ουχὶ νοερῶς ταῦτα ἔδεσθαι κατηνάγκασε. ποῦ δὲ ἡ ἑτέρα καὶ ἐνδοξο-
τέρα τῶν ἀγγέλων τροφή; ἅλμαια ἡ ἔνδοξος, ἡ πολυσύνθετός τε καὶ
πολυσκεύαστος, ἡ τεμνομένη τετραμερῶς καὶ οἱονεὶ μιμουμένη τὴν ἀρε-
τήν; ἔδει γὰρ τοῖς ἀύλοις τοὺς ἐνύλους ἑνωθῆναι, καὶ τοῖς μὴ τρυφῶσι
τοὺς ἐν σπατάλῃ μάλα διάγοντας· τοῦτο δὲ ἐχρῆν γενέσθαι διά τινος
f. 97r καινοτέρας | οἰκονομίας καὶ κατασκευῆς. τίς δὲ ἄλλος ταύτην ἐποίησε
καὶ τῆς τῶν ἀγγελικῶν τροφῶν ἤρξατο πρότερον στοιχειώσεως τῶν
ἐν γῇ ἀναστρεφομένων, ἢ μόνος σύ, ὦ πάμμεγα καὶ ἐράσμε; καὶ γὰρ
τὰ τῆς ἁλμαίας φύλλα ἐσθίοντες, διὰ τοῦ τετραμεροῦς ταύτης σχη-
ματισμοῦ, ὡς ἐν ἅρματι ἀνερχόμενοι ἀρετῶν, βαδίζομεν ἐλευθέρως
πρὸς οὐρανόν. τῶν ἁλμαιοφάγων τοίνυν τὰ πλήθη τὸν ἀρχιμάγει-
ρον σὲ τῆς ἀρίστης τροφῆς εὐφημοῦμεν Ναβουζαρδᾶν. ποῦ δὲ ἡ
τῶν καρδάμων ὁρμεῖα δῆξις ἡ σοὶ ποθητή; ἵνα καὶ τὰ κρούματα τῶν
αὐλῶν ἐπιτείνῃ καὶ τὰ τούτων προοίμια καὶ μεταδῷ τῆς ὁρμύτητος
διὰ τὸ καὶ εἰς βάθος ἡδονῆς ταῦτα διὰ τὴν λεπτομέρειαν προχωρῆ-
σαι. τὸ γὰρ λεπτομερὲς διὰ τῶν ἀδήλων πόρων διαδραμὸν εἰς βάθος
προβαίνει καὶ προχωρεῖ. ἀλλὰ σὺ μὲν τῇ τῶν ἁρμονιῶν καὶ αὐλῶν
ἀρίστῃ ᾠδῇ καὶ τῇ ὁρμύτητι ὅλως ἀνακραθείς, καὶ πυθμέσιν ἡδονῆς

---

36. διὰ κεκαρυκευμένων scripsi: διακεκαρυκευμένων F. || 38 sq. ἀνοικονόμητον scripsi: ἐνοικονόμητον F. || 40 sqq. Ev. Matth. IV, 4. || 42. Psalm. LXXVII, 25. || 50. ἅλμαια corr. ex ἁλμαία F. || 59 sq. Reg. IV 25, 8 sqq. || 66. ἀρίστῃ ᾠδῇ F.

ἐμφωλεύσας, Θεοῦ φίλος γέγονας ᾀδων ᾄσματα, ᾠδῶν ἀνευθε καὶ χορδῶν. μετάδος οὖν καὶ ἡμῖν τῆς θεοφιλείας σου, ἵνα ᾄσωμεν τὴν ᾠδὴν καὶ πρὸ προσώπου Κυρίου ᾄσωμεν τὰ ἐπαύλια.

'Αλλ' ἐπειδὴ ἐς τόσσον ἐν λόγῳ κατετρυφήσαμεν, τοῦτο δὲ οὐκ ἄλλοθεν, ἢ ἐκ σοῦ, | φέρε καὶ τῶν τοῦ Μαλιασηνοῦ ζεστακράτων μνη- f. 97v
σθῶμεν, ἵνα καὶ τὸν ἡμέτερον θεραπεύσωμεν στόμαχον· πιέζει γὰρ οὗτος ἡμᾶς πάμπολλα, ὥς φασιν οἱ παῖδες τῶν ἰατρῶν. ποῦ τοίνυν τὴν τοῦ Μαλιασηνοῦ συνεχεστάτην κλῆσιν παρέλειψας, μηδὲ μνησθῆναι ταύτης ἐν ῥήματι, καίτοι γε ἁρμοδίως ταύτην πρὸς τοὺς αὐλοὺς εἶπερ ἥρμοσας, ᾖσας ἂν τὴν ᾠδὴν ὑπὲρ 'Ορφέα καὶ Πίνδαρον. ποῦ δέ γε τὰ τῶν ἐμψύχων παρέθηκας, καταλείψας ταῦτα ὡς ἄψυχα; ἐν οἷς καὶ πνεῦμα ἐγχορεύει οὐσιωδῶς καὶ δυναμική τις πρὸς τὴν τῶν αὐλῶν ἁρμονίαν κινεῖται ἐνέργεια. ποῦ τῶν ὀπωρῶν τὰς ἀπαρχάς, τῶν χρησίμων πρὸ τῆς τροφῆς καὶ τῶν μετὰ τὴν τροφήν; τῶν ἑτέρων ὄψων τὴν ἡδονήν, ἣν καὶ Πλάτων παρέθετο τῇ ὀψαρτυτικῇ; τὸν Σάμιον οἶνον, τὸν λεπτότατόν τε καὶ διειδέστατον; τὰ δ' ἄλλα πάντα παρεάσω ὡς γρουτικά τε καὶ τῆς τοῦ Σωτηρίχου μοίρας μετέχοντα, χαβιάριά τε καὶ ᾠοτάριχα, σαχαλτίκια καὶ τῶν βερζιτίκων τὰ ὑποκοίλια, καὶ ἄλλα ὅσα ἡ τοῦ Κωίτου ἔχει περιουσία. τί γοῦν ἐρῶ; τεθαύμακα, ὄντως τεθαύμακα. τούτων γὰρ εἰ πρότερον ἐμνημόνευσας, τῶν συνήθων καὶ ἀγλαῶν, καὶ παρέθηξας | ἡμᾶς κατατρυφῆσαι αὐτῶν, ἑπο- f. 98r
μένως, τάχ' ἂν τις εἶπῃ, καὶ πρὸς ᾠδὴν ἡμᾶς παρακινῆσαι ἐνώδωσας. οὐ γὰρ ἄνω πηγῶν χωροῦσιν οἱ ποταμοί, ἀλλ' ἐκ τῶν πηγῶν τὸ ῥεῦμα τούτων κατέρχεται· ἆρα γοῦν ἐκ τροφῶν καὶ τρυφῶν καὶ σπατάλης καὶ πλησμονῆς πρὸς ᾠδὴν ὁ ἄνθρωπος μετατρέπεται. ἐχρῆν οὖν ἐμὲ πρότερον τούτων ἁπάντων κατατρυφᾶν, εἶθ' οὕτως τρέπεσθαι πρὸς ᾠδήν. ὅπου δὲ ὀστρείων ἀποφυγή, ἁλμαίας ἄρνησις, καρδάμων ἀπόζευξις, Μαλιασηνοῦ κατάλυσις, μῖσος ἐμψύχων, ὀπωρῶν καταφρόνησις, Σαμίου οἴνου ὀλιγοστός, γρουτικῶν ἑτέρων ἀπάρνησις καὶ πασῶν τῶν τροφῶν στέρησις, πῶς αὐλοὶ καὶ ᾠδαὶ πλησιάσουσιν; ἡμεῖς μὲν ἀναρμόστως καὶ ἀμούσως καὶ ὀλίγα ᾠδῆς ἐν Χριστῷ ζῆσαι βουλόμεθα· σὺ δέ, ὦ τρισμέγιστε καὶ ἐμοὶ ἐράσμιε, ἔντεινον τὸν αὐλὸν καὶ ᾄσον κρούματα ἐπινίκια· ἐπεὶ καὶ νίκης φοροῦντά σε στέφανον θαρροῦμεν ἰδέσθαι μετὰ μικρόν.

---

67. ᾄσματα] ᾶς μτα F. ἄνευθε scripsi: ἄνευτε F. || 71. ζεστῶν κρεάτων? || 74. μαλιασην F. || 81. cfr. Gorg. p. 464 d — 465 a et Sympos. p. 187 e. || 83. num latet hic Σωτηρίδου nomen coqui illius Euphronis fr. 11 Kock (III, 323)? || 89. cfr. *Corp. Paroem.* II 96, 3 et not.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

VII. (LV) Ἡμεῖς μὲν αἰδῶ τὴν πρὸς τὴν ἀλήθειαν ἀεὶ κεκτημένοι, σιωπὴν ἀσκοῦμεν τοῦ ὁμιλεῖν τῷ πανσόφῳ καὶ διδασκάλῳ· πειθόμεθα δ' αὐτῷ
f. 98v ἀκροᾶσθαι μᾶλλον | ἢ λόγους φέρειν. καὶ γὰρ οὐ διάκρισις ἀμιγής, καθαρῶς ἐκκέχυται τὰ λεγόμενα· οὐ δὲ τὸ τῆς ἀμαθίας καὶ ἀφυΐας πλεονάσαν νέφος, συσκιάζει καὶ τὴν διάνοιαν· διὸ καὶ ἀπαιδεύτου διανοίας καὶ ἀμνήτου μαθήσεως γεννήματα ζοφώδη καθεστήκασι τέλεον. τοίνυν κἀγὼ σήμερον, οὐκ ἀμυδρῶς ἢ πλημμελῶς πάσχων ἐν τῷ νοΐ τὸ τῆς ἀμαθίας καὶ ἀγνοίας πάθημα, ἀλλὰ παντελῶς οὐκ οἶδα τί σοι προσφθέγξομαι· διότι καὶ τῶν ἡμετέρων λόγων συγκρινόμενα τὰ νοήματα οὔκουν φανῶσι διδασκάλου καὶ φοιτητοῦ, καὶ ὑψηλοῦ καὶ γεηροῦ, αἰθερίου τε καὶ κατημαξευμένου· ἀλλὰ καὶ τισι νομισθῇ τάχα ἂν ἴσοι ἴσοις ὡς διαλέγονται. ἀλλ' ὦ τῆς παρανομίας· συγκρίνεται ἡ ὀντότης πρὸς τὴν φθορὰν καὶ ἡ τοῦ φωτὸς λαμπηδὼν πρὸς τὴν μέλανσιν τοῦ σκιεροῦ. καὶ γὰρ ὀλίγων τῶν αὐγῶν προσπιπτουσῶν τὸ λευκὸν μέλαν φαίνεται, καθὰ καὶ Σταγειρίτης παραδειγματίζων τὸ μέλαν τε καὶ λευκὸν καὶ τὸ τούτων μέσον, τὸ σκιερόν, τὴν τῆς θαλάττης ῥῖκην εἰς τὴν τούτων παρέ<δειξε> διασάφησιν· διόπερ καὶ σῳζομένων αὐτῶν, τοῦ λευκοῦ δηλονότι καὶ μέλανος, τὸ σκιερὸν οὐ φανήσεται. κατὰ ταὐτὸ οὖν καὶ τῶν ἀκροτήτων
f. 99r | τῆς σῆς σοφίας καὶ τῆς ἐμῆς ἀμαθίας σῳζομένων, οὐκ ἔστιν ἄξιον ὅλως συνομιλῆσαι σοι· ἐπεὶ καὶ πόρρω τὰ Μυσῶν καὶ Φρυγῶν καθεστήκασιν ὅρια, καὶ πόρρω σοφοῦ καὶ ἀσόφου καὶ ἀγαν σοφοῦ καὶ ἄκρως ἀμαθεστάτου καὶ ἀσόφου. διὰ τοῦτο σπεῖρε μᾶλλον ἢ ἄμα,

---

VII Argumentum. '*Dignus non sum qui ad tuam sapientiam accedam. Sed quae tua benignitas, doctrinam tuam ingenio meo aptabis. Quae impedimento tibi sunt quominus huc accedas Deus removebit*'. Epistulam suspicor falso huc illatam epistulis ad Nicephorum missis inserendam esse: cfr. Nicephori epp. XVI. XVII et quae dicam in *Prolegomenis*.

1. *αἰδὼ* F. || 14 sqq. De Color. I, 3 p. 791 (Ar.) || 15. *λευκὸν*] *σκιερόν* Ar. || 17 sq. *παρέ | διασάφησιν* nullo lacunae signo F. || 20. immo *εἰμὶ ἄξιος*? || 21 sq. cfr. Ep. XLV, 47. || 23. *σπεῖρε μ. ἢ ἄμα* (*serendum tibi est potius quam metendum*', sc. '*aliter se res habet ac putant*') scripsi: *σπέρε μ. ἢ ἄμα* F.

καὶ πάλιν ἐρῶ, διὰ ταῦτα οὐχ ὁμιλῶ σοι τῷ ὑψηλῷ, ἐπεὶ καὶ τὸ ‘γνῶθι σαυτόν’ θησαυρός ἐστι τοῖς ἐχέφροσιν. εἴπερ δέ τις γενήσεται κατὰ τὰς χρωματικὰς ἰδέας, ὡς ἂν τις εἴποι, μίξις καὶ σύγκρασις, συμβιβασθῶ<σι> τὰ διστάμενα. εἰ γὰρ τὴν ἡμετέραν ἀλογίαν μικρὸν συγχωρήσεις εἰς τὸ τοῖς περιαυλίοις τῆς σῆς προχωρῆσαι λογιότητος, οἶδα ὡς ὁρμήσει πρὸς τὸ σοφόν· ὡσαύτως δέ γε, καὶ πολλοστημόριον σῆς παιδείας πρὸς ἡμᾶς εἴπερ ἐξαποστείλειας, τὸ τῆς ἡμετέρας ἀμαθίας μεμελανωμένον πρὸς λεύκανσιν μεταβαλεῖς γνώσεως· καὶ οὕτω καταλλήλως, τοῦ μὲν ἀναχθέντος, τοῦ δὲ συγκαταβεβηκότος, τῶν νοημάτων μίξις γενήσεται, κἀντεῦθεν κοινωνία λόγων καὶ ὁμιλίας παρέψεται ἕνωσις. καὶ τῷ μὲν τῆς ἀντιδόσεως τρόπῳ φωτίσεις ἡμᾶς, σὺ δὲ οὐδ’ ὅλως μελανωθῇς τῷ νοΐ· ἐπεὶ καὶ Νοῦς ὁ πρῶτος τὸν Λόγον αὐτοῦ σαρκὶ μίξας θελήσει τῇ ἑαυτοῦ, τῷ μὲν ἐλαμπρύνθη, τῷ δὲ οὐδόλως μετείληχε μολυσμοῦ. | τούτων οὖν οὕτως ἐχόντων καὶ τῶν f. 99v
ἀκροτήτων ἀλλοιωθεισῶν, τῆς μὲν θελητῶς, τῆς δὲ χάριτι ἀνατατικῶς, οἶδα ὡς ὁμιλήσω σοι. κἀντεῦθεν καὶ τὸ περικύκλῳ σου σκότος τῶν νοημάτων ταῖς σαῖς παιδείαις οἰακιζόμενος διαπλεύσω, καὶ νῆσον φθάσω περικαλλῆ, τὸν σόν, ἄνθρωπε, νοῦν, ἐκ τοῦ φοινικοῦ τῆς ἀμαθίας χρωματισμοῦ εἰς ἐρίου μεταβληθείς, μαθήσεως δηλαδή, καθαρότητα.

Περὶ δὲ τῆς κινήσεως, ἧς κινηθεὶς ἡμᾶς παρακινεῖς, ὑμᾶς ἵνα κινήσωμεν εἰ κινηθῶμεν, οἶδα κινήσεται· εἰ δ’ οὖν, καὶ οὕτως μὴ κινηθέντων ἡμῶν, καὶ ὑμεῖς αὐτοκινήτως κινηθήσεσθε, ἐπεὶ καὶ μόρῳ τὰ κινοῦντα ἐφθάρησαν· καὶ τοῦτο μᾶλλον ἀφορμὴ τῆς κινήσεως καὶ θραῦσις τῆς πρὸς τὰ*** κινήσεως. μὴ ναρκωθῇς· κινοῦμεν ὡς ἐφικτόν τε καὶ ἀληθές. ὁ δὲ τῆς κινήσεως καὶ τῆς στάσεως καὶ πάντων τῶν ἄλλων καὶ αὐτῆς δὴ τῆς ποιήσεως ἀρχιτέκτων καὶ ποιητὴς ἡμᾶς τε καὶ ὑμᾶς κινήσαι καὶ στήσαι· τὸ μὲν εἰς ἀρετὴν καὶ τὰ τοῦτου θελήματα, τὸ δὲ στάσιν ἀκινησίας ἔχειν πρὸς τὸ κακόν. αὐτὸς οὖν καὶ ὑμᾶς ἐκ τῶν αὐτόθι, ὡς αὐτῷ βουλητόν, καὶ κινήσοι καὶ σώσοι | καὶ θεάσασθαι ἀλλήλους παρέξοι τοῖς ἀμφοτέρωθεν· οὗ μειζό- f. 100r
νως πάντων τῶν κατὰ κόσμον ἐφετῶν ἐπεθύμησα.

---

27. *συμβιβασθῶ* F. ‖ 28. num *τὸ* <*ἐν*> *τοῖς*? ‖ 47. lacunam indicavi: supple *κακὰ* vel tale quid, cfr. 51. ‖ 50. *κινήσαι* corr. ex *κινησαι* F.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

VIII. (LVI) Ὦ μέγα κάρα, ἀντιχαρίζομαί σοι λόγον ἀντὶ τῆς σῆς πρὸς ἐμὲ ἐπιστολῆς· καὶ τοῦ πρὸς σὲ τὸν πάμμεγαν ἐμοῦ λόγου προτρέχει ἐπιστολὴ ἐμὴ πρὸς σὲ τὸν φιλούμενον· τυράννησον οὖν τὰ ἀμφότερα· καὶ εἰ εὑρήσεις τι ἐν τούτοις ἔχον τινὰ λογικότητα, μηδένα ἄλλον θαυμάσῃς, ἢ τὸν Λόγον τὸν τοὺς ἀλόγους λογοῦντά τε καὶ σοφίζοντα· εἰ δ' ἴσως εὑρήσεις τι καὶ ἄλογον ἐν τῇ τοῦ λόγου διαρτίᾳ μέλος ἢ μέρος, μὴ λογικεύσῃς, ἀλλ' εὔξαι ὑπὲρ ἡμῶν. τὰ δὲ ἐν συντάξει δυσεύτακτα, εἰ καὶ ὡς ἄτακτα φανῶσι, θαύμασον· πλὴν δὲ μὴ ἐκστῇς ἐπὶ τούτοις, ἐπεὶ καὶ εὔτακτα. Θεὸς καὶ γὰρ βροτῶν ἰσχυρότερος· θεῖα δὲ δόγματα βροτείων δογμάτων εἰσὶ μονιμώτερα. διότι Θεὸς πάντων ὢν ὑπερκείμενός τε καὶ ὑπερκαθήμενος ἀσυγκρίτως εἰς τοὺς δούλους διανέμει κατ' εὐεργεσίαν καὶ τὰ δωρήματα. τῷ τοί γε καὶ τὸ τοῦ ἐνεργοῦντος, ὅτι ἔργον βλέπων σταθηρόν, συναρήγει ὁ Ἰσχυρὸς
f. 100v ὡς πλάστης τῷ πλάσματι· ταῦτα γοῦν | θαύμασον, ἐπεὶ καὶ φιλόσοφος· Σωκράτης γὰρ ὕψει βαίνων σοφίας, καὶ μᾶλλον ὡς ἅληπτα διανοῶν ἃ ἐνόει, ἐθαύμαζεν ὡς ποθῶν· διὸ θαυμάζων τὰ ποθούμενα καὶ πρὸ τούτων τὴν τοῦ Θεοῦ δύναμιν, ὑπερκείμενος πάντων διὰ τοῦτο ἐφάνη τῶν τότε σοφῶν. τοίνυν καὶ σύ, ὦ φιλούμενε, εἴπερ θαυμάζεις τὰ ἐμά, πόθησον πρῶτον τὸν Θεὸν τὸν δόντα δύναμιν τοιαύτην τοῖς ἀσθενέσιν· ἐγὼ δὲ λέγω· καὶ οὕτως θαύμασον, καὶ οὕτως πόθησον, καὶ ἀμφοτέρωθεν τὸν Θεὸν θαύμασον καὶ ἐπαίνεσον, ἵνα καὶ ἡμεῖς ἀμφότεροι μείνωμεν ἐς ἀεὶ ἐν χειρὶ Θεοῦ. στήτω γοῦν ἡ γραφὴ τῆς ἐπιστολῆς ὡς λόγου οὖσα προάγγελος, ὁ δὲ λόγος λεγέτω καὶ ὁ φι-

---

VIII Argumentum. '*Cum epistula etiam sermonem meum ad te mitto, quem a te iudicari volo qua soles doctrina et amore. Utinam te brevi amplecti possim!*'

Exstat haec epistula etiam in cod. V, f. 118r ‖ 1. πρός με V. ‖ 2. ἐμοῦ λόγου F: ἐμὸν λόγον V. ‖ 3. τρυτάνευσον? ‖ 4. ἔχῶν et λογικότατα V. ‖ 7. συντάξει V: συντάξεσι F. ‖ 10. θεῖα ut vid. V. ‖ 13. ὅτι] num ἅτε? possis etiam βλέπει, sed nihil mutandum. ‖ 20. ἐγώδε F. num ἐμοὶ δή?

λούμενος ἀκροάσθω καὶ ἡ ἐπιστήμη ἐπισκεπτέσθω, εἴτε παρὰ τοῦ λόγου τῆς ἀληθείας, εἴτε παρὰ τοῦ σοφοῦ καὶ ἀκροατοῦ, εἴτε παρ' ἑτέρων, οἷοι ἄρα καὶ εἰσίν, εἴτε παρ' αὐτῆς τῆς ὀντότητος, τῷ ἀνεπιστήμονι καὶ μελήσειεν. ἐμοὶ δέ, φίλε, ἑνὸς μέλει πράγματος, τοῦ σὲ τὸν φίλον ἰδεῖν, ὃν καὶ ζῶν καὶ μὴ τὴν ἔνυλον ζῶν ζωὴν οὐδέποτε ἀπαρνήσομαι· εἴθε δὲ ἐν Χριστοῦ χάριτι.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

IX. (LVII) f. 101r

'Θεὸς ἐκδικήσεων κύριος· Θεὸς ἐκδικήσεων ἐπαρρησιάσατο.' | τοῦτο σήμερον συνάδειν μοι δεῖ τῷ Δαυίδ, οὐκ ἐναρμονικαῖς ᾠδαῖς τε καὶ ἀλαλάγμασιν, ἀλλ' ἐκ θρηνῳδίας ἱερεμικῆς ἁρμόσασθαι τὸ ψαλτῴδημα, ἐξ οὗ καὶ θρῆνον θρήνῳ προσθήσω καὶ οἰμωγὴν οἰμωγῇ καὶ τῷ ὀδυρμῷ ἁρμόσω τοὺς ὀδυρμούς· κἀντεῦθεν δὲ πάλιν βοήσομαι· 'ὑψώθητι ὁ κρίνων τὴν γῆν· ἀπόδος ἀνταπόδομα τοῖς ὑπερηφάνοις.' καὶ γὰρ ἐγὼ ἀεὶ τῇ ὑπερηφανίᾳ ἐναβρυνόμενος, καὶ ὥσπερ ἀρετῶν νοσσιὰν τὴν ἐμὴν νομίζων εἶναι ψυχήν, ἐπὶ τρίβους συνεκτεινόμην κακίας τυφλούμενος τῷ νοΐ· διὸ καὶ πολλῶν ψόγων ἀκηκοὼς κύκλῳ τοῦ δυστήνου μου σώματος, ὡς ἀρνίον ἄκακον ἐπορευόμην ἐν πλατυσμῷ, ἐπαιρόμενος τῇ ὑπερηφανίᾳ τῶν ἀρετῶν. διόπερ οὐκ ἔγνων εὐπλοῶν ζάλης μνησθῆναι, καὶ ἱλαρῶς ὁδεύων σκοπεῖν καὶ τὰ συμβησόμενα, καὶ ταπεινοῦσθαι ὡς δεῖ καὶ ἀσφαλίζεσθαι πάντα τὰ κατ' ἐμέ. διὰ τοῦτο ὁ πάντα ποιῶν καὶ μετασκευάζων, καὶ θραύων βουλάς, καὶ κέρας ἐγείρων τῶν χρηστῶς δουλευόντων αὐτῷ, καὶ ποιῶν κρίσιν καὶ ἔλεον, τιμωρίαν φιλαν-

---

26 sq. ἀνεπιστήμονι vix rectum: num ἂν ἐπιστήμονι? || 27. μέλει V: μέλλει F.

IX Argumentum. 'Deus me dolore affecit ut fiduciam nimiam animi mei emendaret'.

Exstat haec epistula etiam in cod. V. f. 113.v || 1 sq. Psalm. XCIII, 1. || 2. δεῖ F: δὴ ut vid. V. || 3. ἀλλαλάγμασιν VF. ἱερεμικῆς F: ἱερεμακῆς V. || 5. τῷ ὀδυρμῷ F: τῶν ὀδυρμῶν V. || 6 sq. Psalm. XCIII, 2. || 7. ὑπερηφανεία V. || 8. νοσιὰν F. || 10 sq. Ierem. XI, 19. || 11. Psalm. CXVIII, 45. || 14. τοῦτο V: τοῦ F. || 15. Cfr. Psalm. CXLVIII, 14 et LXXV, 10. || 16. αὐτῷ F: αὐτόν V.

f. 101v θρωπίας ἐπήγαγε καὶ λύπην φύσει μὲν ὅλως ἀπαραμύθητον, | προνοίᾳ δὲ τῇ αὐτοῦ καὶ λίαν εἰς τὴν ἐμὴν σωτηρίαν ὄντως ἀγαθήν. οὐδὲ γὰρ ἦν δίκαιον θελήματα θεϊκὰ ἄλλως ἔχειν, ἢ ὅλως πρὸς τὸ ἀγαθόν· διὰ τοῦτο παιδεύων ἐπαίδευσέ με, τῷ δὲ θανάτῳ οὐ παρέδωκε τὴν ἀθλίαν μου ψυχήν· ὅτι καὶ οἱ τοῖς τῶν κακῶν ἀπαύστως μένοντες ἔργοις, εἴποι τις, ἀθάνατον ἔχουσι τὴν ἁμαρτίαν αὐτῶν· διὸ καὶ μέχρι πύλης κατηνέχθην θανατηρᾶς καὶ πεταύρων ᾅδου ἔψαυσα καὶ παντοίως τῷ μόρῳ συνανεκράθην παιδαγωγούμενος· ἀλλὰ τῇ ἀναστάσει τοῦ Κυρίου Χριστοῦ ‘οἱ φυλασσόμενοι μάταια καὶ ψευδῆ’, μετὰ τοῦ Ἰωνᾶ ἐκ κοιλίας τοῦ κήτους φθέγξομαι, ‘ἔλεον’, τὴν ψυχήν μου, ‘ἐγκατέλιπον’, δηλονότι τῆς λύπης οἱ λογισμοί· ταῦτά σοι ὅτι ἐκ λυπηρᾶς διανοίας προσφθέγγομαι, ᾧ μηδόλως τοιαῦτα ξυνέτυχον πώποτε. ὁ πάντων δὲ ποιητὴς τὸ αὐτοῦ ἐργασάμενος ἀρεστὸν φυλάξειεν ἅπαντας, ἡμᾶς δὲ ψυχαγωγήσοι ἐπὶ σωτηρίους νομάς.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

X. (LVIII) f. 102r Τί σοι εἴπω ἢ τί σοι προσφθέγξομαι, τῷ ἐμῷ Ἀκροπολίτῃ; ποίαν θήσω μνήμης ἀρχήν | τὸν μηδέπω ἀρχὴν πικρίας ἐμῆς εἰς νοῦν ἀνα<βι>βάσαντα; πῶς λέξω τὸ δύσφημον ἢ μᾶλλον τὸ ἀπευκταῖον; ἰδοὺ γὰρ καὶ χείρ μοι ναρκᾷ καὶ σάρκες φρίττουσι, καὶ ψυχὴ κλόνῳ πολλῷ περιέχεται· οἷόν μοι πάθος ἐγένετο· πῶς οὐ διχότομος ἢ τέλεον ἀφανὴς τῇ συμφορᾷ καθέστηκα; πάμπολλα τὰ δεινά, πάμπολλα τὰ συμβάματα, πάμπολλα τὰ νεκροῦντά μου τὴν ψυχήν· καὶ οὐδεὶς ὁ ἀναρρωννύων με· ἰδοὺ καὶ γὰρ τῷ πικροτάτῳ τούτῳ δὴ παθήματι

---

20 sq. Psalm. CXVII, 18. || 21. παραδέδωκε F. ἐμὴν ἀθλίαν V. || 22. malo ἐμμένοντες. εἴποι F: εἶπη V. || 23 sq. cfr. Psalm. CVI, 18 e LXXXVII, 24. || 24. συνανεκράνθην F. || 25 sqq: Ion. II, 9. || 26. τοῦ post κοιλίας om. V. || 27. κύτους καὶ λύπης φθέγξομαι V. || 28. ὅτι F: ἔτι V; cfr. ep. LI, 18 et not. || 31. σωτηρίους V: σωτηρίας F.

X Argumentum. ‘*Quae mihi maxima doloris causa exstitit, te quoque graviter afficiet. Deum confido nobis aliquando bonae spei laturum solacia?*’

Exstat haec epistula etiam in cod. V, f. 113v || 2. ante τὸν praepositio exciderit. εἰς νοῦν om. V. || 3. ἀνα|βάσαντα F. || 8. ἀναρρωνύων V. τούτῳ om. V.

καὶ ἡ τοῦ ἐμοῦ αὐθέντου καὶ βασιλέως ἀποδημία μυρίσα πλείστην τὴν ἀθυμίαν ἐποίησεν· ἐπεὶ καὶ σὺν αὐτῷ καὶ ὑμεῖς ἀπόδημοί ἐστε, οἱ ἐξόχως πάντων φιλοῦντές με. ὦ τοῦ θαύματος· ἐμνήσθην λόγου σοφοῦ τοῦ λέγοντος ἀεὶ βελτίω τὰ πέρυσιν. ἐφθόνησε τὸ δαιμόνιον καὶ τῷ καιρῷ τῶν ἀγαθουργημάτων ἀντιστρόφως μέγα ἔφερε τὸ δυσπράγημα. ἔδυνε καὶ γὰρ ἡ ἐμὴ φωταυγία ἐν πανδοχείῳ τόπῳ τῷ ἀφεγγεῖ, μηδεμίαν ὅλως ἀνατολῆς ἐλπίδα μοι παραλείψασα. πάλλει μου ἡ καρδία, φρίσσει τὸ αἷμα καὶ ὅλη μου ὡς εἰπεῖν ἡ στοιχειακὴ ζητεῖ οὐσία διάλυσιν. τίς μοι ἔστι παρήγορος; | ποῦ τῆς νεότητός μου f. 102v τὸ ἄνθος; ποῦ ὁ μελισσὼν τῶν καρδιακῶν μου λόγων τε καὶ βουλῶν; πάντα ἠφάνισται, πάντα παρῆλθον μόνον με ὄντως καταλείψαντα. δάκρυσόν μου τὴν συμφοράν. οἶδα καὶ γὰρ ὡς οὐκ ἀδακρυτὶ καὶ πρώην ταύτην παρέδραμες. ἐμὲ δὲ τίς οὐ θρηνήσει; καί γε μᾶλλον ὁ τὰς τῆς ἐμῆς καρδίας ὁρμὰς ὄντως ἀκριβωσάμενος, πάντων ἄλλων μᾶλλον οὗτος ἐπέκεινα καὶ κλαύσει καὶ κόψεται καὶ θρηνῳδίᾳ ἐκδώσει ἑαυτόν. οὗτος δὲ οὐδεὶς ἄλλος ἐστίν, ἢ ὄντως σύ· ἐπεὶ καὶ τὰ ἐμὰ πάντα οἰκειωσάμενος οὐσιωδῶς ἔνδον ἐν τῇ ψυχῇ, ἔγνως με ἁπλανῶς. ταῦτά σοι ἐπαλέγω τὰ δακρυόφυρτα καὶ ἀσυνήθη μοι ἐξαγγέλματα. ὁ δὲ Λόγος τοῦ Πατρὸς διὰ τῆς αὐτοῦ ἐμφύτου δυνάμεως ἐργάσαιτό μοι τὸ βέλτιστον οἷς οἶδε λόγοις καὶ τρόποις καὶ σώσοι μου τὴν ψυχὴν τῇ θείᾳ οἰκονομίᾳ αὐτοῦ, ὃ πάντων τῶν νομιζομένων ὄντων ἀσυγκρίτως ἐστὶν ὑπερέκεινα, καὶ σὲ θεάσασθαι ἀξιώσοι ὡς αὐτῷ βουλητόν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

f. 103r
XI. (LIX)

Ἐγὼ μὲν ἄρτι γνοὺς τὴν σὴν στερρότητα καὶ ἀγχίνοιαν, τρισέ-

---

11. λόγων ut vid. V. || 12. ἂν pro ἀεί, et πέρυσι V. Proverbium vide in *Corp. Paroem.* I 208, 14 etc. || 14. πανδοχίῳ V. || 15. μηδὲ μίαν ut saepe F. || 16. μου F: μοι ut vid. V. || 17. ζητεῖ om. F, ubi in erasis exstat διάλυσῖ (sic). μοι V; μου F. || 18. ὁ F; ἡ V vix rectius, etiam si de muliere agitur. || 19. ἠφάνισται F: ὡς ἀφάνισται (?) et ὡς add. post ὄντως V. || 27. πατρὸς comp. F: σωτῆρος V. διὰ τῆς α. ἐμφύτου F: τῆς δι' α. ἐμφύλου V. || 28. τόποις καὶ σωσει[oi]/////μου V; scribendum σώσειέ μου? || 30. αὐτῷ F: αἰτῷ ut vid. V.

XI Argumentum. ' *Mihi tuae litterae solacium attulerunt quam maximum. Itinera mea non levant animi aegritudinem. Tamen patris mei verbis obsecutus ciborum ceterarumque rerum rationem quam ille statuit accepi* '.

ραστε, ἐθαύμασα μέν, οὐ πάνυ δέ· διότι καὶ ὁμολογουμένως στερρὸν φιλίας λίθον ἀσφαλῆ σε ἐπέγνων, ὅτι καὶ πρώην ἐπεπόθησα σέ, ἢ τοὺς τῆς σοφίας ἠσπασάμην λόγους τοὺς ἀγαθούς· οὐκ ἤδειν δὲ ὅτι οὓς προὔλαβες εἰκονίζεις· ἢ οὗτοι σοὶ ὁμοιοῦνται ἀνυπερθέτως; οἶμαι δὲ ὅτι ὁ μὲν ὕλη, ὁ δὲ εἶδος· ἄμφω δὲ σύ, καὶ ὕλη καὶ εἶδος· ὅτι καὶ σὺ ἑαυτὸν μορφοποιεῖς τὴν ἀγαθὴν διὰ τοῦ λόγου χρωματουργίαν, μὴ ἐξίτηλα ἔχων τὰ διαβούλια, ἀλλὰ δευσοποιῷ Ἀριστοτελικῇ βαφῇ γνώσεως εἰδοποιηθεὶς τὸν νοῦν, καὶ ἀμφοτέρωθεν ἔχων τὸ ἀπαρέγκλιτον, ἔν τε λόγοις, ἔν τε φιλικῇ ἑνώσει, ἔν τε λύπαις, ἔν τε φόβοις, ἔν τε τρόμοις· καὶ τοῦ ὀρθοῦ σκοποῦ οὐκ ἀποδιίστασαι ἀληθῶς. Πλάτων καὶ γὰρ τάδε φησίν· ἀγαθὸς ἀνὴρ ὃς φυλάσσει τὴν ὀρθὴν δόξαν τὴν ἐκ παιδόθεν ἐγγινομένην αὐτῷ καὶ μὴ ἐκστῇ ταύτης, καὶ καθεξῆς τὰ ἄπερ ἄνωθεν εἴρηκα, τὰ λύπης δηλαδή, τὰ φόβου καὶ τὰ λοιπά. τοίνυν οὖν σὺ ἐν πᾶσιν ἔχων τὸ ἀκεραιότατον καὶ | μηδενὸς f. 103v
μέρους λόγου λειπόμενος, ἀλλὰ παντοίως κατωχυρωμένος καθεστηκώς, στηρίζειν ἐπιχειρεῖς τὴν ἐμὴν ψυχὴν τῷ παθήματι σεισθεῖσαν καὶ περιτραπεῖσαν· ἐγὼ δὲ τὴν ἀγάπην οὐκ ἀντιταλαντεύω χρυσίου φθειρομένου τιμῇ, ἀλλὰ ψυχῆς εἰλικρινότητι καὶ νοὸς ἀγαθότητι καὶ καρδιακῇ ζέσει ἐξ ἀγάπης καὶ προθυμίας· διότι τοῖς μὲν ἀφθάρτοις ἑπομένοις πεισθήσονται τὰ φθειρόμενα, τοῖς δὲ φθαρτοῖς οὐκ ἀντιστρέψουσι τὴν δόξαν τὰ ἄφθαρτα. διὰ τοῦτο τὴν ἀγάπην, ἣν ἐξ ἡμῶν ἔχεις βεβαιούμενος ἄρτι διὰ τῆσδε τῆς λυπηρᾶς ἡμετέρας ἐπιστολῆς, γνοίης, γε ἂν ὅτι καὶ τὰ τῆς ὕλης ἡμέτερα πράγματα ἑλκύσεις ἐξ ἡμῶν ἐν καιρῷ.

Ἡμεῖς δὲ τὴν τρίπυλον Θήβαν καταλιπόντες τὴν θρυλλουμένην Τροίαν καταλαμβάνομεν, ἔργα ὀψόμενοι ἡρωοκλεῶν ἀνδρῶν, καὶ τῆς Ὁμηρικῆς μνημονεύσαντες Μούσης, εἰ μὴ καὶ τοῦτο λύπην φέρει, μνήμην ἐπεγείρον παθήματος, οὗπερ καθέστηκα θρηνητής. ὀψόμεθα δὲ ἐν ὀλίγῳ καὶ τὸν Ἑλλήσποντον, μνήμης τοῦ ἡμετέρου ἀναμμνησκόμενοι χωρισμοῦ. ὅσοις ἀγαθοῖς ἦμεν πέπλουτισμένοι οἱ τάλανες τῇ <συνου>σίᾳ ὑμῶν, καὶ οἷον ἄχθος νυνὶ φέρομεν λύπης. | ὄντως f. 104r
οὐδὲν τούτοις κοινόν. ἀλλὰ σὺ μὲν τὰ τοῦ Παύλου βοᾷς· ἐγὼ δὲ πάντων ἁγίων τῶν λόγων μνησθεὶς τῶν λεγόντων διδασκαλεῖον εἶναι τὸν κόσμον τοῦτον πρὸς παιδαγωγίαν καὶ πρᾶξιν ἀρετῆς καὶ

12 sqq. cfr. Plat. Rep. IV p. 429 c — 430 b. || 16. *τοίν οὖν* F. || 27. *ἡρῶκλεων* F. || 28. immo *μνημονεύσοντες*? || 32. *τη***σία* (lacuna 4. 5 litterarum nulla rasura) F: possis et <*παρου*> supplere. || 33. cfr. Paul. ad Rom. XIV, 14.

κατόρθωσιν, θρηνῶ ἀκατάπαυστα, ὡς τῆς ἀγαθῆς μὴ εὐμοιρήσας ταύτης παιδείας καὶ ἀρετῆς· διότι τῷ τῆς ἐμῆς ψυχῆς χωρισμῷ ἐχωρίσθην καὶ τῆς σωτηρίας μου, ὄντως τοῦτο θρηνῶ. διὸ τίς ἀσθενεῖ, καὶ οὐκ ἀσθενῶ; ἢ τίς πάσχει, καὶ οὐκ ἐγὼ πάσχω κατὰ ψυχήν; ταῦτα ἔτι πονῶ, ταῦτα κλαίω, ταῦτα θρηνῶ. ἡ χάρις δὲ τοῦ Χριστοῦ τὰ παρὰ ἀνθρώποις ἀδύνατα ἐν ἐμοὶ ἐργάσαιτο δυνατά, καὶ σὲ θεάσασθαι παρέξοι μοι τάχιστα.

Ἔστω σοι δὲ γνωστὸν ὅτι διὰ τὸ θέλημα τοῦ αὐθέντου μου τοῦ βασιλέως καὶ ἐκ τοῦ Νυμφαίου ἐξῆλθον καὶ ἤλλαξα καὶ ἐκρεοφάγησα καὶ τῷ αὐτοῦ θελήματι παντοίως ἐγενόμην πειθήνιος. γνωσθήτω δὲ ἡμῖν παρὰ σοῦ, εἰ ἔδοξε ταῦτα τῷ ὑπερέχοντι ἀρεστά τε καὶ ποθεινά.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Μετὰ τῶν ἄλλων πάσχομεν καὶ τὸ μέγα, τὴν σὴν στέρησιν, καὶ κατ' ἐπίτασιν, ὅτι καὶ σὺ ὁ αὐτὸς πάσχεις αὐτήν. εἰ δὲ καὶ τὰ μετὰ ταύτην καὶ σὺ | πάσχεις, οὐκ οἶδα· πείθομαι δὲ ὅτι, εἴπερ ἔγνως, ἔπαθες ἄν· ταὐτοπάθεια γὰρ ἐν ἡμῖν ἐστιν ἑκατέρων τὸ πάθος· ἐπεὶ καὶ ἡ τύχη, ὡς οἶμαι, κοινῶς φθονήσασα ἡμᾶς ἐτιμώρησε καὶ τιμωρίαν ψυχῆς καὶ σώματος, τὴν τῶν ἡμετέρων στέρησιν. ἀπολώλαμεν διὰ ταῦτα, ἀπολώλαμεν. καὶ εἴ τις θελήσει παρηγορῆσαι, μᾶλλον λυπεῖ καὶ ὁ λυπῶν ἐπιτείνει τὸ σύμβαμα. τί τὸ τέλος λοιπόν; οὐδὲν ἄλλο, ἢ θανάτου τομή. τὰ δ' ἄλλα καλῶς καὶ προσφυῶς πράττομεν διὰ τῆς ἀγάπης σου. XII (LX) f. 104v

---

XII Argumentum. '*Absentia tua cumulus accessit doloribus meis, qui cum maximi sint, mortem unam iam spem ostendunt*'.

Exstat haec epistula etiam in cod. V. f. 114r || 2. κατεπίτασιν F. || 4. γάρ ἐστιν ἐν ἡμῖν V. || 7. εἴ τις F; οὔτις V. παραγορῆσαι F. || 7 sq. μᾶλλον–λοιπόν om. V. || 9. num πράττωμεν? || 14. τομή F; τιμή V.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XIII. (LXI) Ἐπαινῶ πάλιν σου τὴν ἀγχίνοιαν, καὶ τὸ τῆς διανοίας σου δραστικόν, ὦ ἐμοὶ ποθητὴ κεφαλή, θαυμάζω τὰ πάμπολλα, ὅτι μὲν καὶ τὴν βασιλικὴν πρόσταξιν δύνασαι ἐκπληροῦν, ὅτι δὲ καὶ πρὸς τὴν ἐμὴν διάνοιαν τὸ σὸν ἐπιστημονικὸν δεῖξαι ἠθέλησας· καὶ γὰρ οὐκ ἂν ἄλλως τοῦτο ἐποίησας, ἢ ὅτι τὸ πρός με τῆς σῆς ψυχῆς ἠθέλησας φανερῶσαι ἰδίωμα. διὰ τοῦτο καὶ τὴν ἐπιστημονικὴν μέθοδον τῇ κοσμικῇ οἰκονομίᾳ μίξας ὁ ἄριστος πάλιν πρὸς κυνηγεσίων ὁρμὰς ἀναγ-
f. 105r κάζεις με καὶ πρὸς | βαλανείων συνεχεστάτας ἀποπλύνσεις τε καὶ καθάρσεις. ἐγὼ δὲ πρότερον τῇ τῆς λύπης ὑγρότητι ξύμπασαν τὴν ψυχικὴν οὐσίαν ἀνατραπεὶς πλήμμυραν ἔχω λύπης πολλήν. διὰ τοῦτο τῇ τοῦ Ἱπποκράτους ῥήσει ἀντιστρόφως βαδίσαι βούλομαι, καὶ οὐ τὰ ἐναντία τῶν ἐναντίων ἰάματα λέξω πώποτε, ἀλλ' ὅτι τὰ ἐναντία τῶν ἐναντίων εἰσὶ φθαρτικά· ἐπεὶ καὶ τῇ τῆς λύπης ὑγρότητι ἡ τοῦ βαλανείου ὑγρότης πόρρω ἐστί, καὶ τῇ εὐθυμίᾳ τῶν ὠκυβολούντων ἡ τῶν ῥᾳθυμούντων ναρκῶσα βάδισις, καὶ πάντων τῶν ἀπροσφυῶς τῇ φύσει ἐχόντων ἡ ταὐτότης καὶ ξύρροια. τῷ τοι καὶ ἡμεῖς ταῦτα πάντα θέμιδι διακρίσεως ταλαντεύσαντες ἕλκομεν τὸν χρυσόν, ἀπορρίπτοντες τὸν χαλκόν, δηλονότι τὴν κατὰ ψυχικὴν καὶ νοερὰν ἐμπορίαν διατριβήν, καὶ ἀπορριπτομεν τὸ ταύτης ἀνόμοιον. ὅσον καὶ γὰρ ὁ χρυσοῦς ἀνδριὰς τοῦ ζοφώδους χαλκοῦ ὑψηλότερος, τοσοῦτον καὶ τὰ τῆς μετανοίας καὶ ἀποχῆς τῶν κοσμικῶν τυρβασμάτων. βαλανεῖον ἐστὶ τοῦ καθ' ἑκάστην δίδραγμα τελοῦντος πρὸς τοὺς ἄρχοντας τοῦ πανσόφου
f. 105v χρυσοῦ· χρυσὸς γάρ ἐστι | λόγου περιουσία, ἀρετῆς ποδηγός, ἀνδρείας κατὰ παθῶν σύμμαχος, εὐταξίας σεμνότης, ὀλβίωσις ἀγαθῶν, περιωνυμίας διαπρύσιον καύχημα, κλίμαξ πρὸς οὐρανόν, ἀυλίας δραστικώτατος συνεργός, κῆρυξ ἐπαίνου Στέντορος μεγαλοφωνότερος καὶ πάντων τῶν ἀγαθῶν τέλος τε καὶ πηγή. τίς ἄρα ἐκ ταύτης ἀντλήσει τὰ

---

10. πολλὴν corr. ex πολλῆς F. || 18. ψυχικὴν in erasis et ἐμπορίας comp. F. || 19. excidit ἕλκομεν post διατριβήν? || 22. immo δίδραχμα. || 26. στέντορος F.

XIII Argumentum. *'Quod tibi salus mea curae est, tibi gratias ago. Non tamen quae corpus iuvant eadem animi aegritudines levant. Aliis igitur remediis quam quae suades utendum est.*

σωτήρια νάματα καὶ τῇ ἐκ τούτων ὑγρότητι εὐκρασίαν τῇ ψυχικῇ οὐσίᾳ ἐνθεὶς εὐκράτως ζήσει κατ' ἀρετήν; οὗτος καὶ γάρ, ὡς οἶμαι, τῇ τετραχῇ ἐνεργείᾳ τοῦ βαλανείου ἀλλοιωθείς, καὶ ὥσπερ ἅρματι ἐπικαθίσας αὐτῆς, ἐλευθέρως βαδίσει πρὸς τὸν Χριστόν, ἐκ χρυσοῦ πανσόφως τὰς ἀφορμὰς εἰσδεχθείς· ὃς δὴ καὶ τὸν Βελίαρ ὥσπερ θήραμα, δηλονότι τὸν τοῦ χρυσοῦ συναγωγέα, ἀνδραποδίσας, πώτατόν γε ὄντα τῇ λιπάνσει τῶν χειρῶν, πρὸς τὸν τῆς ἀρετῆς πατέρα Χριστὸν προσάξει τοῦτον, ὡς πρὶν τῷ Ἰσαὰκ ὁ Ἰακὼβ προσέφερεν· ἔνθεν τοι καὶ τὴν εὐλογίαν καρπώσεται μολυβδίνῃ βούλλῃ κατέχων διὰ πρακτικοῦ εἰς ἀσφάλειαν. ἐγὼ δὲ πρὸς ταῦτα ἔχων ἀπροσφυῶς οὐ δέξομαι τὴν προσείδησιν, ἀλλὰ προνοήσω μου τοῦ συμφέροντος ὡς πρυτανεύσει μοι ὁ Χριστός.

τοῦ αὐτοῦ

XIV. (LXII)

Τῶν πρόσθεν λόγων, ὦ φίλε, καὶ ἡ νῦν γραφή σου ἐξέχεται· τοῖς πρόσθεν ἐγγράφοις ῥήμασιν ἐξωμοιώθησαν, καὶ τὰ νῦν τὰ ἄπερ εἰρηκας πρότριτα ἐγγράφως ἄρτι βεβαιοῖς δι' ἐπιστολῶν. οὐκ οἶδα δὲ εἴτε παίζεις, εἴτε σπουδάζεις· ἐγὼ γὰρ καὶ ἃ γέγραφας καὶ ἃ νῦν ἔγραψας καὶ ἅπερ γράψειας οὐ δέχομαι ὡς ληρήματα, ἀλλὰ καὶ μᾶλλον ὥσπερ φιλοσοφίας τινὰ ἄριστα ἀξιώματα· τοῦτο δὲ μᾶλλον σόν, ἢ τὸ τῆς ἐμῆς διακρίσεως εὐγενὲς ἀποτέλεσμα. ἐπαινῶ τὴν φιλοσοφίαν, ἐπαινῶ τὸν φιλόσοφον σέ, καὶ πάντα δσα μοι λογικὰ δωρήματα, ὦ φιλούμενε, ἀπεχάρισας ἀντιστρέφω τῷ φιλουμένῳ σοί· ὅπερ οὐδὲν ἐμὸν ἀπέκρυψα διανόημα· ἀλλὰ πάντα τὰ σά τε καὶ τὰ ἐμὰ ἑνώσει τῇ φιλικῇ ἀνακράσας ἔδειξα τὰ σὰ ὡς ἐμὰ καὶ τὰ ἐμὰ ὥσπερ σά· οὐ χρυσὸν οὔτε ἄργυρον, οὐ λίθους τιμίους, οὐχ ὑπηρετῶν συνασπισμόν, οὐ τρυφῆς χαύνωσιν, οὐκ ἐσθῆτα περικαλλῆ, οὐχ ἵππον εὐήθως βαδίζοντα, οὐ ψυχρὸν πόμα, οὐ τροφὴν εὐφραντήν σοι δέδωκα· οὔτε μήν τινος, ὃ μετείληχεν ὕλης, σοὶ τῷ φιλουμένῳ μετέδωκα· ἀλλ' ὅλην

---

32 sq. Cfr. Paul. Cor. II 6, 15.

XIV Argumentum. '*Quae a me accepisti non est cur laudes ac mireris; sunt enim omnia mea iure tua. Ad Hellespontum simul nos adventuros spero*'.

Tit. in summo mg. alia manu, ut vid.: cfr. ep. LXVI. ‖ 5 sq. μαλλον, μαλλ' (sic) F.

ψυχήν, ὅλον νοῦν καὶ τὸ τούτοις ἀναγκαῖον σῶμα ἑπόμενον, ταῦτά σοι
f. 106v δέδωκα· ἐπεὶ δὲ ταῦτα, | ἑπομένως καὶ πάντα τὰ ὑλικὰ τῷ κυριωτέρῳ καὶ ὑλικῷ παρεπομένως ἀκολουθήσουσιν. ἐπειδὴ καὶ Σολομὼν ὁ σοφώτατος σοφίαν ζητήσας παρὰ Θεοῦ, αὐτὴν μὲν εὗρε, πάντα δὲ τὰ δοῦλα αὐτῆς, ὥσπερ ὁμωαὶ τῇ δεσποίνῃ, συνηκολούθησαν. κατὰ ταὐτὸ γοῦν καὶ σὺ τὴν ἐμὴν ψυχὴν ἔχων σοί, πάντα τὰ ἐμὰ γεγόνασι σά. ἐπιτέρπου τούτοις ὁ ποθητός, ἀγάλλου τοῖς ἐμοῖς ὥσπερ σοῖς, καὶ πάντα ἔχε μετ' ἐμοῦ ὡς κοινά. εἰ δὲ καὶ τὸν Ἐλλήσποντον λάβωμεν ὡς κοινόν, δόξαν τῷ Χριστῷ ἀναπέμψωμεν τῷ ἡμᾶς παντοίως ἑνώσαντι.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XV. (LXIII) Ἀμέσως οὐδείς τι ἑώρακε πώποτε. ἐπειδὴ γοῦν καὶ ἐμὲ οὐ δύναταί τις ὁρᾶν, εἰ μὴ διὰ τῆς ἐμῆς τῆς πρὸς τὸ ἀγαθὸν ἐντελεχείας [πληρώματος], διὰ τοῦτο ταύτην ἐντελεχῶς πρὸς τοὺς τὴν ἐμὴν ἀγάπην ἔχοντας ἐξαπέστειλα· ἐπεὶ δὲ ταύτην ἐξ ἐμοῦ ἐξεπόρευσα, πρὸς στεγανὸν σῶμα ἀπέτεινα, ἵνα διὰ τῆς τοῦ στεγανοῦ σώματος στερεμνίου ἀγάπης παλιννοστήσῃ πρὸς ἐμὲ τὸ ἀκοντισθέν, καὶ τὴν διάστασιν αὕτη καταπυκνώσασα καὶ τὸ τοῦ ἀέρος ἀραιόν (τὸ μὲν διὰ τὴν διά-
f. 107r στασιν, τὸ δὲ διὰ τὴν χρονικὴν ἀποδιάστασιν), ἐξ ἐμοῦ ἔχουσα | τὴν ἰσχύν, συνενώσασα ἄξῃ πρός με ἡ ἐντελεστάτη τοὺς ἐντελεῖς, καὶ οὕτω τούτου πραχθέντος κινηθῇ ὁ λόγος εἰς παντελῆ ἐντελέχειαν. τὰ γὰρ ὅμοια συρρεύσαντα καὶ ἀνακραθέντα διὰ τελειοποιήσεως ἀδιάρρηκτα μένουσι. τί γοῦν γενήσεται; ῥοῦς θαλάσσης τοῦτο παρεμποδίσει; βίαιον πνεῦμα ταύτην τὴν ἀγαθὴν ὁλομελῆ συνάφειαν ἀποκόψει; οὐ μὲν οὖν. ἀλλ' αὐτὴ διὰ τῆς πρώην ἐντελεχείας λαβοῦσα τὴν ἕνωσιν εἰς αἰῶνα μενεῖ Χριστοῦ χάριτι ἀδιάρρηκτος. ταῦτα γράφω τῷ φιλουμένῳ. Χριστὸς γὰρ εἰρηκεν· 'ὅπου εἰσὶ δύο ἢ τρεῖς συνηγ-

16. malim ἀναγκαίως || 18 cfr. Reg. III, 8, 6-13.

XV Argumentum. *' Quem ad te mitto, is est mihi in primis carissimus, idemque efficiet ut et te brevi amplecti possim '.*

3. πληρώματος delevi. || 4. ἐξἀπέστειλα F. || 16 sqq. Ev. Matth. XVIII, 20.

μένοι ἐν τῷ ἐμῷ ὀνόματι, ἐκεῖ εἰμὶ ἐν μέσῳ αὐτῶν' ὅθεν κἀγὼ ἐνώπιον τῶν σοὶ ποθουμένων φοιτητῶν ἐγχαράττων σοι τὴν ἐπιστολήν, οὐκ ἄλλο δοξάζω τι, ἢ ὅτι καὶ σὺ μεθ' ἡμῶν ὑπάρχεις· ὡσαύτως καὶ κατ' ἀντιστροφήν, τοῦ ἐμοῦ παντοίως καὶ σοῦ τοῦ ἐμοῦ τῇ ἐμῇ θελήσει συνενωθέντων, οὐδὲν ἄλλο λέξω, ἢ ὅτι μέσον ὑμῶν καὶ ἐγὼ καθέστηκα. ἀντιστραφήτω γοῦν ὁ ἐμὸς μικρὸν βαδίζων ἔμπροσθεν τοῦ ἐμοῦ, ἀχθήτω καὶ ἡ χαρά, ἀφανισθήτω ἡ ἀπουσία, εἰσελθέτω τὸ ἀληθές, λυθήτω τὸ παραπέτασμα, εὔηχον ἦχον ἠχησάτωσαν σάλπιγγες, ἡ ᾠδὴ ἐξηχείσθω, ἡ | συμφωνία ἐπιτεινέσθω, αἱ χεῖρες f. 107v κροτείτωσαν, τὸ τῆς χαρᾶς ἐννάλιον ᾠδὴν πεμπέτω ἑνώσεως, καὶ πάντα τὰ ἡμῶν ἑνωθήτωσαν, ἐπειδὴ τὸν ἐμὸν σύνδεσμον ἡμᾶς συνενῶσαι εἰς φιλικὴν ἀνάκρασιν ἐξαπέστειλα.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XVI. (LXIV)

Ἡμεῖς μὲν ἐκ τοῦ εἰπεῖν σε ὅτι δεῖται ὁ συλλογισμὸς οὗτος κατηγορικοῦ συλλογισμοῦ εἰς κατασκευήν, καὶ αὖθις ὑποθετικὸν αὐτὸν ἐνομίσαμεν. ὅτι δὲ ἐνδεχομένως βαδίζει, εἴτε προείπομεν, εἴτε ἐκ σοῦ δεδιδάγμεθα, τοῦτο καὶ πάλιν στέργομεν· ὅτι δὲ τὰς προτάσεις οὐ κέκρικας ὡσαύτως καὶ τὸ συμπέρασμα, τεθαυμάκαμεν, εἰδότες ὅτι ἃ αἰτοῦμεν οὐκ ἐπέχεις πώποτε καὶ ὅτι, εἰ ὑποθετικός ἐστιν ὁ συλλογισμός, ἐξ ἀνάγκης προτάσεων δεῖται καὶ συμπεράσματος· αἰτοῦμεν ἄρα καὶ αὖθις διὰ τοῦτο χωρισθῆναι παρὰ σοῦ τὰς προτάσεις καὶ τὸ συμπέρασμα, ὡς ὄντος τῶν ἀγαθῶν γνώμονος· καὶ οὕτως παρὰ σοῦ διδαχθέντες τὸ ἀληθές, στέρξομεν, κἂν ὁποίας μοίρας καὶ εἴη.

XVI Argumentum. '*Quae ad me de syllogismo scripsisti dubitationem mihi rursus attulerunt; rogo te igitur, ut sententiam tuam apertius explicare velis*'.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XVII. (LXV) f. 108r

Οὔτε πηγὴ ἄφθονος ἀντλουμένη παλινδρομήσει, εἰ ἐκ τῶν ἀντλούντων καὶ συντηρούντων ταύτην | ἀντλεῖται, οὔτε ὁ ἐμὸς νοῦς κενὸς μείνειε πρὸς σὲ κατακρουνίζων τὰ ἐνθυμήματα, ἅπερ οὔτε παρίδοξα, οὔτε πόρρω λόγου καὶ φύσεως. εἰ δὲ καὶ πηγὴ ἄτερ λόγου, φύσει δὲ μόνον τοῦτο ποιεῖ, οὐκ ἐξέτασιν ἀποδείξεως ἐπιδεχθείη περὶ τούτου ἄν ποτε νοῦς, καὶ μάλιστα εἰς ὃν καὶ ἐξ οὗ ἤντλησε μὲν πολλὰ καθαρότητος νάματα, τεθάρρηκε δὲ λίαν εἰκότως καὶ προσφυῶς. διὸ τὸ μὲν ῥεῦμα τοῦ λόγου ἐκκέχυται, ὁ δὲ δεχόμενος τοῦτο κρατὴρ φιλίας πλήρης καὶ χάριτος, καλοκἀγαθίας μεστὸς καὶ ἀρετῆς ὄντως ἔμπλεως. διὰ ταῦτα τοιοῦτον καὶ τοσοῦτον ἔχει τὸ ἐνεργεῖν καὶ τὸ ὁρᾶν, ὥστε καὶ τὰ πόρρω πολλῶν ὀρέων πρὸς αὐτὸν ἕλκειν ὡς συγγενῆ καὶ οἰκεῖα. τὸ γὰρ φύσει συνάγεται πρὸς τὸ φύσει, καὶ τὸ συγγενὲς πρὸς τὸ συγγενές· τὸ δ' ἀσυμφυὲς καὶ ἀξύμβατον διακεχώρισται ἐκ τῶν φυσικῶν φύσεως φιλοτιμίᾳ καὶ λόγου ἐπιστήμης ἐπιστασίᾳ. ταῦτα λέγομεν πρὸς σὲ τὸν καὶ νοῦ καὶ σοφίας πηγήν, καὶ προσάγομεν ἐκ τῶν σῶν ναμάτων δι' ὧν καλλίστως ἡμᾶς κατήρδευσας, εἰ τέως καὶ εἰλικρινῆ φυλάσσομεν ταῦτα θολότητος. τὰ δ' ἄλλα τῇ σῇ ἐπιστασίᾳ καὶ γνώμῃ κριθήσονται, εἰς ἃ καὶ στέρξομεν καὶ συνδράμωμεν ὡσαύτως καὶ μείνωμεν.

τοῦ αὐτοῦ

f. 106v **XVIII.** (LXVI)

Ἐρωτῶντας οὔποτ' ἄν τις ἡμᾶς μέμψηται, μανθάνοντας δὲ οἱ εὖ φρονοῦντες θαυμάσουσι; δίκαιον δὲ διὰ ταῦτα ἡγούμεθα ἐκ τοῦ ἐπι-

---

XVII Argumentum. ' *Velut fons aquarum perennis numquam tua doctrina exhaurietur, unde ego omnia quae ad animum excolendum et erudiendum faciunt semper et sumpsi et sumam* '.

6. immo ἐξ οὗ καὶ εἰς ὃν: sed scriptoris ipsius artificium subolere possit. || 15. νοῦ scripsi: νοῦν F. || 18. μείνομεν F.

XVIII Argumentum. ' *Rogo te ut quaestiones quasdam arithmeticas de quibus incertus sum, tua sapientia solvas* '. Falso huc illatam inter epistulas ad Nicephorum missas hanc quoque comprehendendam esse suspicor: cfr. ep. LXII.

στήμονος ἐκμανθάνειν ὡς ἂν ἐν πολλαπλασιεπιμορίων καὶ ἡμεῖς ἀριθμῶν σχήμασιν ἔξομέν τινα σχηματισμὸν πρὸς αὐτόν, εὖ καὶ σφόδρα εὐμοιρήσοντες τοῦ αἰτηθησομένου. τοῦτο δ' ἐστὶ τὸ ἐρωτώμενον ἤδη· τίς ἡ ἀριθμητικὴ μεσότης; τίς ἡ γεωμετρικὴ μεσότης; τίς ἡ ἁρμονικὴ μεσότης, καὶ τίς ὑπεναντία τῇ ἁρμονικῇ; μὴ γοῦν καὶ σύ, ὦ πάντων ἄλλων ὑπερκείμενε φιλοσοφίᾳ, ἐναντίως βαδίσῃς τῷ αἰτήματι καὶ ἀσπάσῃ τὴν σιωπήν, ἀλλὰ προσφυῶς ἁρμοσον· καὶ ἅσον ἐκ καλλιμελφθόγγου σου γλώττης ἐντελεῖς φθόγγους μουσικώτερον ἅσοντας καὶ τὸ ζητούμενον λύσοντας. εἰ δὲ εἰς ταῦτα δεήσει καιροῦ καὶ σκέψεως, τὸ πολλαπλασιεπαμόριον ἀριθμητικὸν τὰ νῦν λῦσον θεώρημα, καὶ πῶς εἰρήκαμεν ἄνωθεν ὅτι ἐν τοιούτῳ ἰδιώματι ἀριθμῶν συσχηματισθῆναι ἡμᾶς πρὸς σὲ καθ' ἕνωσιν· σὺ γοῦν ὁ μέγας εἰς τὰ μαθηματικὰ ἀξιώματα λῦσον αὐτά, καὶ μὴ ἐάσῃς ἀντιστραφῆναι ἡμᾶς κενοὺς τοὺς μικρὰ γνώσεως ὑδρίδια ἔχοντας. εἰ δ' ἴσως | καὶ ποιήσεις f. 109r
αὐτό, ἐθέλοντί σε πάντες ποιῆσαι τοῦτο πιστεύσουσιν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XIX. (LXVII)

Λύπη τιτρώσκει, ἐλπὶς δὲ θαρρύνει· τὸ εὔλογον παραπέμπει, τὸ γνήσιον ἕλκει τὸν φίλον φίλον ἰδεῖν. οὐ ψεύδεται ὁ λαλῶν, ἀναγκάζεται δὲ ταῖς οἰκονομίαις· πότερον καὶ ὁ ποθούμενος οὐκ ἀναγκασθῇ, ἵνα κἂν παρὰ τόπον θεάσηται τὸν ποθούμενον; καὶ λίαν εἰκότως οἶμαι τοῦτο ποιήσει· ἐπειδὴ καὶ τὸ διάστημα ἀμυδρόν, καὶ ὁ φίλος τῶν ἀσυγκρίτων, καὶ τὸ ἔργον θεοφιλές· οὐδὲν γὰρ ἄλλο Θεὸς πεφίληκεν ὡς λόγον καὶ τοὺς ἀσπαζομένους αὐτόν.

---

3. ὡς] malim πῶς, cfr. 13. || 13. scripserim καὶ ὅ τι εἰρήκαμεν ἄνωθεν πῶς ἐν κτέ. scil. δυνηθείημεν ἄν, vel tale quid.

XIX Argumentum. *' Magna spe teneor te ad me brevi venturum; quod et amicitia et studiorum societas et Dei amor suadet '.*

Exstat haec epistula etiam in cod. V. f. 114r || 2. φίλον δὲ φίλον V. || 3. δὲ F; γὰρ V. πότερον F; πρότερον V.

τοῦ αὐτοῦ πρὸς ***

XX. (LXVIII) Δέχου καὶ τὸν δεύτερον τοῦ προτέρου ὁ πρῶτος κατὰ τὸν ἐμόν γε λόγον εἰς ἅπαντας. συντρέχει γὰρ πρὸς τούτοις καὶ τρίτος· ὅπου δ' εἰσὶν οἱ τρεῖς συνηγμένοι λόγοι, ἐκεῖ καὶ ἡ δυὰς τῆς φιλίας ἐστίν· ὅπου δ' ἡμεῖς τε καὶ οὗτοι, ἐκεῖ καὶ ἡ φιλοσοφία ἐστὶ χορηγουμένη παρὰ τῆς Αὐτοσοφίας εἰς τοὺς δούλους ταύτης ἡμᾶς, κἂν οἱ μὴ σοφοὶ ἀπαρέσκωνται· τὰ δὲ μὴ σοφίας οὐκ οἶδα τίνι ἀρέσκουσιν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν

XXI. (LXIX) f. 60r Φιλόσοφον γράμμα παιδείας μεστὸν ἡ ἀρχὴ | τοῦ φωσφόρου μοι ἔφερεν ἐνασχολούμενον εὑρόν με τοῖς φιλοσόφοις· ἐπεὶ δὲ καιρῷ ἀφίκετο, συνεμάχησεν. ἀρίστως γὰρ ὁ πόθος τοῦτο καθώπλισεν. ἐξ ἀρίστου δὲ καὶ φίλου ὂν καὶ εἰς φίλον ἄριστον, ἀριστόν τε καὶ φίλον, ἀρίστην μοι καὶ τὴν εἰς τὸν σκοπὸν νίκην ἔφερε· χάρις διὰ ταῦτα τῷ γράψαντι, χάρις τοῖς τῆς φιλοσοφίας νοήμασι, χάρις τοῖς ταύτης μαιεύμασι, τῷ ἐμῷ χάρις Ἀκροπολίτῃ, χάρις ὑπὲρ ἅπασαν χάριν ἔστω Χριστῷ.

Τὰ δὲ τοῦ Φιλαδελφείας ὑπὲρ τοῦ Κουζηνὰ σπουδάσματα ἰστὸν ἀραχνιαῖον λογίζομαι· δν ἐμπόνως ὁ Σάρδεων ἐξυφήνατο νοημάτων οὐρανίων ἐπιβολαῖς.

XX Argumentum. ' *Accipe et hoc meum scriptum ex philosophiae studio ductum et tibi amice dicatum* '.

In titulo nihil supplevi: num ad Nicephorum?

XXI Argumentum. ' *Mane primo, cum essem studiis meis intentus, epistulam tuam omni doctrinae copia ornatam accepi; cuius subsidio vincere potui quae mihi obstabant; gratias igitur et tibi et Deo quam plurimas! — Quae callide contexuit Philadelphiae antistes, eadem Sardium antistes dissolvit* '.

Exstat haec epistula etiam in cod. V, f. 114r ‖ 2. εὑρόν scripsi: εὑρὼν F, εὗρον V. δὲ] num δ' ἐν? ceterum verba ἐπεὶ–ἀφίκετο ante ἐνασχολούμενον traiecerit aliquis. ‖ 6 sq. cfr. Plat. Theaet. p. 160 e. ‖ 9. κουζηνα F: κυζηνὰ V. ‖ 10. immo ἀραχναῖον? cfr. Apost. IX, 15 (= *Corp. Paroem.* II, 465). ἐξυφάνατο FV.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν.

XXII. (LXX)

Ἡ μὲν νὺξ πολλαχῶς λαμβάνεται, αὕτη συλλαμβάνει δὲ ἐν καιρῷ καὶ τίκτει τὰ πρόσφορα. ὃς δὲ οὐκ εὐκαίρως μετάσχῃ ἐκ τῶν αὐτῆς γεννημάτων, ἀλλ' ἀκαίρως διὰ τὴν ὀλιγοθυμίαν, ἐπάγει ἑαυτῷ βλάβην καὶ στέρησιν. τοῦτο γοῦν γνωστὸν γεγονὸς τῷ Κωίτῃ καὶ Μαυροειδεῖ ἐπέχειν τε τὰ γεννήματα τῆς νυκτὸς ἐβουλεύσαντο, ὅπως φίλον μὴ βλάψωσι, καὶ ἄλλως ἀκατάλληλοι ὄντες, πυρὶ καὶ ὕδατι δουλεύοντες, οὔποτ' ἂν τὰ ἐναντία ἰάματα φέρωσι | πειθαρχοῦντες τῷ ἐκ τῆς Κῷ. f. 110r
αὐτὰ γὰρ φθείροντα ἑαυτὰ πῶς ἄλλῳ προσάξουσι θεραπείαν; εἰ γοῦν εἰς τὴν δεξιωτάτην ταύτην βαδίσεις, ἑκατὸν πεντήκοντα τρεῖς λάβῃς στατῆρας ἐκ τῆς τοῦ πλουσίου τραπέζης (αἰνίγμασι ταῦτα ἐοίκασιν)· εἰ δὲ ἐκ τῶν τοῦ Κωίτου καὶ τοῦ Μαυροειδοῦς ἀπολαύσεις γερῶν, ψυχρανθῇ μὲν καὶ ἡδυνθῇ ὁ λάρυγξ σου πρὸς μικρόν, ὀδυνηθῇς δὲ μετὰ μικρὸν ἐν τῇ φλογὶ ταύτῃ, ἣν οὐ κωλύει τοῦ διελθεῖν ἡ ἁβρά σου σκηνή. μεταξὺ τούτων χάσμα μέγα ἐστήρικται, ἢ πέπηκται, ἢ γέγονεν, ὃ καὶ ἀκμάζει ὡς ὑπειλήφαμεν, ὅπως ἡ διὰ Κωίτου καὶ Μαυροειδοῦς ἰσχὺς πρὸς ἡμᾶς μὴ διέρχηται, οὐδὲ ἡ ὑμετέρα ἀσθένεια πρὸς τὴν αὐτῶν διαπερᾷ πλουσιότητα. ἀλλὰ δεύτερον πέμψον Λάζαρον κάλλιστον, ὅπως τὸν τοῦ Τεσσαρακονταπήχεως ἐπισκέψηται οἶκον ἐνταῦθα ὄντα· ἔχει γὰρ ἑτέρους τρεῖς Ἀμνσέλην καὶ Καταρόδωνα καὶ Κηφῆν ἀδελφούς, ὅπως διαμαρτύρηται αὐτοῖς, ἵνα μὴ παρακαμπανίζωσι τὰ τιμήεντα. ταῦτα δὲ καὶ Λουκᾶς εἴρηκε· συνάδει δὲ τούτῳ καὶ ὁ νῦν πρῶτος βροτολοιγὸς Ἀλεξανδρηνὴν ἔχων τὴν προτροπὴν διὰ τὸν Κύριλλον | τοῦ δὶς τριακοστοῦ ἀρθέντος ἀριθμοῦ, εἰ μὴ καὶ f. 110v
αὐτὸς ὁ Ἁγιοθεοδωρίτης ἀπατηθῇ διὰ τὸ δεινόν. ἐστάλησαν δὲ καὶ τὰ ζητηθέντα, οὐκ ἐκ τοῦ Κωίτου καὶ Μαυροειδοῦς, ἀλλ' ἐκ τοῦ

XXII Argumentum. ' *Medicorum ineptias ridentes mittimus ad te cibos quibus te reficias* '.

1 sq. ἐν καιρῷ post καὶ traiecerim. || 2. ἐκ delendum? || 9. non intellego; num εἰς τὴν δεξιότητα (= δεξίωσιν)? sc. ' ad hunc virum excipiendum '; cfr. epistulam LXXI, 3–8.

βουτύρου καὶ ὀξυγαλατᾶ, ἵνα ἡ τῶν προσώπων καὶ τῶν ὀνομάτων ἐναλλαγὴ φανῶσιν ἡδύτερα. μεταβολὴ γὰρ πάντων ἡδύ. ἃ δὲ νὺξ συνέλαβε, γεννήσει ἐν τῷ φωτὶ θελήσει καὶ τοῦ ὑπερφώτου Φωτός.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXIII. (LXXI) Πρωΐας δὲ ἤδη γεγονυίας μελλόντων ἀγρεῦσαι τῶν ἀποστόλων, ἐπειδὴ καὶ ὁ τὴν ἄγραν δώσων ἔστη ἐν ἐκείνῳ τῷ πεδινῷ τόπῳ, οὐκ ἐφάνη τις τῶν φίλων αὐτοῦ. λέγει πρὸς τοὺς παρεστῶτας αὐτῷ· ‘βάλετε εἰς τὰ δεξιὰ μέρη τῆς ὁδοῦ τοὺς ὀφθαλμοὺς ὑμῶν καὶ κατασκοπεύσατε, εἰ ὁρᾶτέ τινα τῶν φίλων ἐμοῦ’. ἔβαλον οὖν, καὶ οὐκέτι ἰδεῖν ἢ ἑλκύσαι ἰσχυσαν· εἶλκε γὰρ ἅπαντας τὸ Μαγνίζον. λέγει αὐτοῖς ὁ διδάσκαλος· ‘τί ἄρα ἠγρεύσατε;’ λέγουσιν αὐτῷ· ‘ἑκατὸν πεντήκοντα τριῶν σταδίων δρόμον δραμὸν τὸ ὄμμα ἡμῶν κενὸν γέγονε καὶ ὀπισθεν νεύει μηδένα σου θεασάμενον φίλον’. λέγει αὐτοῖς· ‘δεῦτε ἀριστήσωμεν· ἡ γὰρ Μαγνησία ἕλκει αὐτούς’. οὐδεὶς δὲ ἐτόλμα | τῶν παρισταμένων αὐτῷ ἐρωτᾶν τί ταῦτά ἐστιν, εἰδότες ὅτι ὁ Κύριος τοῦτον ἐσόφισε· Κώνστας γοῦν, ὁ Ἁγιοθεοδωρίτης καὶ τοῦ Ἐφέσου γαμβρὸς***. ταῦτα εἰδὼς τὸν ἐπενδύτην τῆς ὑμέλλης διεζώσατο, ἦν γὰρ γυμνός, καὶ ἀνεχώρησεν εἰς τὴν Μουντοκώμην. οἱ δὲ Φάικες τῷ καλῷ ὑπελείφθησαν τόπῳ, οὐ γὰρ ἦσαν μακρόθεν ἐκ τῆς πεζάλας, ἀλλὰ πρὸ χρόνων πολλῶν αὐτὴν ἐκαρπώσαντο. ἔστι δὲ καὶ ἄλλα πολλά, ἅτινα, εἰ γραφῶσιν, οὐδὲ αὐτῇ τῇ ἐλαχίστῃ μου σκηνῇ χωρήσουσι, γραφῇ εἰ δοθῶσιν ὡς δεῖ, περὶ τῆς γούλας ἡμῶν, ἣν ἡ ἐν Μαγνησίᾳ ἐμπλήσει ἀμφοτέρων συνέλευσις.

f. 111r

XXIII Argumentum. ‘*Hominum, quos bene nosti, ridiculas res ad te scribo, ut et tu mecum rideas*’.

Exstat haec epistula etiam in cod. V, f. 114r. || 2. πεδηνῶ V. || 8. σταδίων F: σταρ·’ V: fort. στατήρων? cfr. ep. LXX, 10. δρόμον F: τρόμον V. || 9. ὀπισθε˜ F. θεασαμένου φίλου V. || 13. lacunam indicavi. || 15. immo πεδιάδος.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXIV. (LXXII)

Ἡ μὲν λύπη λελύπηκεν ἡμᾶς, ὦ φίλε, τὰ μάλιστα, προὐξένησε δὲ καρπὸν γνώσεως πλείονα. ἐκεῖνο γὰρ διὰ τὴν διάκρισιν, καὶ τὸ δεύτερον διὰ τὴν ἀρετήν, καὶ τὸ ὅλον ἐκ τοῦ παρατυχόντος. καταλλήλως γοῦν ἡμεῖς κεντρίσαντες τὸ κατάλληλον ἐδρεψάμεθα τοὺς καρπούς, καὶ τέλεον διηνοίχθησαν ἡμῶν οἱ ὀφθαλμοὶ καὶ εἴδομεν ἀποκεκρυμμένα ἀπὸ γενεῶν ἀρχαίων μυστηριώδη μυστήρια· ἃ μὲν οἱ ἄξιοι δέξονται, στερηθήσονται δὲ πάντες οἱ κατ' ἐμέ, τό γε κατὰ προαίρεσιν. ἡ γοῦν λύπη προσέφερε γνῶσιν, ἡ δὲ γνῶσις διαίρεσιν, αὕτη δὲ τὴν ἐνέργειαν, ἐκ ταύτης δὲ ἀκραιφνὴς γεγέννηται γνῶσις, | ἥτις f. 111v πρὸς χαρὰν τὸν τῆς λύπης ῥοῦν παρωχέτευσεν. ὁρᾷς, ὦ φίλε, πῶς καὶ λύπη χαρὰν προξενεῖ; καὶ μᾶλλον ὅταν πρὸς φιλοσοφίαν ἀναχθῇ τε καὶ γνῶσιν; ἀλλ' ἡμεῖς μὲν στέργομεν ταῦτα φιλοσοφοῦντες· οἷς δ' ἐστὶ κατὰ φύσιν ἡ κρίσις οὐκ οἶδα εἰ φανῶσι στερκτὰ καὶ τῶν λελυπηκότων οὐ φορτικά. ὁπόταν οὖν καὶ περὶ τοὺς Φάικας πλησιάσητε, σκόπησον ὁποίῳ τρόπῳ ἐποίησαν ὅπερ ἐποίησαν, καὶ ἡμῖν γνώρισον. ὁ Χριστὸς δὲ ἀξιώσοι με ἰδεῖν σε τάχιστα.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXV. (LXXIII)

Φίλη, ὦ φίλε, ἐξαιρέτως ἐστὶν ἡ ἀλήθεια· ἐπεὶ δὲ ἐκ Φιλαδελφείας πρὸς σὲ ἔρχεται, πόλεως φίλης τε καὶ ἀληθινῆς, εἰκότως αὐτὴν

XXIV Argumentum. *' Aegritudo me ad veri investigationem et ad doctrinam tulit; quod mirum videatur his qui non in philosophia versantur '.*

Exstat haec epistula etiam in cod. V, f. 114r ‖ 1. προὐξένισε F. ‖ 4. κεντριάσαντες ut vid. V (num κεντριώσαντες?). ‖ 5. οἱ ἡμῶν F. ‖ 6. μὲν οἱ] immo οἱ μέν. ‖ 8. διαίρεσιν F: διαίρειν V. ‖ 9. γεγέννηται F: γεγένηται V. ‖ 13. ἡ om. F. ‖ 16. τὰ τάχιστα F.

XXV Argumentum. *' Philadelphiam ingredientibus nobis perridicula pompa antistes vanissimus obviam processit. Cuius rei descriptionem accuratiorem ideo ad te mitto, ut ridendi causam habeas '.*

καταφίλησον· ἀληθῆ σοι προσάγει καὶ γὰρ τὰ τῆς ἤδη ἐκφράσεως. καὶ μή μου κατακυριεύσῃ τὸ σὸν ἐπιστατικὸν δέομαι καὶ παρῳδήσῃ μου τὰ λεγόμενα πρὸς τὸ ἀνόσιον· ἐπειδὴ καὶ τὸ τῆς εὐφραδείας λαρύγγισμα συνεργεῖ μοι καὶ καταβεβιασμένῃ ᾠδῇ τάχα ψοφοκροτεῖ τὰ τέλεον βρεφυλλίων ὄντα ληρήματα, οὗ καὶ ὁ ἦχος θροεῖ καὶ τὸ ἄσθμα δηλεεῖ καὶ ἡ διομίλησις κακῶς ἐν κακίᾳ θανατοῖ τοὺς διωμιλημένους αὐτῷ. ἔστι δὲ τοιαῦτα τὰ τῆς ἱστορίας καὶ τῆς ἐκφράσεως.

f. 112r εἰσερχομένων | ἡμῶν τῇ τοῦ Φιλαδέλφου πόλει ἀνήρ τις ἐπηρμένος ἐν ἡμιόνῳ ἐξήρχετο καὶ πλῆθος δοξομανίας ἢ τύφου μᾶλλον καὶ τυφῶνος, ὃ καὶ δίκαιον, εἵπετο αὐτῷ καὶ προείπετο, πομπαί τε πολλαί, αἳ καὶ θροῦν καὶ τάραχον ἤθροιζον, πάταγοί τε καὶ ἦχοι καὶ κυμβαλίσματα, ἅτινα τὸ τῆς εὐφραδείας αὐτοῦ μελίρρυτον ὑπεισρέον κατήρδευε. καὶ τὸ βάδισμα ἦν κατ' ἦθος αὐτοῦ, καὶ περικύκλῳ εἶχεν ἱερὰν μυστοκαπηλίαν λίαν οὖσαν εὐφρόσυνον, ἀρεϊκούς τε πέπλους οἱ τούτου δορυφόροι ἐσκέποντο θωπεύοντες αὐτόν τε καὶ σαίνοντες. καὶ ἦν τραχὺς ὁ τῆς εὐφραδείας καὶ μάχιμος ὁ εἰρηνικός. τίς δὲ καὶ τὴν ἐμφιλόσοφον τούτου ἄχροιαν ἱστορήσει σοι καὶ τὸν εὔφημον λόγον καὶ τὸ σεμνὸν τοῦ βαδίσματος, τἆλλα δὲ πάντα οἷσπερ οἱ τῆς ἱερᾶς καταστάσεως προσεχόντως ἀνέρες ἐπικοσμοῦνται; εἶχε γὰρ ποικιλίαν πολλὴν περὶ τὸν ἵππον καὶ τὸν ἱππότην, θάτερος ἐπικοσμῶν ὁποτέρῳ τὸν ἕτερον, καὶ ἐβάδιζε πεφυσιωμένῳ φρονήματι, κἀνέστρεφε πρὸς γῆν τὰ νοήματα. καὶ ὅσον δὴ τὸν χῶρον ἐπλησιάζομεν τῆς

f. 112v ἑνώσεως, τοσοῦτον ὕψος ἐδίδου ταῖς ὀφρύσι· | καὶ ὅσον ἡ τῆς ἡμόνου ἔφερε ταχυτὴς αὐτόν, τοσοῦτον αὐτὸς ὀγκηρότερον ἔκραζε, καὶ ὅσον πρὸς τὸ καταπλήττειν ἐκραύγαζε, τοσοῦτον συνίστατο γέλωτα, καὶ ἐθαμβεῖτο τότε πλῆθος τῇ ὀθνείᾳ τούτου γλωσσοφωνίᾳ. ὡς εὐτυχὴς λοιπὸν τῷ βίῳ διὰ ταῦτα κἀγώ· ὡς εὐτυχὴς ὄντως τῶν θείων θεάμων· ὡς εὐτυχὴς ἐπόπτης τοιαύτης μεγαλειότητος. τρισάκις γοῦν διὰ ταῦτα ὡς εὐτυχής. εἰσελθόντων ἡμῶν δὲ τῇ πόλει, πάντες μὲν ὑπεχώρουν· ὁ δὲ καὶ τὴν αὖριον ὑπισχνεῖτο παίζειν τὰ περὶ τῶν αὐτῶν· ἡμεῖς δὲ τὸ 'ἡ γὰρ αὖριον μεριμνήσει τὰ ἑαυτῆς' εἰπόντες αὐτῷ, ἀπήλθομεν. τίς σοφὸς καὶ σκοπήσει ταῦτα καὶ ἀνάξει πρὸς τὸν

---

3. immo ἤδη τὰ τῆς ἐκφ. vel τὰ τῆς ἐκφ. ἤδη (num ἥδε?) || 8. δηλεεῖ (immo δηλεεῖται vel δηλεῖται) scripsi: δηλιεῖ F. || 13. πάτταγοί τε F. || 14. κυμβαλλίσματα F. || 26. ταχύτης F. || 27. συνίστατο scripsi: συνίστα τὸν F.

σκοπόν; τετέλεσται γοῦν ἤδη τὰ τῆς ἱστορίας καὶ τῆς ἐκφράσεως. σὺ δέ, ὦ φίλε, λίαν οἰδ' ὅτι παίζεις τὰ ἃ ὡς σπουδάσματα ἔπραττεν ἡ ὀφρύς· ἡμᾶς δὲ διεγερεῖς ὡσαύτως εἰς χαρμονήν, ἐκ τῶν οὐτιδανῶν ἡμῶν τουτωνὶ λόγων παρεισάξας τὰς ἀφορμάς. ἀρεστὰ καὶ γὰρ σοὶ πάντα τὰ ἐμὰ καὶ κρίνονται καὶ γινώσκονται.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXVI. (LXXIV)

Ἐμπόρευμα μὲν ἡδὺ τῶν τροφίμων τοῦ λόγου τὸ ἀκούειν καινόν, τῶν φιλούντων δ' ἐστὶ τὸ ἐφέλκειν διομίλησιν τὴν συνήθη. εἰσὶ δὲ κατ' ἄμφω καὶ τὰ ἄμφω | ἡδύτατα. ἡμῖν δὲ νυνὶ καὶ τὰ ἑκάτερα f. 113r κατεπείγονται, ὡς ὑπολαμβάνω, ἐμπορευθῆναι. ἡ γὰρ σὴ ἔλευσις ἄγει μοι τὸν συνήθη ἵνα δείξῃ τὸν συνήθη αὐτῷ. τοῦτο φιλίας· καὶ ἐπεὶ φιλίας, οὐδὲ καινόν· καὶ ἐπεὶ οὐ καινόν, ἄρα συνήθης ἐστί. καινὸν δὲ ἡ διάστασις, ἣν φήμη καινὴ λυθῆναι λέγει. τοῦτο καινὴ ἀκοή· εἰ δὲ καὶ καινή, ἡδυτάτη· εἰ δὲ καὶ ἡδυτάτη, παρακλητικὴ τῆς ὀρέξεως· τὸ δὲ παρακλητικὸν τῆς ὀρέξεως πάντως ἕλκει καὶ ἕλκεται. ἡ ἄρα τῆς ὑμῶν ἐνδημίας φήμη καινὴ ἕλκει πρὸς ἡμᾶς τὸν ἡμέτερον. οἰδας πῶς δεδίδαχας ἡμᾶς ὑφαίνειν τὸν λόγον; ναὶ ναί· καὶ λίαν δεδίδαχας καὶ διδάξεις, καὶ ἐς ἀεὶ τὴν ὡραιοτάτην ἀντιστροφὴν ἐκπαιδεύσεις. ὦ πλούτου σοφίας· καὶ πενίας τῶν μὴ πλουτούντων. τίς ἀναγγελεῖ κατὰ τὸν σοφώτατον Σολομῶντα γλυκύτητα μέλιτος; ἀπεστέρηνται οἱ πλείους, ἐκπεφυλλοφόρηνται· οὓς οἰκτιζόμεθα, παραλόγως βαίνοντας ὁρῶντες. ἡμεῖς δ' ὡς Ἑρμοῦ τέκνα, καθαρῳδοῦντες λιγέως ἅμα καὶ ᾄδοντες τῷ κορυφαίῳ Θεῷ τὸν ἐπῳδὸν ἀντιστρέψομεν, πρῶτον μὲν ἡδονῇ τῷ βίῳ τῷδε, ὦ φίλτατέ μοι, τρυφήσαντες, εἶτα καὶ τῆς ἐκείνου βασιλείας, διὰ σοφίας παιδεύσαντες | τὰς αἰσθήσεις, ἀξιω- f. 113r θῆναι εὔχομαι τοῦ τρυφᾶν, καὶ τοῦτο διὰ τὸν τούτου ἄμετρον ἔλεον, ὦ καλλίστη μοι κεφαλὴ καὶ φιλοσοφίας καὶ σοφίας ἀκρόπολις.

XXVI Argumentum. '*Summa laetitia afficior, postquam audivi te huc quam primum rediturum: Cuius beneficii Deo gratias ago*'.

14. Cfr. Prov. XVI, 24. ‖ 15. ἐκπεφυλοφόρηνται F.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXVII. (LXXV)

Νόμος μὲν οὖν ἐστι τῆς φύσεως τὸ ἐξ ἀνάγκης ἕλκεσθαι τοῖς ὁμοίοις τὰ ὅμοια· καὶ νόμος ἐστὶ τοῖς φίλοις κατὰ ταὐτὸ τὸ εἶναι ὡς ἄλλος αὐτός· καὶ νόμος ἐστὶ τῇ διαιρέσει ἑνοποιεῖν τὰ ὁμοειδῆ καὶ διακρίνειν τὰ ἑτεροειδῆ. τριχῶς γοῦν ἐκ τῶν τοιούτων ἀναγκαίων νόμων εὑρηκότες τὴν ἕνωσιν τῶν ὁμοίων ὡς ἀγαθήν, τί ἂν καὶ ἡμεῖς ἕτερον πράξωμεν, ἐπεὶ καὶ ὁμοειδεῖς, ἢ ταύτην τὴν ἕνωσιν; πότερον λόφων ὑψώματα στήσουσι τὴν ὁρμήν, καὶ τόπου μῆκος διακόψει τὸ σύντονον, καὶ ῥοὴ ποταμῶν τὴν ἄρρευστον ἕνωσιν τῆς εἰλικρινοῦς ἀγάπης ἡμῶν εἰς παντελῆ ἐνθήσει διακοπήν; οὐ μὲν οὖν τις εὖ φρονῶν πρὸς ἡμᾶς τοιαῦτα διανοήσεται, ἐπειδὴ καὶ ἀρχῆθεν πολλῶν οἰδημάτων ἑσμὸς περιστοιχίζων ἡμᾶς τὴν ἡμῶν οὐκ ἠδυνήθη διαλῦσαι ταὐτότητα. διὸ ἕλκω ποθῶν, ἕλκεται ὁ πάντων ἄλλων ὢν μοι ποθούμενος, ἐργάζεται ἡ φιλία, συνεργεῖ ἡ ἀγάπη, συμπράττει δὲ ἡ ἀλή-
f. 114r θεια, τὸ φύσει ἀγαθὸν βασιλεύει, περὶ οὗ καὶ ἀγωνιζόμεθα. | ἆρα γε ὁποῖόν τί ἐστιν, ὃ πρὸς αὐτὸ ἀντιστῆναι δυνήσεται; ὄντως οὐδέν. βαῖνε γοῦν διὰ ταῦτα πάντα ἐλευθέρῳ ποδί· ἔρχου πρὸς τὸν ποθούμενον, ‘ἡτοίμασταί σοι γὰρ ἡ ὁδός, αἱ τρίβοι κατελεάνθησαν’ ὁ Ἡσαΐας βοᾷ· τὸ τῆς φιλίας ὕδωρ ἐφέστηκε τὸ καθαρτικόν, ἡ τῆς ἀγάπης ἄυλος ὑπάρχει τιμή, ὁ ἀπεμπολῶν καὶ ὁ ὠνήσων φιλίως διάκεινται, ἡ ἐρημικὴ τρυγὼν τῆς σωτηρίας τὸν φωτισμὸν συνεισήγαγε. τί γοῦν ἡμᾶς τοῦ καλοῦ φωτισμοῦ τῆς ἑνώσεως καὶ φιλίας ἀποστερήσει; πάντως οὐδέν. οὐδὲ γὰρ ἔστι τι, ὦ καλή μου φιλίας πηγή, ὅπερ τὴν ἡμετέραν συνάφειαν δυνηθείη ποτὲ λῦσαι ἰσχύι.

XXVII Argumentum. ‘*Nihil prorsus obstare potest quominus amicus ad amicum properes, qui te prae ceteris diligit. Curre igitur.*’

11. ἑσμὸς F. || 17 sq. cfr. Hesai. XL, 3. || 19. immo ἀπεμπολήσων?

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXVIII (LXXVI)

Ἡ σιγὴ τοῦ χρυσοῦ τὴν ῥίζαν ἐμάρανε τῆς ἀγάπης· τῆς ῥίζης δὲ τῆς ἀγάπης μαρανθείσης, οὐ φύονται τῶν γραφῶν οἱ καρποί· ἀπεψύγησαν γὰρ ἐκ τῆς σιγῆς τοῦ χρυσοῦ. αὖθις δὲ ῥοιζήσαντος τοῦ χρυσοῦ, ἡ τῆς ἀγάπης ῥίζα ἀνέσφηλεν· αὐτῆς δὲ πρὸς εὐκρασίαν ἐλθούσης, θάλλουσιν οἱ καρποὶ τῶν γραφῶν· πῶς δ' ἔσχον τὴν θαλερότητα, σύναξον, ἐγὼ γὰρ ὀκνῶ καὶ λέγειν. τὰ δ' ἄλλα πάντα εἰς αὐτὰ περικλείονται.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXIX (LXXVII) f. 114v

Πάλαι μὲν ἱπποκενταύρους οἶδεν ἡ ἱστορία ὑπάρχειν, σατύρους δὲ τὰ θειότερα καὶ μονόκερως ἡ φυσιολογία. | ἡμεῖς δὲ δικερώς τινας καὶ ἱπποκενταύρους ἀκούομεν καὶ μοσχοσατύρους εἶναι περὶ τὴν Ἑλλάδα νυνί, ὡς μὲν θροοῦντας, ὡς δὲ κρητίζοντας, ὡς δὲ ποιοῦντας καὶ πάσχοντας. Μυρμιδόνων γῇ γὰρ ζῷόν τι πολύκρανον ἀνεφάνη καὶ ποικιλόκερων· ἔχει γὰρ οὐ περὶ κροτάφους μόνον τὰ κέρατα, ἀλλὰ καὶ περὶ τὸ στέρνον καὶ τὴν καρδίαν, καὶ ταῦτα περὶ μὲν τὰς ἕδρας εὐρύτατα, ὀξύτατα δὲ περὶ τὰς ἀκρότητας· ὃ δὴ λῃστρικῶς ταῖς ὁδοῖσιν ἐπικαθέζεται καὶ παραβλάπτει τοὺς ἀσκόπως διερχομένους,

---

XXVIII Argumentum. *'Auri sono ducitur homo venalis ad scribendum et ad loquendum; tacente enim auro mutus et ille est!'*

Exstat haec epistula etiam in cod. V, f. 114v. || 2. καρπῶν ante γραφῶν delet. V. || 5. θάλουσιν et γραφῶν corr. ex γραφοί ut vid. F. || 6. fort. < σὺ > σύναξον. || 7. περικλύονται V.

XXIX. Argumentum. *'Hominis spurcissimi culpas et mores nosti: quid de eo sentias velim scire; nam mihi quidem puniendus videtur.'*

4. κρητίζοντας] f. κερατίζοντας, cfr. 10 et ep. LXXVIII, 27. || 5. μυρμηδόνων F. || 6. περὶ scripsi: πρν (sic) F.

πέμπει δὲ τὰ κέρατα βάλλων, ὡς σύαγρός τις καὶ τιτρώσκων θανάσιμα, οὐδενὶ δὲ ξίφει τιτρώσκεται. τέρας γὰρ ἦν τὸ καινοφανές. οὐκ ἔστι πάρδαλις τοῦτο, οὔτε κριὸς ψιλός· οὐκ ἔστι μόσχος μονώτατος, οὔτε ταῦρος γυμνός· οὐκ ἔστιν ἔλαφος ἀκραιφνής, οὔτ' αἰγόκερως καθαρός· μίγμα δέ τι τεραστιῶδες ἐστί. τιμᾶται δὲ Θεσσαλονικεῦσιν ὡς ἄλλος Μενδησίων θεός· ἔχει δὲ καὶ πορνικὰ μυστήρια, κνίσας καὶ ἀλοιφὰς ἐκ τῶν τοιούτων ὑποδεχόμενον. πάσχει δὲ οὐ ξίφει τὸ οἰονοῦν, σαρκίναις δὲ καλαύροψι κτείνεται βαλλούσαις τὰς πλήξεις εἰς τὸ ὁμόζυγον ἢ μᾶλλον πολύζυγον, οὗ ἡ μήτηρ περιρραντίζει ἐν ἐλεώδεσι
f. 115r μυστηρίοις | ἀκεσοθύμοις φαρμάκοις. ἡ πληγὴ δὲ μᾶλλον καὶ μᾶλλον οἰδαίνεται· οὐκ ἔστι γὰρ μάλαγμα ἐπαθεῖναι, συνετρίβη γὰρ τὸ μισγάγγειον, οὔτε ἔλαιον ἀλεῖψαι, φλεγμαίνει γὰρ ἡ πληγή, καταδέσμου καὶ γὰρ ἀπεστέρηται. διώκεται δὲ τοῦτο· καὶ ὅσον παρ' ἄλλων διώκεται, τὸ σύζυγον ἐκλιπαίνεται· ὅσον δὲ τὸ σύζυγον σπαταλᾷ, τοσοῦτον τοῦτο τιτρώσκεται καὶ τοὺς διδύμους πρὸς τὴν ἥβην ἀναρροεῖ. συνοικεῖ δὲ τούτῳ τινὰ γαυριώδη ὀνάρια, ἅτινα φύσις φιλοτιμησαμένη ἄκος δέδωκε τῇ αὐτοῦ μεγίστῃ πληγῇ, ἣν ἐπλήγη καιρίως τῇ συνευνέτιδι. ὑπάρχει δὲ τούτῳ δυσωδία πολλή, ἐπειδὴ κατὰ καιροὺς προσφέρει καὶ τοῦτο πρὸς τὴν ῥῆξιν μαλάγματα, κἀκ ταύτης δ' ἀνιᾶται τὴν ἀποφοράν. ταῖς νευρίσι δὲ χαλαρώτατον ἦν· πρὶν ἀντεπλήχθη γὰρ ταῖς φλεψίν· ἀρτηριώδεσι δὲ ὀργάνοις μόνοις δεδίττεται. καὶ τὰ σπλάγχνα παρ' ἐκείνων ἔστιν ὅτε τιτρώσκεται. οὐ παρ' ἄλλῳ τινὶ γὰρ τιτρώσκεται, ἢ σαρίσσῃ μόνῃ τῇ τοῦ Πανός. ὄνομα δὲ τὸ τούτου τραγόφυλον· ὑπάρχει δὲ καὶ αὐτὸ κατὰ σύνθεσιν, ἐξ ἐνεργείας δὲ τὴν ἐτυμολογίαν ἐλάβετο. ὃ δὴ κάκιστον ζῷον τὸν ἡμῶν Τριβίδην συνέτριψεν ἀντ' ἄλλου τινὸς πληγωτοῦ· ἠπατήθη γὰρ ἐκ τοῦ χρώματος·
f. 115v καίτοι μυρίων ὄντων | τῶν νυκτιλόχων τῶν ἐπὶ τὰς ὀπὰς μενόντων τε καὶ κοιλότητας ὑπὲρ αὐτὸν καὶ Φιλοκτήτην βάλλοντας καὶ τιτρώσκοντας. κἂν αὐτὸ δὲ τὸν ἡμέτερον Τριβίδην συνέτριψεν, ἀλλ' ἐξ ἄλλων τὰ ἀντίποινα δέξεται. πλὴν περὶ τὰς δίνας καὶ τὰς στροφάς· ἐξ ἡμῶν δεδέξεται τὰ κατάλληλα, κἂν ὡς ἄλογον ἔπραξεν. ἡμεῖς οὖν ταῦτ' ἠκριβωσάμεθα καὶ γεγράφαμεν· ἅπερ δὲ καὶ σὺ περὶ τούτου οἶδας, ἡμῖν ἀναγνώρισον, ὅπως ἀκριβέστερα τοῦ τραγοφύλου τὰ ἰδιαίτατα καταμάθωμεν.

---

11. γὰρ] fort. γοῦν. || 18. μῆρ' F: num μήτρα περιρραντίζεται? || 24. ἥβην F. || 34. ἐτυμολογίαν F.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXX. (LXXVIII)

Πολλοῖς κατατραχυνθεὶς ἀνιαροῖς, τῇ τοῖσδε διαγωγῇ (ἦν προὐξένισέ μοι κράτος Θεοῦ ἐμβατεῦσαν τὴν βασίλειον καρδίαν εἰς αὐτὸ τοῦτό τε καὶ πατρῷαν ἔκ τ' ἔργων, ἔκ τε φροντίδων, ἔκ τε λόγων, ἐξ ὧν καὶ ταῦτα πρὸς τὸ λυσιτελὲς οἰκονομεῖται καὶ συμπεραίνεται) διὰ τὸ δοκίμιον προσετέθη μοι καὶ ἡ τοῦ ἐμοῦ διδασκάλου σκληρότης τῆς κατοικίας ὥσπερ τις ἄλλος Ταντάλικὸς λίθος πολυκόρυφός τε καὶ σκολιόσχημος. ἐπὶ τούτοις καὶ ὁδὸς οὐ λεῖα, ἀλλὰ κεκοιλωμένη καὶ δυσχερής, φαραγγώδης, πετρώδης τε καὶ δασεῖα· ἐπὶ τούτοις καὶ ὑετὸς ἐκ πόλου πολύρρους καὶ ἀσχετος· ὑπὲρ κεφαλῆς δὲ πολυδείραδος λίθος καὶ ἀχυρώνυμος, εἰς ὃν οἱ | σκοπεῖς διελθεῖν με διαβοῶσι. πολλὰ f. 116r
τὰ δεινά, καὶ τὸ κατάντημα πρὸς ἀκλινῆ πέτραν ἐξ ἀντιφράσεως· πλὴν πρὸς τούτοις καταβαρύνει καὶ ἄμλλα διδασκαλική. μὴ ἀπατηθῇς τοῦ πολλοῦ κατὰ λόγον Πακτωλοῦ χρυσοδίνου, οὗ ῥύακες λόγων χρυσοί, καὶ ἄμλλα οὐ δικαία, καὶ λόγοι ταύτης καρδιακοί· οὓς ἀντ' ἄλλων λέγει ὡς ἄλλους ὁ ἀμλλώμενος. εἷς γὰρ ὁ σκοπός, εἰς ὃν τὰ πάντα ἐξήρτηνται. ἡμεῖς δὲ πρὸς τοῦτον ἀποκρινούμεθα, οὐ μὲν οὖν γ' ὡς ὑπολαμβάνει (ἐκεῖνο καὶ γὰρ τὸ λύτρον τὸν νῦν αὐχμὸν ἐμμήσατο), ἀλλὰ λογικῶς καὶ γενναίως, πλὴν δὲ ταπεινῶς καὶ σωφρόνως. ἔρωτος ἡ κατηγορία· οὐδεμία δὲ ἡ ἀλήθεια· ἴσως δὲ καὶ οὖσα, ὁποία καὶ τίς; ἡ δοκὸς καθυποχώννυται καὶ τὸ κάρφος ἐπιστολαῖς στηλιτεύεται. εἰσὶ τὰ ἀντίποινα, κἂν βαρέα, κἂν δύσφημα, κἂν ἀνύποιστα. ἐπὶ τούτοις καὶ μᾶλλον καὶ μάλιστα ἀνιᾷ καὶ λυπεῖ ἡ μὴ φίλη συντριβὴ τοῦ Τριβίδου· διεσώθη γὰρ πρὸς ἡμᾶς ὡς οὐκ εἴχομεν. λῆρα τὰ τοῦ Φιλῆ πάντα καὶ ἐμοῦ μισητοῦ· ᾧ καὶ ἀνταποδώσομαι ὡς Λυκίνῳ ὁ Φάλαρις· ὁμοιωθήσομαι δὲ κατ' αὐτοῦ μόνον ἐκεῖνο τὸ θηριῶδες. δεῖ, δεῖ γὰρ τοὺς πρὸς κέντρα λακτίζοντας νύττεσθαι καὶ

XXX Argumentum. ' *Multis et falsis criminationibus et calumniis agitor; neque ultra aequo animo haec ferre possum. Aut igitur pater meus in maledicos animadvertet, aut meis manibus me ulciscar* '.

1. fort. τῇ <ἐν> τοῖσδε? || 5 sq. num σκληρότης τῆς καταιτίας (*acerba reprehensio*)? || 9. immo πολυδειράς. || 12. ἄμλλα hic et infra F. || 13. πακταλοῦ F. || 14. χρυσοί F. || 15. ἀμλλώμενος F. || 16 sq. οὐ μὲν οὖν γ' scripsi: οὔμενουν δ' F. || 20. καὶ τις· F. Respicit in sequentibus Ev. Matth. VII, 3 sqq. || 24 sq. cfr. Phalar. epist. 1 et 4 (cfr. etiam 5) Hercher. || 26. cfr. Zenob. V, 70 et quos laudavit auctores Leutschius in *Corp. Paroem*, I, 148.

f. 116v τοὺς | κερατίζοντας βάλλεσθαι. τί τὸ σφάλμα ὑπῆρχεν; οὐθέν. εἰ δὲ καὶ ἦν, ἦν κρίσις, εἰσὶ δίκαι, τιμωρίαι, βάσανοι, βασιλεὺς δικαιότατος, τοῦτο τὸ πᾶν. κατεφρόνησεν ὁ γυναικωνιτικὸς πάντων· καὶ ὡς ὄνος, ἢ ταῦρος, ἢ τράγος ἐποίησεν. ἐγκαλοῦμεν οὖν διὰ ταῦτα τῷ βασιλεῖ· εἴπερ γοῦν ἐμοὶ καὶ Θεὸς καὶ βασιλεύς ἐστι καὶ πατήρ, οὐκ ἐάσει τὸ τοῦ υἱοῦ ἄτιμον ἀνεκδίκητον· πρὸς μὲν οὖν τοὺς τὴν βασιλικὴν καὶ πατρῴαν ἐμοὶ διαιτοῦντας ὑπηρεσίαν ὅσα οἶδας περὶ τούτου, καὶ λέξον· σὺ δὲ πάλιν τοῖς σταλεῖσι συμβούλευσον καὶ συμμάχησον. εἴπερ γὰρ οὐκ ἀξία γενήσεται ἡ ἐκδίκησις, αὐτοχειρῶς ἐγὼ κατὰ τῆς τοῦ Φιλῆ κεφαλῆς ταύτην ἐργάσομαι. οὐδὲ γὰρ στέγω τὴν τοῦ περὶ τὴν καρδίαν αἵματος κίνησιν. οἷος γὰρ ἦν ὁ τραγέλαφος πρὸς τοιαῦτα ὁρμᾶν; οὔ, μὰ τὸν τοῦ παντὸς ποιητήν, οὐ διαδρᾷ μου τὰς χεῖρας. ἀφίξεται γὰρ καὶ πρὸς τὰ ἐνταῦθά ποτε· ἐν οἷς εὑρήσει καὶ τὰ θανάσιμα, εἰ μὴ καὶ ταῖς γοητείαις τῶν συμμοίρων ἀναλωθῇ. ταῦτα μὲν τὰ αὐτοῦ· σὺ δὲ πρὸς ταῦτα τοῖς ἐμοῖς διακέλευσον τὸ ὅπερ κρίνεις πρὸς ταῦτα ὀνησιμώτατον. εἴης μοι ἀπειράκις κατατρυφῶν τῆς φιλίας καὶ κατατρυφώμενος.

sine titulo

f. 117r
XXXI.
(LXXIX)

Καὶ νοῦς πως ἐν λόγῳ καὶ λόγος ἐν τῷ νοΐ, καὶ ταῦτα ἀχώριστα· καὶ ὁ ἐμὸς νοῦς πως ἐν τῷ σῷ λόγῳ καὶ ὁ σὸς λόγος ἐν τῷ ἐμῷ νοΐ, καὶ τοῦτο κατὰ ταὐτὸ ἀχώριστον. ὁμοίως δ' ἔστι καὶ τὸ ἀντίστροφον. διὰ τοῦτο καὶ τὰ ἱστορούμενα παρ' ἡμῶν κοινὰς ἔχουσι τὰς ἰδέας, καὶ τὰ λεγόμενα ἀπαραλλάκτους τὰς ὑποθέσεις, καὶ πάντα τὰ ἡμῶν ἡμέτερα ἴδια καὶ κοινά. διὰ τοῦτο καὶ τοὺς ἐμοὺς λόγους τὸν ἐμὸν νοῦν ἀρέσκομαι διακρίνειν ὡς οἰκεῖα γεννήματα. ἐξέτασον

---

38. interrogationis signum apposui, intelligens οἷος = οἱός τε. Sin οἷος et τοιαῦτα inter se respondent, legendum ὁρμᾷ.

XXXI Argumentum. '*Quam ad Patriarcham scripsi epistulam, eam a te probari volo. Fac sciam quid ille de me sentiat*'.

1. πῶς hic et infra F.

γοῦν, εἰπερ ἐν τῇ Νικαέων ἕως ἀρτι διάγετε, τὸ σταλέν μου τὰ νῦν γράμμα πρὸς τὸν ἁγιώτατον Πατριάρχην, καὶ σαφήνισον μετὰ πολλὰς τὰς αἰτήσεις τοῦτο αὐτῷ. οἶμαι γὰρ τῶν εὐγενεστάτων ἐπιστολῶν ἡ ἀφορμὴ αὐτὸ κατεσκεύασεν. ἐθέλομεν δὲ μὴ φανῆναι ὅτι δι' αὐτὸ τοῦτο ἀπῆλθες ἐκεῖσε, ἀλλ' ὅτι συνέβη ἀπελθεῖν σε. καὶ περὶ ὧν βούλει διὰ γραφῆς τῆς ἐμοὶ ποθητῆς ἐμοὶ ἀναγνώρισον· οὐδενὶ γὰρ ἄλλῳ ὡς ταύτῃ ἐπευφραινόμεθα.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXXII (LXXX)

Πέργαμος πόλις οἷον ἐναέρια οὐ πνευμάτων κατοικητήριον, ἀλλ' ἀνθρώπων εἰς δαίμονας | φυλακτήριον (οὕστινας δὴ τούτους, ὑποληπτέον), ἡμᾶς ὑπεδέξατο δυσθεώρητος οὖσα, οὐχ ἧττον δὲ δυσανάβατος. θεάτρων οὖσα μεστή, καὶ τούτων οἷων γεγηρακότων καὶ μαρανθέντων τῷ χρόνῳ καὶ ὥσπερ ἐν ὑέλῳ τινὶ τήν ποτε δεικνυμένων λαμπρότητα καὶ τὸ μεγαλοπρεπὲς τῶν δειμάντων αὐτά. Ἑλληνικῆς γὰρ μεγαλονοίας ὑπάρχει ταῦτα μεστά, καὶ σοφίας ταύτης ἰνδάλματα· δεικνύει δὲ ταῦτα πρὸς ἡμᾶς ἡ πόλις κατονειδίζουσα, ὥσπερ ἀπογόνους τινάς, τοῦ πατρῴου κλέους τῷ μεγαλείῳ. σμερδαλέα γάρ εἰσι ταῦτα πρὸς τὰς νῦν ἀνοικοδομάς, κἂν Ἀριστοτέλει δοκῇ πάντα σμικρὰ θαυμασμοῦ πρὸς τὸ σύμπαν. ἀνεγείρονται δὲ καὶ τείχη χαλκῶν οὐρανῶν ποικίλην οἰκοδομὴν ἔχοντα. ποταμὸς δὲ μέσον διέρχεται ἀψίδεσι προμηκεστέροις καταγεφυρούμενος. οὔ, μὰ τὸν πόλου δομήτορα, συνθέτους εἴποι τις εἶναι ταύτας, ἀλλ' οἷον αὐτοφυεῖς τε καὶ μονολίθους· ἅσπερ, εἰπερ ἴδῃ καὶ Φειδίας ἄλλος λιθοκόπος, ἐθαύμασε τὸ κατὰ στάθμην ἴσον τούτων καὶ ἀκλινές. μέσων δὲ τῶν οἰκοδομῶν κελλύδρια χθαμαλὰ καὶ οἷων λείψανα τῶν τεθνεώτων οἴκων ἐμφαίνονται, πολλὴν ἐμποιοῦντα τῇ θέᾳ τὴν | ἀλγηδόνα. f. 117v f. 118r

XXXII Argumentum. ' *Pergami nobilissimae urbis reliquias non sine dolore atque admiratione contemplor. Adest Costomyres. De obtrectatoris mei poena laetor; nam regium iuvenem suae famae acrem custodem esse decet* '.

1. respicere videtur Apocal. XVIII, 2. || 5. ὑέλλω F. || 11. deest aliquid; Aristotelem frustra evolvi. || 12. ποικίλλην F. || 15. ἴδῃ scripsi: ἴδε F. || 17. immo οἷον? sed cfr. 4.

ὡς γὰρ εἰς τοὺς νῦν οἴκους αἱ τῶν μυῶν ἔχουσι τρῶγλαι, οὕτως ἂν εἴποι τις καὶ ταῦτα πρὸς τοὺς ἀφανιζομένους. εἰ δὲ καὶ ἡ τῶν οἰκητόρων ἀναλογία τοιαύτη, φεῦ τῆς τῶν ζώντων κακοτυχίας· πόσον ἔσχον τὸ κατ' ἔλαττον ἄνισον. ἐφ' ἑκατέροις μέρεσι δὲ τῶν τοῦ μεγάλου θεάτρου περιτειχισμάτων κυλινδρώδεις ἵστανται πύργοι, οἷον ἐξ ἴσου τοὺς λίθους ἔχειν ζηλοτυποῦντες ζώνας τέ τινας περιζωννύμενοι. οὔτε χειρὸς ἔργον, οὔτε νοὸς νόημα τοῦτο τῶν νῦν· ἐκπλήττει γὰρ καὶ βλεπόμενον. οἱ δὲ μέσον τὴν ἄνοδον ἔχοντες διαπορθμεύουσι πρὸς τὰ μετ' αὐτοὺς περιτειχίσματα τὴν ἐξέλευσιν. συναναφαίνεται δὲ τῇ πόλει καὶ θαῦμα καινόν· ὡραιότερα γάρ εἰσι τὰ πρόποδα τῆς κορυφῆς καὶ τὰ τῶν τεθνεώτων τῶν ζώντων. ταύτην ὁρῶντες ἡμεῖς πῶς μὲν ἀθυμοῦμεν, πῶς δὲ σκιρτῶμεν, καὶ ὥσπερ ἐν χαρμολύπῃ καὶ κλαυσογέλωτί τινι διάγομεν. παιόνειον δέ τι ὥσπερ τὸν τοῦ Γαληνοῦ οἶκον ὁρῶντες, ἀρυόμεθα τὴν ὠφέλειαν, τὸν ἡμέτερον Χριστοφόρον, ἢ κυρτοφόρον, ἔχοντες ὑπουργόν. ταῦτα δὲ καὶ ὁ Κοσταμύρης καταμαθὼν ἔδραμε κατιδεῖν προστάξει θείας τινὸς ἰσχύος· εἰ
f. 118v δὲ καὶ στίξεις | μετὰ τὴν πρόσταξιν ἐπιστατικῶς, νοήσεις τὸ ὅθεν. ἀρύεται δὲ καθ' ἑκάστην ἐκ τῶν ὑψηλοτέρων τὰ πρόποδα, φιλεῖ, ὡς εἰκός, δὲ τὰ ἄξια φάρμακα.

Περὶ δὲ τῆς τοῦ τραγοφύλου βασιλικῆς δι' ἡμᾶς παιδεύσεως καί, ὡς εἰκός, ἀτιμίας ἀντευχαριστεῖ μὲν ὁ λόγος, ὃς ἐστι βασιλικῆς διαιτητὴς ὁμιλήσεως· ἡμεῖς δὲ ὡς ὑπουργοὶ μὲν τοῦ λόγου καί, ἀνερυθριάστως εἰπω, βασιλέως υἱοί τε καὶ υἱωνοί, καὶ τούτῳ ἐκπαλαι, βασιλικὴν δῶμεν ἐν καιρῷ καὶ λογικὴν τὴν ἀνταμοιβήν. οὐδὲ γὰρ ἴσον τοῦ λόγου φιλοτιμίας δῶρον τοῖς βασιλεῦσι κρίνομεν φέρειν, ὦ καλλίστη μοι κεφαλὴ καὶ φιλοσοφίας καὶ σοφίας ἀκρόπολις.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXXIII (LXXXI) Παρ'ἐλπίδα τὸ ἀνυπόφορον καὶ οὐδεμιᾶς ἀκοῆς ὕστερον. ἅμα γὰρ ἡ κακίστη τούτου φωνή, ἡ ὀηλητηριώδης, ἡ ὀλεθρία, ἅμα καὶ χρηστὸν

23. πῦργοι F. || 24. ζῶννας F. || 29. immo τῶν <τῶν> ζώντων || 30. πῶς utrobique F. || 31. immo κλαυσιγέλωτι; cfr. ἀκεσόθυμον ep. XXXIX, 29.

XXXIII Argumentum. ' *Nuncium accepimus tristissimum et simul bona spes nobis allata est: quare quo modo se res habuerint a te certior fieri volo. De me audies ex eo qui epistulam ad te tulerit* '.

Exstat haec epistula etiam in cod. V, f. 114v. || 1. παρελπίδα F.

τὸ συμπέρασμα. τίς γένωμαι; μέχρι πολλοῦ ἀχανὴς καὶ οἷον ἀναίσθητος ἐμεινα, τὸ μέντοι τῷ ἀθρόῳ τῆς ἀγγελίας, τὸ δ' ὅτι τῷ τῆς λύπης σφοδρῷ· λόγος σκληρὸς γάρ, ὡς πρὸς τοῦ σοφοῦ μεμαθήκαμεν, ταράττει ψυχήν, | ἐκ τῶν τελῶν δὲ τὰ πράγματα κρίνονται. καὶ εἰ μὴ τὸ τῆς φωνῆς τέλος θαρρῦναν χαρᾶς ἐπλήρωσε, τάχα ἂν ὡς ἡμθανεῖς ἐγεγόνεμεν. ἀκριβῶς δὲ τὰ περὶ τῆς ἀγγελίας ἀκμὴν οὐκ οἶδα, ὅπως τε γέγονε τὸ συμβὰν καὶ ποίῳ τρόπῳ τὸ ἀπευκταῖον. πεποίθαμεν δὲ εἰς Χριστόν, ὅτιπερ ἄχρι τοῦ νῦν, ἵνα καὶ τὰ σμικρότατα ἴχνη τῆς νόσου ἀλλοιωθῶσιν, ἅτινα ὑπὲρ τὰς Καυκάσου κορυφὰς ἡμῖν φαίνονται. ὁ δὲ παρὼν ἄγγελος καὶ ἐμὸς ἄγγελος τὰ περὶ ἐμοῦ ἐξαγγελεῖ σοι. ἀνάγγειλον γοῦν καὶ σὺ τούτῳ ἀγγελίας χρηστάς, ὅπως ἐξαγγείλῃ ταύτας ἡμῖν καὶ χαρμονῆς καὶ εὐφροσύνης ἐμπλήσῃ. καὶ περὶ ὧν ἄλλων βούλει τῷ τοιούτῳ εἰπεῖν, θάρρησον ὡς αὐτῷ ἐμοί. f. 119r

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXXIV (LXXXII)

Ἐγὼ δὲ ἀνὰ χεῖρας τὸν ἐμὸν χάρτην λαβὼν ἠρώτων, τίνος ἕνεκεν ἐστράφη κενός. ὁ δὲ τὴν τοῦ ἐμοῦ ἐκ τῶν αὐτόθι οὗ εἷς, ὦ φίλε, ἀποδημίαν αἰτίαν προὔθηκε, φωνὴν οἷον λογικοῦ καὶ ἐμψύχου ἀναλαβών. καὶ οὗ ἐπορεύθης, πυνθανόμενος, παρὰ τοῦ διακομιστοῦ τούτου ἔγνων. ἦν δέ, ὡς ἔγνων, ἡ σὴ πορεία ἐπὶ τὴν Κωνσταντίνου· ταχινὴν δὲ | καὶ τὴν ὑποστροφὴν ὑπισχνουμένου τοῦ λέγοντος ἀκούσας, εἰρήνην τῶν διεστώτων γενέσθαι ἐπίστευσα· οὐκ ἦν γὰρ ἔχθρα βροτῶν, ἣν σὺ μεσάσων οὐ λύσεις, ὑπὲρ τὸν πάλαι Σωκράτην εὐφυῶς τὴν γλῶτταν στρέφειν εἰδώς· ὃ τέλος εἰρήνης καὶ τὴν ἡμετέραν ἕνωσιν φέρειν οἶμαι, οὖσαν ἡμετέραν ταύτην ζωήν. διὸ τὸν χάρτην, ὡς εἰκός, f. 119v

---

3. *γένωμα* et *ἀχανές*, ut vid., V. || 4. *ὅτι*] num *ἔτι*? sed potius iunge cum *σφοδρῷ*. || 5 sq. Prov. XV, 1. || 7. *φώνης* et *θαρρύναν* V. || 10. *ἵνα* om. V. || 11. *ὑπερὶ* ut vid. V. || 14. *ἐξαγγελῇ* V.

XXXIV Argumentum. '*Cum tuas litteras expectarem, te Constantinopolim gravibus de rebus legatum profectum esse comperi*'.

Exstat haec epistula etiam in cod. V, f. 114.v || 1. *τινός* V. || 3. *ἐμψύχου* F, *ἐμφύλου* V. || 8. *λύσης* V. || 9. *στρέφειν* om. F.

νουθετήσας ἀντέστρεψα, ὅπως μὴ παραβὰς τὸ παράγγελμα, καὶ νωχελείᾳ οἷον καθυποβληθείς, τῶν ῥᾳθύμων δέξηται τὰς ποινάς. χαίροις μοι, ὦ τερπνὴ κεφαλή, καλλίστη, φίλη, ἐρασμία καὶ θαυμασία.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXXV (LXXXIII) Φησὶν ὁ φιλόσοφος πολλὴν ἰσχὺν τὸν μοχλὸν ἔχειν ἐν τοῖς μηχανικοῖς, κινεῖν τε καὶ μεταγαγεῖν τὰ βάρη ἔνθα καὶ βούλοιντο δι' αὐτοῦ οἱ οἰκοδομαῖς ἢ πολιορκίαις ἐνασχολούμενοι. οὐ λόγῳ δὲ μόνῳ, ἀλλὰ καὶ ἐπιστημονικῇ σχηματογραφίᾳ τίθεται ταύτην δὴ τὴν παράδοσιν, καθὼς τὴν ἀκριβῆ γνῶσιν ὁ πολὺς ἔχεις ἐπιστήμῃ τε καὶ παιδείᾳ. νῦν δ' ἐμπράκτως ὁρῶμεν αὐτὸ γινόμενον. ἡ γὰρ ὑμετέρα στάσις ἡ ἐνταυθοῖ τὸ πολὺ βάρος ἡμῶν κατὰ κύκλον κινεῖ· κινούμεθα δὲ ἐν τῇ ἡμῶν μεγίστου μεγαλεργάτου βασιλέως ἀγάπῃ, οἷον ὡς ἔν τινι
f. 120r στερροτάτῳ μοχλῷ ἑδραζόμενοι. | ἐπεφθάκεμεν γὰρ ἕως τῆς πρώτης εἰσβολῆς καὶ ἀρχῆς τῆς κινήσεως, καὶ τὸ κέντρον εἰς τὴν τοῦ κύκλου περίμετρον εἰσελθὸν ἥνωσε τὸ τέλος καὶ τὴν ἀρχήν. νόει δέ μοι κέντρον καὶ εἰσβολὴν καὶ ἀρχὴν τῆς κινήσεως τὴν ἐκ τοῦ Ἀπολλωνίτου διάστασιν. ἠρξάμεθα δὲ πάλιν τὸν κύκλον βαίνειν· εἶπερ οὖν καὶ πάλιν τὴν ὅλην αὐτοῦ περίμετρον διέλθωμεν, αὖθίς τε καὶ κατὰ τρίτην φορὰν τὸν κύκλον διέλθωμεν, ἐκτελήσομεν· ὃν ἐγκαρσίως τισὶν ἄλλοις κυκλώσαντες κύκλοις καὶ τὴν ἐξ ἴσου τῶν ἀναστημάτων ἄξαντες ἐπαφάνειαν, τὰς βάσεις ποιήσομεν ἡμισφαίρια· μὴ ἔχοντες δὲ βάσιν στῆναι, κινούμενοι μείνωμεν· ὃ μὴ δῴη Θεός, ἀλλὰ κινηθῇ μὲν πρὸς τὰ ἐνταῦθα ὁ ἐμὸς ἥλιος βασιλεὺς ἐκ τοῦ νοητοῦ ἡλίου Χριστοῦ τὴν κίνησιν σχών, καὶ κατ' εὐθείαν δράμῃ καὶ ἀφίκηται πρὸς ἡμᾶς, ἐλκτικήν τινα προπέμψας, καὶ ἀνιμησάμενος ἡμᾶς πρὸς τὴν αὐτοῦ ὑπαντήν, αὐτοῦ δύναμιν· ὃν ὡς τὸ σύνηθες προσκυνήσαντες ὑπερπολλαπλασίονας καὶ μὴ συνήθεις δεξώμεθα τὰς ἃς ἔσχομεν πρὶν λαμπηδό-

---

11 sq. *νωχελία* V.

XXXV Argumentum. '*Est quod sperem in conspectum me patris mei quam primum venire posse, et te simul cum eo videre atque amplecti*'.

1. *Φησὶν* scripsi: *Τισὶν* F (*T*, ut solet, rubricator). Respicit Arist. Mech. I p. 847 sqq. || 6. *ὑμετέρα* corr. (ex *ἡμ*?) F. || 7. *ἡμῶν* scripsi: *ὑμῶν* F. || 9. *ἐπεφθάκεμεν* scripsi: *ἐπεφθάκει μὲν* F. || 14 sq. *διέλθομεν* utrobique F.

νας αὐτοῦ, ἑδρασθῶμεν δὲ καὶ κρειττόνως ἐπὶ τοῖς κρείττοσιν ἐξ αὐτοῦ, ἴδομεν δὲ καὶ σέ, τὸν ἐμόν, συμπαρομαρτοῦντα ταῖς αὐτοῦ λαμπηδόσι, πλὴν ὡς ἐθέλομεν, ὦ καλλίστη μοι κεφαλὴ καὶ φιλοσοφίας καὶ σοφίας ἀκρόπολις.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

f. 120v
XXXVI (LXXXIV)

Καὶ ἔλεγέ τις, ὅτι ‘ πᾶς κύκλος δὴ διελύθη καὶ οὐδεὶς ἐναπέμεινε τῷ κυλίνδρῳ· καὶ ἡ ὁδὸς ἀπάρτι παλινδρομεῖσθαι δεῖ, καὶ οὐδεμία ἐστὶ κατ᾽ ἐγκαρσίαν ὁρμὴν κίνησις. ὁ γὰρ ἥλιος βασιλεὺς νικήσας πᾶσαν νεφώδη ἀργίαν ταῖς τοῦ νοητοῦ καὶ ὑπερφώτου ἡλίου Χριστοῦ λάμψεσιν ἐν τῇ Νικαέων ἀφῆκε, καὶ τὸ περὶ ἡμᾶς ἀρξάμενος τρέχει νῦν φαινόμενον ἡμισφαίριον. δεῖ, δεῖ γοῦν τῷ ἡλίῳ ὑπαντῆσαι τοὺς πλάνητας. ἐπεὶ γὰρ διελύθη ὁ δεύτερος κύκλος καὶ τρίτος, ἔστι δὲ δρόμος, παλινδρόμησιν δεῖ γενέσθαι. τοὺς γὰρ ἐγκαρσίους ἡ τοῦ κυλίνδρου λύσις ἠφάνισεν. ἀλλὰ μὴν οὐκ ἔστι κατὰ κύκλον ἡ κίνησις τοῦ κυλίνδρου, ὡς καὶ τῶν συστησάντων αὐτὸν κύκλων λυθέντων. ἔστι δὲ κίνησις καὶ οὐκ ἂν ἄλλως πέφυκεν εἶναι, ἢ κατὰ τοὔμπαλιν. κινήθητι γοῦν ὁ βαίνων τοὺς κύκλους ἕως τινὸς τῆς τῶν κύκλων περιφερείας τμήματος, ἔστ᾽ ἂν τοῖς τῶν μετεωρίων ὁρίοις πλησιάσειας· ἔκτοτε δὲ ἔασον μὲν τὸν κύκλον, βάδισον δὲ κατ᾽ εὐθεῖαν πρὸς τὸν μέγαν ἥλιον, σὸν εἶπω πατέρα καὶ κύριον καὶ βασιλέα· ἐκείνῳ δ᾽ αὖ περατώθητι, ὅπως τὰς ἐξ αὐτοῦ δεξάμενος ἀρρήτους μαρμαρυγάς, ἐκβλαστήσῃς τὰς χάριτας, ὑπερβῇς δὲ καὶ πᾶν ὕψωμα γήνον. εἰ ἄρα τὸν κύκλον τοῦ σοῦ δρόμου λύσεις, καὶ | καθ᾽ ὑποποδισμὸν βαδίσεις ἀναγκαίως τῷ μεγάλῳ σῷ βασιλεῖ καὶ πατρί, καὶ κυρίως συνοδεύσεις, ὅπερ δεῖ σε ποιῆσαι ’. ταῦτα μὲν ὁ λέγων εἰπὼν ἀρίστως ἡμᾶς ἀντέστρεψε· καὶ βαίνομεν ἤδη καθὼς προσέταξε. μικροῦ δὲ θαρροῦμεν ἐκ τῆς στροφῆς ἕτερόν τι γενέσθαι, τὸ ἰδεῖν τὸν ἐμόν·

f. 121r

---

26. *πλὴν* comp. F: fuerit *πάλιν*.

XXXVI Argumentum. ‘ *Recte admonitus obviam procedere statui patri meo; simul spero tua quoque praesentia me frui posse* ’.

2. *ἡ ὁδὸς* correxit rubricator, *ἡδὸς* F. ‖ 10. *κύκλων αὐτόν* F; traieci ego.

ὅπερ ἀγαθὸν συμπέρασμα κατιδὼν σὺν τῇ τοῦ ἐμοῦ βασιλέως ἐμῇ προσκυνήσει, ᾄσω τὰ χαριστήρια, ὦ καλλίστη μοι κεφαλὴ καὶ φιλοσοφίας καὶ σοφίας ἀκρόπολις.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXXVII (LXXXV) Μικροῦ καὶ χαρήσῃ χαράν, ὅτι θεάσῃ τὸν σόν, καὶ χαρὰν οἶμαι πάσης, ἧς ἔχεις, ἐπέκεινα· ἀντιχαρήσομαι δὲ κἀγώ, ὅτι θεάσομαι τὸν ἐμόν. ὦ τέρψεως, ὦ γλυκυτάτης συνομιλήσεως, ὦ φιλικῶν λόγων. τίς ἂν ἐξείπῃ; οὐδείς· ὅτι ἀσύγκριτα τῶν πάντων ἐστί. χαίροις μοι, καλὲ κἀγαθὲ καὶ εἴ τι κάλλιστον ὄνομα.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XXXVIII (LXXXVI) Τοῖς γνησίοις τὰ γνήσια, καὶ ὅσον ἐγγυτάτω τὰ γνησιέστερα. διὰ τοῦτο τὸν ἐμὸν γνήσιον κατὰ πάντα Μουζάλωνα, καὶ ὅν, σὺ ἔγνωκας, ἔχομεν ἐν τιμῇ καὶ σχέσει καὶ πίστει, πρὸς τὸν κύριον ἡμῶν καὶ βασιλέα ἐξαπεστείλαμεν, ὡς ὁρᾷς, ὅπως | διὰ μέσου τινὸς αὐτῷ τὴν f. 121ᵛ προσκύνησιν νείμωμεν· εἶτα τὴν αὐτοῦ ἐπαναστροφὴν ὥσπερ τι θυμηδίας λαβόντες δώρημα, ἐλευσόμεθα τάχιστα. ἰδὲ δὲ καὶ σύ, ὡς ἐγώ, ὃν ἀντ' ἐμοῦ ἐμοὶ ἐξισάσας (χαρίζομαι γὰρ τῷ ἀνθρώπῳ διὰ τὴν εἰς αὐτόν μου ἀγάπην καὶ τοῦτο) ἀγκάλισαι· μικροῦ δὲ καὶ περὶ τὰ ἀληθινὰ κατοπτευσόμεθα, ἀληθινῶς συνομιλοῦντες καὶ οὐχ ὡς ἐν παραπετάσμασι ταῖς γραφαῖς. ὅσα δὲ εἶποι σοι οὗτος, ἀναμφίβολα δέδεξο.

XXXVII Argumentum. *' Te quam primum huc venturum scio, idque mihi gaudio est quam maximo '.*

Exstat haec epistula etiam in cod. V. f. 114ᵛ. || 1. χαρίσῃ F. || 2. ἔχεις F; ἔχει V. || 4. ἐστὶν V.

XXXVIII Argumentum. *Muzalonem ad patrem meum misi obsequii causa. Ut tu hunc meum amplectaris tamquam me ipsum. Utinam brevi una esse possimus ! '*

5. αὐτοῦ scripsi: αὐτῷ F. || 6. ἴδε F.

Τοῦ αὐτοῦ πρὸς τὸν μέγαν λογοθέτην κυρὸν Γεώργιον τὸν Ἀκροπολίτην μετὰ τὴν τῆς βασιλείας ἐντελέχειαν. Vind. 321 f. 63r

XXXIX (LXXXVII) f. 63v

*Ἐγὼ μὲν πρὸς τὴν προκειμένην ὑπόθεσιν φιλοσοφῆσαι βουληθεὶς πρὸς βραχύ, πρὸς τὸν προκείμενον λόγου γνώμονα σὲ τὸν λόγον καὶ τὴν τοῦ λόγου κρίσιν ἐπανατείνω, ὡς συστρατιώτην τε καὶ συστράτηγν καὶ τῆς μεγίστης μερίδος τῆς ἐπιστήμης, αὐτῆς προκαθήμενον δὴ λέγω βουλῆς. καὶ πρῶτον μὲν κατὰ τὸ ἔθος τῆς ἐπιστήμης καὶ τὴν φανέρωσιν προτίθημι τὴν διαίρεσιν, καὶ τῇ καθόλου στρατηγίᾳ στρατηγίαν τάττω καὶ τὴν ψιλήν· ὥσπερ ἐν πᾶσι τὸ καθόλου γνωρίζεται καὶ τὸ μερικόν, καὶ τὸ μὲν ὡς ἀρχικόν τε καὶ ὑπεροχικόν, τὸ δὲ ὡς ἐξ ἐκείνου καὶ δι' ἐκείνου καὶ ἐν ἐκείνῳ· οὕτω δὴ καὶ ἐν τούτῳ. στρατηγία γὰρ καὶ ψιλὴ στρατιωτικὴ γένος καὶ εἶδος· ἡ τὸ μὲν *** ἄτομον ἐν τῷ γένει. ἀλλὰ τὸ μὲν λόγῳ κυβερνᾶται καὶ ἐνεργεῖ, τὸ δ' αὖ ὑπακοῇ τε καὶ προθυμίᾳ· ὅπου δ' ἔστι τὸ ἐναντίον, καὶ ἡ ἐργασία τοῦ ἐναντίου. στρατηγία μὲν γένος καὶ οἱ ταττόμενοι στρατηγοὶ οἷον εἴδη τὸ μερικώτερον, καὶ τὰ ἑπόμενα τῶν ψιλῶν ἄτομα καθόλου τε καὶ ἑπόμενα. εἰ ἄρα τὸ πρῶτον ἀτάκτως τάττει, καὶ σφάλλονται τὰ δεύτερα τῶν δευτέρων, ὅθεν ἡ ὁρμὴ τῶν λόγων καὶ ἡ ἐκφανσις. εἰ δὲ τὸ πρῶτον ἀρίστως τάττει καὶ φυσικῶς ὡς καθολικόν, τὰ δὲ μετ' αὐτὸ τὰ μὲν ἐπισπεύδουσι, τὰ δὲ ναρκῶσι τὸ κατὰ φύσιν ἐργάζεσθαι, καὶ τὸ χῦμα τοῦ πρώτου τῶν λόγων εἰς τὸ παρὰ φύσιν ἐκ τοῦ κατὰ φύσιν ἀλλάττουσι, τὰ ἄτομα σφάλλουσι, τοῦ προτέρου τε καὶ καθόλου μὴ σφάλλοντος. τίς ἂν ἐξείπῃ τὰ ἑπόμενα τῶν σφαλμάτων; ἑνὸς γὰρ δο<θέ>ντος, πολλ' ἄττα καὶ τὰ ἑψόμενα· ἐντεῦθεν κινήσεις λόγων, <καὶ> τῶν εὐεργεσιῶν ἀνατροπὴ παντελής, καὶ τῶν τιμῶν ἐξοστρακισμός, καὶ <τῶν π>ρωτοκαθεδριῶν ἐξευτελισμοί*

XXXIX Argumentum. '*Exercitus nostri milites et duces virtutis immemores ad lasciviam dediti nobis dolorem afferunt maximum*'.

τ

8. *ἐπανατείνω* scripsi: *ἐπανατείνει* V, ubi mox *συστατιώτην*. || 4. *αὐτῆς* V. || 10. lacunam statui: conicias *τὸ μὲν <γένος, τὸ δὲ>*. || 14. *ἑπόμενα* suspectum. || 15 sq. *σφάλλονται καί* scripserim. || 16. *ορμὴ* V. || 20. *πρωτέρου* V. || 22 sqq. vide quae adnotavi ad ep. XLII, 21.

τε καὶ ταπεινώσεις, καὶ, πάντων τῶν ἀγαθῶν ἐκδιωχθέντων ἐκ τῶν παραλόγως φερόντων ταῦτα, συνεισαγωγὴ βδελυρῶν δικαστηρίων καὶ κρίσεων. ποῖος νοῦς εὐπορήσει ἀφηγήσασθαί σοι τὰ κεκρυμμένα; ἀλλάττω γάρ μου τὴν γλῶτταν, καὶ πρὸς ἑτεροίαν τρέπω ταύτην ᾠδήν· πόσα παραβλέπουσι βουλητῶς πόσοις συνερχόμεθα παρὰ βούλησιν; πόσων ἀποκρύπτομεν τὰ ἀνόμα; πόσων συσκιάζομεν τὰ ἀλλότρια; ἐν
f. 64r αἰθάλῃ σπινθὴρ ἀπο|φαίνεται, καὶ γινώσκουσιν οἱ ὁρῶντες πυρκαιὰς τὸ ἐνδόμυχον· ἐν νεφέλῃ ὕδωρ πηγνύεται, καὶ ῥανίδος μικρὰ ῥίψις τὸ ποσὸν τοῦ ὄμβρου δηλοποιεῖ· λόγος ἐκ χειλέων ἐξέρχεται καὶ καρδίας δείκνυσι τὰ ὁρμήματα. τίνος κοπιῶσιν οἱ στρατηγοί; τοῦ καλοῦ, ἢ γε τοῦ μὴ καλοῦ; ἀλλ' οἱ νῦν, τοῦ δαιμονίου βασκαίνοντος, ἐπὶ τοῖς πρόσω προβαίνουσιν ἐν τοῖς χείροσιν, καὶ τὸ τῆς τιμῆς φορτίον βαστάζοντες ἐλαφρὸν διὰ τὸν ψόγον ἐργάζονται. ἐκ τῶν σχημάτων ἔδοξεν ἂν τοῖς εὐηθέσι διακεῖσθαι τούτους εἰρωνικῶς, ἀνακεκομμένως βαδίζοντας καὶ πρὸς εἰρωνείαν τὸ σχῆμα τρέποντας· ἐκ τῶν ἐργασιῶν θηλύτητος καὶ χαυνότητος τοῖς νοήμασιν ἀπεφάνθησαν. τί τοίνυν λέξω περὶ αὐτῶν; παντελῶς ἀνακόπτονται, ὅτι παντελῶς ἀναπέμπονται. ποῦ γρήγορσις ἐν αὐτοῖς, καὶ ἡ οὖσα χελώνης ἢ κανθάρου τὰ μάλιστα; πτὼξ ἂν ὁρῶν αὐτοὺς μειδιᾷ, καὶ κερδὼ ἁπλουστάτη γνωρίζεται· ὁ μὲν ἐν τοῖς καλοῖς τῇ δειλίᾳ, ἡ δ' αὖ ἐν τοῖς κακίστοις τῇ πανουργίᾳ. λέγομεν, ἀλλὰ [καὶ] τίς ὁ ἀκροασόμενος; νουθετοῦμεν, καὶ οὐδεὶς ὁ συνήσων· εὐεργετοῦμεν, καὶ πρὸς ἀγέλας προβάτων τὰ χρήματα ῥίπτομεν. ἐγέλασεν ἂν τοῖς λεγομένοις καὶ Θαλῆς ὁ Μιλήσιος, εἴπερ ἤκουσε. καὶ ἡ αἴσθησις εἰς νωθρότητα καὶ τὸ χαροπὸν πρὸς τὴν αἰσχροκέρδειαν, τὸ στωμύλον πρὸς τὸ ἀλλόκοτον ὅ τι τὸ παρρησιαστικὸν αὐτοῖς ἐκμηνύσηται. εἷς ἄγγελος μεθ' ἡμῶν, καὶ οὗτος παρὰ πολλῶν ἀντιτεινόμενος ἐν ταῖς πράξεσι, καὶ μετὰ τούτων ὁ μετὰ τούτου τὰ τῆς ἀρετῆς κληρωσόμενος. ἕτεροι δὲ οὐ τῆς ἀρετῆς τοὺς κλάδους καὶ τοὺς καρποὺς προσποριζονται, τὴν διαίρεσιν μ<ὴ> μεμαθηκότες, μήτ' αὖ γε τῆς στρατηγίας τὴν ἕνωσιν, τὸ ἀνάλογον μὴ <ἐκ>παιδευθέντες, μήτε τῆς ἁρμονίας τὴν συνεξάρτησιν. εἰ γὰρ καὶ ζῶ<ν>

30 sq. γνωμικὸν comp. sub verbis ἐν αἰθάλῃ et 32 ἐν νεφέλῃ et in mg. 33 V. || 43. ἂν ὁρῶν scripsi: ἀνορῶν V. || 45. ἀκροασόμενος scripsi: ἀκροασάμενος V. || 46 sq. cfr. Ev. Matth. VII, 6. || 47. θαλῆς V. Quid hic Thales? num propter illud δεῖ τὰ μὲν εἰκότα λέγειν, τὰ δὲ ἀμήχανα σιωπᾶν (Plut. Conv. VII Sap. 17, 42)? Sed vereor ne huc memoriae lapsu Thales pro Heraclito illo lacrimante οὐκ οἶδα irrepserit. || 49. στωμύλον V. || 50. σφαλτόν sic in mg. V.

σῶμα, πρὸς τὴν κεφαλὴν τῶν μελῶν συναρμολογουμένων καὶ ἀφορώντων, καὶ τοῦτο λέγω ὑγιῶς τε καὶ ἀκλινῶς, τὰς ἐργασίας δὴ τὰς οἰκείας ἐργάζεται ὑγιῶς· πῶς ἂν ὁ στρατηγός; εἰ τοὺς ὑπ' αὐτὸν προὔχοντας ἀρίστους ἔχῃ, κατὰ τὸ ἐκείνου παράγγελμα καὶ τοὺς ἐξ
60 ἐκείνου πρὸς τὰ τῶν ἐξ ἐκείνου | καὶ ἀντιστρόφως ἐργάσηται, τά γε f. 64v
φυλακτικά, τά γε πολεμικά, τά γε συντηρητικὰ τῆς ἀρχῆς, καὶ ἐπὶ τούτοις πᾶν ἄριστον τελεσιούργημα καὶ κατόρθωμα· εἰ δὲ μὴ οὕτως ταῦτα ἐν τοῖς τοιούτοις, τοὐναντίον πάμπαν τε καὶ ἀλλότριον. ταῦτα μέν, ὡς ἐκ κατωδύνου ψυχῆς πολλὰ παθούσης, ἐκ τῶν πολλῶν, ἤ γε μάλιστα
65 τῶν κοινῶν, προσφωνῶ σοι κατωδύνως ἐπιστημόνως πρὸς ἐργασίας κατὰ τὴν ἕξιν τῆς ἐπιστήμης ὁρμᾶν διὰ τοὺς πρὸς τὸ θεῖον ὁμοδούλους. τοῦτο γάρ, εἰ καὶ τὸ τῆς ἀρχῆς ἀξίωμα διαστέλλει, ἀλλὰ πέφυκε, φυσικῶς λέγω, μέλλον τι μικρὸν παραμύθιον, ὡς ἐν τοῖς ἄλλοις κἀν τούτοις τὸν λόγον εὑράμενος.

τοῦ αὐτοῦ πρὸς αὐτόν

XL. (LXXXVIII)

Ὁ τῆς φιλοσοφίας λόγος καὶ ἡ φιλοσοφία οὐκ οὐσιώδη ἐν τῷ ἀνθρώπῳ, ἀλλ' ἐπουσιωδῶς ἐγκατοικήσαντα οἷον τὸ οὐσιῶδες τούτων τούτῳ χαρίζουσι· καὶ νόσος μὲν μεταλλάττει καὶ γῆράς τε ἀλλοιοῖ καὶ ποικιλία πραγματιῶν ἴσως ἀλογωτέρων μεταβάλλουσιν ἐξ αὐτοῦ
5 αὐτόν, ὡς εἰκός, τὸ δὲ τέλειον ἀδυνάτως ἔχει πρὸς ταῦτα· καὶ ἔστι ταῦτα ἀναγκαιότατα. τίς γὰρ παρατραπῇ τοῦ καλοῦ καὶ ζητήσῃ ὁλοσχερῶς τὸ μὴ τοῦ καλοῦ; ἢ ἀλλάξει φόνους καὶ μάχας πρὸς εἰρήνην καὶ λογιότητα; ἢ λόγῳ δώσει τιμὴν εἰς ἐπιμέλειαν ἀλογίας ταύτην ἀνταλλαξάμενος; ἐκεῖνο μὲν ἐποίησεν ἂν νοῦς μὴ ἔχων μέρος τῆς
10 ἐπιστήμης. ᾧ δέ ἐστιν ἡ ὁλότης καθολική, πῶς ἐγένετο ἂν τοῦτο, κἂν συσκιάζηται καὶ μικρὸν ἀποκρύπτηται, κἂν μεταβάλληται πρὸς βραχὺ

---

56 sq. ἀφορόντων V. || 66. ἕξιν V.

XL Argumentum. *'Si recte philosophiam amplexus sum, potui equidem in errorem incidere; sed libentem me id fecisse tu ne dixeris'.*

1. ὠσιώδη ut vid. V. || 2. οὐσιοῦδες V. || 3. νόσος scripsi: νόσοι V. || 6. ζητήσῃ scripsi: incertum ζητήσει an ζητήσοι V.

πρὸς τὴν ἀλογίαν, τὸν καιρὸν ἐξαγο<ραζό>μενος; τοῦτο μὲν τοῖς φιλητοῖς τῆς ἐπιστήμης καὶ φιλητόν, <τοῖς δὲ μι>σητοῖς ἀπευκταῖόν τε καὶ ἀλλότριον. ὅθεν, εἰ μὲν ἡμεῖς φιλητοί, διὰ ταύτην ἐλλόγως πράττομεν καὶ τὸ ἄλογον· εἰ δὲ μισητοί, τοὐναντίον πάμπαν τε καὶ ἀλλότριον. ἀλλὰ τίς ἂν ἐξείπῃ τὸ δεύτερον; σὺ δὲ καὶ μᾶλλον μαρτυρήσεις τὸ πρώτιστον, ὅτι λόγον καὶ ἐπιστήμην ποθήσαντες καὶ φιλοσοφίαν καὶ τὸν ταύτης λόγον εἰσοικισάμενοι, οὐκ ἀποστῶμεν αὐτῶν, εἰ μὴ καὶ Θεοῦ καὶ φιλίας καὶ φίλων καὶ πνοῆς καὶ ζωῆς ἀποστῶμεν, ὅπερ ἀδύνατον. τὴν δὲ τῆς γραφῆς ταχυτῆτα κρῖνον σὺ καὶ διάκρινε.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XLI. (LXXXIX) f. 318r

Ἀληθέστατα τὰ λεγόμενα, διότι ἐκ φιλοσοφίας εἰσί, καὶ μάλιστα τροφίμων ἐξ ἀληθινῶν τῆς φιλοσοφίας· τὸ δὲ ἐξ ἀληθοῦς ἀληθὲς ἀληθέστατον ἐξ ἀνάγκης καὶ ἀναντίρρητον. ἀναντίρρητον ἄρα καὶ ἐν ἡμῖν ἡ φιλοσοφία καθ' ἕξιν ἔστι τε καὶ οὐσίωσιν. ἐντεῦθεν καὶ τῶν ἀμφοτέρων ἀνθεῖ τὰ γράμματα, καὶ οἱ λόγοι προχέονται, καὶ ἡ ἐπιστήμη διαφανής, ὅτι ἐκ τῶν γεννημάτων γινώσκονται οἱ γεννήτορες. χάρις σοι τοίνυν, ὅτι πρὸς τὴν γραφὴν καταλλήλως ἀπελογήσω. καὶ χάρις σοι καὶ γράφοντι καὶ τρυφῶντι καὶ πρὸς ὕπνον τρεπομένῳ πρὸς τὸν καιρόν· ἐπείπερ καὶ ἡμᾶς ἀναγκάζει τὸ ὕπνῳ καὶ νυκτὶ πείθεσθαι κατὰ τὸν Ὅμηρον.

---

12. Paul. Eph. V, 16. || 13. τοῖς δὲ μι suppl. in mg. V. || 20. σὺ] σου, ut vid., V.

XLI Argumentum. *' Quae scripsisti verissima sunt, ut philosophi et veritatis amantissimi. Gratias tibi ago '.*

8. ἀναντήρρητον utrobique V. || 9. respicit, ut vid., versus homerici exitum *πειθώμεθα νυκτὶ μελαίνῃ*, qualis est Θ 502, *I* 65, *μ* 291.

III

AD MANUELEM PATRIARCHAM

Τοῦ αὐτοῦ σοφωτάτου βασιλέως τῶν 'Ρωμαίων κυροῦ Θεοδώρου τοῦ Λάσκαρι πρὸς τὸν ἁγιώτατον καὶ οἰκουμενικὸν Πατριάρχην κυρὸν Μανουὴλ πρὸ τῆς τοῦ μαρκίωνος Βελτόρδου Δε 'Οεμβοὺργ πρεσβείας πρὸς τὸν αὐτοῦ πατέρα καὶ βασιλέα κυρὸν 'Ιωάννην τὸν Δούκαν. Laur. 59,35 f. 124r

'Αγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ Πατριάρχα· I. (XC)

Πάτερ, δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε. ἦλθεν οὖν φωνὴ ἐκ τῆς ἐμῆς θείας μητρὸς τῆς 'Εκκλησίας Χριστοῦ ἀπαγγέλλουσα ῥήματα πατρικά. ὁ γοῦν ὄχλος ὁ ἑστὼς περὶ ἐμὲ τῶν παθῶν ταύτην ἐνηχηθεὶς ἔλεγε πεφρικώς· 'ἄγγελος πατρικὸς τούτῳ λελάληκεν'. ἄλλη δὲ πάλιν ὀχλοκρατία λογισμῶν ἀπεφθέγγετο· 'βροντῆς σωτηρίου προηχήσεως ἡ γραφή ἐστιν αὕτη προσήμανσις καὶ προγνώρισμα'. ἀπεκρίθη οὖν ὅμως ὁ ἔσω ἄνθρωπος πρὸς αὐτάς· 'οὐ διὰ τὸ τῆς ἀρετῆς αὕτη ἡ πατρικὴ φωνὴ ἑδραῖον πρὸς ἐμὲ ἐκπεφώνηται, ἀλλὰ διὰ τὸ τῆς σωτηρίας τῆς πνευματικῆς ὑπερύψηλον ἐκελάδησε· σωτηρία καὶ γάρ ἐστι νῦν ἐν τῷ κόσμῳ τούτῳ τῷ γεηρῷ, τῷ σκή-

---

Tit. 3. *Μανουὴλ* recte Bandinius: μτ F.

I. Argumentum. *'Quae ad me scripsisti ut et moneres et hortareris, pergrato animo accepi, ut melior fierem et vitiis meis liberarer. Me tamquam filium habeas semper tui amantissimum'.*

6. *ὀχλοκρατία* scripsi, cl. ep. XCI, 3 sq.: ὁλοκρατία F.

νει δηλαδὴ τῆς ἐμῆς ὑλώδους ψυχῆς. νῦν καὶ γὰρ κρίσις ἐστὶ τῆς ἐμῆς δεσποίνης, τῆς ἡδονῆς· νῦν ἡ τῶν αἰσθητηρίων κατάρχουσα τῶν ἐμῶν ἡδονὴ ἐκβληθήσεται ἔξω ἐκ τῆς ὡραίας κατακοσμήσεως τῆς
f. 124v | ἐμῆς ἀνοθεύτου καὶ ἀσύλου ψυχῆς· κἀγὼ δὲ τῶν παθῶν εἴπερ ἀνυψωθῶ, πᾶν μέρος τοῦ κατ' ἐμὲ ἑλκύσω πρὸς σωτηρίαν ἀληθινήν'. ἀλλά, πάτερ, δόξασόν σου τὸ ὄνομα. οὕτως καὶ γὰρ οἶδα τοῦτο δοξάσειας, εἰ τὸν σὸν υἱὸν δοξάσεις ἐν ἀρεταῖς. ὁ γοῦν θεῖος ὄντως καὶ πνευματικὸς γενέτης, σύ, τῆς ψυχῆς 'καὶ ἐδόξασα καὶ δοξάσω' μοι εἰρηκας. ἀλλ' ἐν τούτῳ τῷ λόγῳ αἰσχυνέσθωσαν τὰ δαιμόνια. πατρικὴ γὰρ σὴ φωνὴ καὶ γράμματος καλλίστη συνεχὴς διδαχή, καὶ παράθηξις πρὸς τὰ τῶν σοφῶν παροτρύνουσα, καὶ τὰ βδελυρὰ τῆς ἡδονῆς ἀερώδη πνεύματα ἀκριβῶς οἶδα ὡς διεσκέδασε, καὶ ἡμᾶς σὺν φωτισμῷ ἀληθινῷ καὶ χάριτι κατεφώτισεν. ἀλλά, γλῶττα, τὰ νῦν διατράνωσον τὴν φωνήν· λάβε δύναμιν Ἑρμογένους ῥητορικῆς καὶ τὴν περὶ τὸ λογογραφεῖν τέχνην, Γρηγορίου τε τὴν καλλιέπειαν, βάθος νοημάτων Διονυσιακῶν, καὶ τῷ πρώτῳ πρωτοθύτῃ καὶ πατρὶ ἀναβόησον· 'ηὐφράνθην ἐπὶ τοῖς εἰρηκόσι μοι ἐν οἴκῳ τῶν σῶν λογίων τῆς ἀρετῆς· ὡς δρόσος ἐωθινὴ περὶ τὴν ἐμὴν ψυχὴν τὰ σὰ πατρικὰ λόγια καταβεβήκασιν, ἄμφω τρέφοντα καὶ αὐξάνοντα, καὶ τρέφοντα
f. 125r μὲν τὸν θεῖον λόγον τῆς διδαχῆς, αὐξάνοντα δὲ τὸ τῆς ἀρετῆς | ἐπίπονον ἐν τῷ τῶν σῶν ὑπισχνεῖσθαί μοι πατρικῶν ἐρῶν τὴν ἀντίδοσιν.' ὦ βάθους νοημάτων γνησίου πατρὸς εἰς γόνον γνήσιον ὄντως αὐτοῦ· ὦ χάριτος καὶ νουθεσίας γραφῆς ὑψηλῆς τε καὶ πατρικῆς· ὦ τροφῆς διττῆς ὀψάρτυσις καὶ καρύκευσις. ἑνὶ καὶ γὰρ μέρει περὶ τοῦ ἀνωτάτου δείπνου διδάσκει θεοφιλῶς, ἑτέρωθεν δὲ οὐκ ἀφίησιν ἀμετόχους εἶναι ἡμᾶς καὶ τῶν φυσικῶν· ἀλλὰ παντοίως ἡμᾶς εἱστιάσατο τοὺς καλοὺς δαιτυμόνας αὐτοῦ· καλοὺς μὲν οὐ κατ' ἀρετὴν καὶ ἀγαθωσύνην τὴν φυσικήν, ἀλλὰ κατὰ σχέσιν εἰλικρινοῦς ἀγάπης ὅλως τῆς πρὸς αὐτόν. ἔνθεν καὶ Ἀριστοτελικῶς <καὶ> πατρικῶς ἡμᾶς ἐξεπαίδευσε, καὶ φιλοσόφως ἐπαιδαγώγησε, καὶ μετεωρικῶς εἰς τὰ ἄνω ἀνήγαγε, καὶ διὰ τῶν μέσων τῶν ἐφ' ἑκάτερα ἄκρων ἁψάμενος ἐκ τῶν γηίνων ἀνῆξε πρὸς τὰ οὐράνια· τὰ μὲν πρότερον ἐκ τῶν ὄντων ἀρξάμενος, τὰ δὲ δευτέρως ἐκ τῶν δευτέρων καὶ πρώτων ἐν τοῖς προτέροις, τὰ δὲ ἐκ

---

24. κατεφώτισε F. || 28. Psalm. CXXI, 1. || 29. cfr. Psalm. CXXXII, 3. Ioel II, 23 al. || 39. ὅλως ante ἀγάπης vel post τῆς traiecerim. || 40. καὶ supplevi. || 42. ἐφεκάτερα F.

τῶν ὑστάτων καὶ τρίτων τε καὶ προτέρων, καὶ οὕτως ἁρμόσας τὴν ἀπαρίθμησιν εἰς τὴν τριαδικὴν θεολογίαν ἀνήγαγε. πᾶν δὲ ἡμιόλιον λόγου καὶ ἡμιτόνιον καὶ δὶς ἐπὶ τρίτον καὶ τετράκις περιττοάρτιον, ὡς ἀχρήσμα καὶ μὴ | πρὸς ἀρετὴν ἀφορῶντα, ἐκ τῆς γραφῆς ἀπεξώρι- f. 125v
σεν. τὰ μὲν καὶ γὰρ ὡς χρήσμα καὶ περὶ τὰ θεῖα ὠφέλιμα τῇ γραφῇ συνεισήνεγκε, τὰ δὲ ὡς περιττὰ καὶ ἀνόνητα ἐς κόρακας ἐξαπέπεμψε. ταῦτα πάντα τῆς πατρικῆς οἰκονομίας καὶ παιδαγωγίας τὰ ἐκτελέσματα. ἡμεῖς δὲ σοί, τῷ πατρί, τί ἀντεισάξομεν, ἢ μόνον εὔνοιαν υἱικὴν ἀντιφιλοτιμοῦντες καὶ ἀντιφιλοκαλοῦντες τὰ σὰ τεράστια; ἔχομεν δέ τι καὶ ἕτερον, ὃ μεῖζον εὐνοίας ἐπίσταμαι· εὔνοιαν γὰρ καὶ δύσνους δοῦλος φόβῳ ἀποπληροῖ· ἡμεῖς δ' ὅμως φιλοτιμότερον σὺν εὐνοίᾳ καὶ προαιρέσιν αὐτοπροαίρετον δώσομεν, ὡς ἂν ἀντιλαμβάνωμεν παρὰ σοῦ τὴν ἀντάμειψιν, εὐχὴν πατρικήν, γνησιότητα υἱικήν, θάρρος καρδιακόν, καὶ εἴ τι ἄλλο ἐκ γνησίου πατρὸς εἰς γνήσιον καρδιακὸν τούτου υἱὸν κάλλιστόν τε καὶ ὑψηλότατον.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Εἰ πνεύματος κίνησις, καὶ φωνή· οὗ δὲ τέλεον σιωπή, οὐκ ἔστιν **II** (XCI)
οὐδὲ πνεύματος κίνησις. τοῦτο λέγουσιν οἱ φιλόσοφοι σὺν ἀντιθέσει ἀντιστροφήν. ὡσαύτως εἰ πίστις, καὶ σιωπή· οὗ δὲ | πνεύματος ὀχλο- f. 126r
κρατία ἐστί, σιωπὴ πόρρω ἀποδίσταται. καὶ γάρ, εἰ φωνῇ πρὸς μικρὸν διετρίψαμεν, σιωπὴν πόρρω ἀπεδιώξαμεν· εἰ τῷ προστάτῃ σοι διαλεκτικῶς, καὶ οὐ πειθαρχικῶς, ὡμιλήσαμεν, στάσεως ἐνεδειξάμεθα ἔμφασιν. ἐνθεν καὶ τὰς τῆς ἀπειθοῦς στάσεως ἐμφάσεις τῇ διακριτικῇ ἀξίνῃ διόλου ῥιζοτομήσαντες κλάδους ὑπακοῆς τῷ πατρὶ ἐκ καρδιακῆς ζέσεως σὺν καρπῷ ἀναφύομεν, σιωπὴν ἀσκοῦντες πρὸς τοῦτον ἐν θείᾳ ὑπακοῇ. καὶ γὰρ σιωπῇ καὶ πίστει κατορθοῦται πᾶν ἀγαθόν· τῇ μὲν παρὰ τὸ ἔχειν οὐσιωδῶς ἐν αὐτῇ τὸ ἀμετάμελόν τε καὶ ἀπερίσπαστον

---

47. immo ἐπάτριτον et περισσάρτιον. || 53. ἀντιφιλοκαλοῦντες scripsi: ἀντιφιλογο|καλοῦντες F. || 55. φιλοτιμώτερον F.

II Argumentum. ' *Oboedientia et obsequium tibi a me in primis debetur; Deus enim ipse ita praecepit* '.

3 sq. ὀχλοκρατ' F. || 6. πειθαρχικῶς scripsi: πειθαρχῶς F.

καὶ τὸ κατ' αὐτὴν μόνην τῶν θείων ἐντρυφᾶν, τῇ δὲ διὰ τὸ ῥεῦμα ταύτην ἀγάπης ὄντως καθεστηκέναι. διὸ σὺν ἀγάπῃ καὶ πίστει καὶ σιωπῇ ὑπακοὴ ἁρμοδίως ἁρμοσθεῖσα καὶ δεσμευθεῖσα, καὶ οἱονεὶ ἅρμα πύρινον τελεσθεῖσα, φέρει τὸν ἀναβάτην ἐκ τῶν χαμερπῶν τε καὶ ὑλικῶν εἰς τὴν πατρικὴν ἑστίαν τὴν ὑπερύψηλον. διὰ ταῦτα πάντα κἀγὼ σιωπὴν ἀσκῆσαι βούλομαι προαιρετῶς· οὐχ ὅτι μὴ ὁμιλεῖν σοί, τῷ θείῳ κηδεμόνι καὶ πατρί, υἱικῶς τε καὶ ἀληθῶς, ἀλλ' ὅτι κέκρικα στέργειν σιωπῇ τὰ θεσπιζόμενα ἐκ τῆς σῆς βροντοηχούσης θείας φω-
f. 126v νῆς δόγματα ὁμοῦ | καὶ διδάγματα, καθὰ καὶ Μωσῆς ἐκεῖνος ὁ παλαιὸς ἐν γνόφῳ καὶ θυέλλῃ καὶ βροντῇ τε καὶ ἀστραπῇ τὰς πυρινολαξεύτους πλάκας ἐδέξατο· καὶ ὄψεις μὲν γὰρ τότε κατεκάλυπτε καὶ γλῶτταν ἐνάρκει· εἰ καὶ φυσικῶς δὲ προνοίᾳ Θεοῦ διὰ τὸ τῆς ψυχῆς αὐτοῦ πειθήνιον πρὸς Θεὸν ὑπῆρχε βραδύγλωσσος, ἀλλ' ὅμως καὶ καρδιακῶς τὴν βραδυγλωσσίαν ἐχρᾶτο τῇ σιωπῇ. διὸ καὶ τὰ νομοθετούμενα ἔστεργεν ὥστε μὴ ἀντιφάσκειν τῷ φάσκοντι· καὶ διὰ τοῦτο ἑτομοκάρδιος ὑπὲρ τοῦ λαοῦ ὑπῆρχεν εἰς παράκλησιν σωτηρίας καὶ φωτισμοῦ, τὴν τῆς ὑπακοῆς σιωπὴν ἀληθινῶς ἔχων ὡς συνεργόν. ὃς καὶ μόνος διὰ τοῦτο Θεῷ ὡς φίλος φίλῳ φιλικῶς διελέγετο. τῷ τοι καὶ ἐν σιωπῇ καὶ πίστει ἀκραιφνεστάτῃ τε καὶ ὑπακοῇ ποδηγέτης θείου δυσαριθμήτου ἔθνους ἐγένετο, σιωπὴν ἀσκήσας ὑπακοῇ. εἰ δὲ καὶ Μωσῆν τὸν θεῖον ὑπακοὴ σὺν σιωπῇ καὶ πίστει καὶ προθέσει νομοθέτην ἔδειξεν Ἰσραήλ, τί οὐκ ἂν ἡμεῖς νομοθετήσωμεν σήμερον, οἱ μηδὲ τοῦ τοῦ Μωσέως ψαύειν μὲν περικαλύμματος ἄξιοι, ὁμιλοῦντες δὲ σοὶ κατὰ χάριν, τῷ χρηστῷ τῆς χάριτος χριστοκήρυκι, ἐν σιωπῇ τε καὶ ὑπακοῇ. ἀλλ' ἐκεῖνος μὲν γνόφῳ θεϊκῆς ἀῤῥήτου δυσκαταληψίας,
f. 127r ὡς ἄν τις εἴποι, | πελαγίσας τὸν νοῦν, νόμον θεῖον ἐν θεοτυπώτοις πλαξὶν ὑπεδέξατο, τὰς σαρκικὰς πρότερον καρδιακὰς δέλτους ἐγκαθαρθείς, κἀντεῦθεν νόμῳ πειθήνιος γεγονὼς ἐνομοθετεῖτο μὲν παρὰ τοῦ Θεοῦ, ἐθέσπιζε δὲ πανσόφως οὗτος λαῷ παμπληθεῖ τε καὶ τῷ τότε οἰκείῳ Θεῷ τὰ τοῖς πολλοῖς ἀδιεξίτητά τε καὶ ἀνεπίγνωστα. τὰ νῦν δὲ πλείω τούτου λέξαι πείθει με τὸ τῆς σῆς ἀγάπης πατρικῆς πρός με ἔμπειρον διαθέσεως· καθαροῦ καὶ γὰρ ἐκείνου καθεστηκότος

---

20 sqq. cfr. Exod. XXIV, 16 sqq. || 21 sq. fort. πυριλαξευτούς? || 23. δε F; malim εἰ δὲ καὶ φυσικῶς κτέ. || 25. Praepositio ante τὴν excidit, nisi mavis τῇ βραδυγλωσσίᾳ. || 34. περικαλύ|μματος F. || 41. immo Θεοῦ? ἀδιεξήτητα τέ F. || 43. καὶ in rasura (ex κατ?) F.

καὶ τῷ φύσει Ἁγίῳ προσομιλοῦντος καινὸν ἦν οὐδέν· καὶ γὰρ τῷ
45 ὁμοίῳ χαίρει τὸ ὅμοιον, εἰ καὶ πόρρω τοῦτο θεότητος καὶ ὑλώδους
σαρκικῆς βαρύτητος καὶ γαιότητος. τὰ νῦν δὲ Χριστοῦ χάριτι καὶ θείᾳ
οἰκονομίᾳ καὶ ἀφράστῳ προνοίας ἀποτελέσματι ἐγγὺς ὑπάρχει φύσις
σαρκὸς καὶ θεότητος. ἐγὼ καὶ γὰρ εἶπα· θεοί ἐστε καὶ γόνοι πάντες
Θεοῦ. εἴπερ οὖν καὶ Μωϋσῆς κατὰ τοῦτο ὡμίλει Θεῷ, οὐκ ἔστιν ὅλως
50 καινόν. ἐμοὶ δὲ καὶ σοί τίς φυσικὴ καθέστηκε κοινωνία καὶ ἁρμονία;
'μὴ βάλετε' καὶ γὰρ 'τὰ ἅγια τοῖς κυσίν' εὐαγγελικόν ἐστι τοῦτο
διάταγμα. πολὺς ὁ λόγος, μέγα τὸ μέσον, καὶ ἡ πρὸς ἡμᾶς πατρικὴ
σὴ συγκατάβασις εἰκονίζει τῇ ὑψηλῇ Χριστοῦ συγκαταβάσει. ἐπεὶ δὲ
καὶ τραπέζης κυριακῆς ψιξ κορέννυσι | κύνα τὸν ἀπευκταῖον καὶ f. 127v
55 τῇ Πέτρου ὀθόνῃ μηδὲν κεκοινωμένον ἀποδέδεικται θεικῶς, τάχ' ἂν τις
τεθαρρηκότερον φαίη, εἰ καὶ κεκοινωμένοι ἡμεῖς τῇ σῇ τραπέζῃ τῶν
ἀρετῶν προσεγγίσαι ἐν χαρμονῇ, ἐξ ἧς καὶ διττῶς δηλαδὴ κορεσθῶμεν
κατὰ ψυχὴν ἔκ τε τῆς τῶν ὄντων τροφῆς καὶ τρυφῆς καὶ τῆς ὑπὲρ
τὰ ὄντα πνευματικῆς ἀμβροσίας καὶ ὑψηλῆς· κἀντεῦθεν καὶ περιφανεῖ
60 ἐσθῆτι σῆς διδαχῆς ἐξυφασμένῃ ἐν λόγοις τὸ ψυχικὸν ἡμῶν κατακαλ-
λυνεῖς σωμάτιον, καὶ φιλοσοφεῖν τὰ θειότατα χορηγήσεις ἡμῖν· καίτοι
γε καὶ συνήθως σαῖς καρυκείαις ταῖς γραφικαῖς τετραχῶς στοιχειώσεις
τοὺς ψυχικοὺς ἡμῶν, ὡς ἄν τις εἴποι, χυμούς, αἱματωθέντος τοῦ ἀν-
δρικοῦ, ζωπυρηθέντος τοῦ λογικοῦ, τοῦ δικαίου τε ὑγρανθέντος πρὸς
65 εὐποιΐαν τῶν ἀγαθῶν, καὶ ναρκωθέντος τοῦ σωφρονικοῦ πρὸς ἀφρο-
σύνην κινήσεως. ἔνθεν δὲ τὸ ἄθλον κατακαλλύνας περιφανῶς καὶ σαῖς
εὐχαῖς τοῦτο πυρηλατήσας, τοῦ σοῦ υἱοῦ καταστέψεις τὴν κεφαλήν,
πολλῶν διαυγῶν λίθων καὶ στιλπνοτάτων μαργάρων τῇ λαμπηδόνι,
οἶμαι, τούτου ὡς ὑπερβαῖνον κατὰ πολύ. ἀλλ' ἐγὼ μέν, εἰ καὶ λαμπρο-
70 φορήσω ταῖς ἀρεταῖς τῇ σῇ πατρικῇ σοφωτάτῃ διδασκαλίᾳ ὁμοῦ καὶ
| παιδαγωγίᾳ, ἀλλ' οὖν καὶ οὕτω στέρξω τὰ θεσπιζόμενα, σιωπὴν f. 128r
ἀσκῶν ἐν ὑπακοῇ. σὺ δέ, πάτερ θεῖε καὶ πάνσοφε, μὴ λήγοις νομο-
θετῶν ἡμῖν τὰ σωτήρια. εἰ δὲ καὶ τὸ ἐπερωτᾶν ὡς τὸ 'ἐπερώτησον
τὸν πατέρα σου' προτρέψεις ἡμῖν, ἐπερωτῶμεν συχνάκις διὰ γρα-
75 φῶν τὴν σὴν εἰλικρινεστάτην πατρικὴν Ἁγιότητα. καὶ γὰρ πέποιθα τὰ

---

45. cfr. *Corp. Paroem.* I, p. 350, adn. 15. || 48. καὶ γὰρ in erasis F. θεοί vix rectum; num θεῖοι? cfr. Paul. Gal. III, 26. || 51. Ev. Matth. VII, 6. || 54. cfr. Ev. Matth. XV, 27. || 55. cfr. Act. Apost. X, 11 sqq. || 56. τεθαρρηκότερον scripsi: θαρρηκότερον in versus initio F. || 60 sq. κατακαλύνεις F. || 66. κατακαλύνας F. || 67. πυριλατήσας F. || 73. sq. Deuteron. XXXII, 7.

ἡμέτερα γράμματα υἱωνῶν σῶν δίκην σὲ ταῦτα λογίζεσθαι. καὶ μέντοι γε καὶ τὰς χεῖρας τὰς ἱερὰς ἐναλλὰξ θεὶς, κἀντεῦθεν σταυροειδῶς, εὐλογήσαις κἀμὲ καὶ τὰ γράμματα, τὰ μὲν πληθύνεσθαί τε καὶ μηκύνεσθαι καὶ ἐπιστημονικωτέρως συντίθεσθαι, ἐμοὶ δὲ τὸ λυσιτελὲς ἐπευχόμενος, οὗ καὶ τύχομεν ἀληθῶς τῇ συνεργείᾳ τοῦ Πνεύματος.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

III. (XCII) Ἁγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ Πατριάρχα·

Καὶ ἔμπορος νοήμων καὶ ἄριστος ἐκ τῶν πορρωτέρω χωρῶν συνάγει εἰκότως τὰς εὐγενεῖς καὶ προσηνεῖς τοῖς γε αὐτόχθοσι περιφανεῖς ὕλας, καὶ φιλόσοφος νοῦς τοῖς ὁμόφροσι τὰς δεκατώσεις ἐκ τῶν ὑπερκειμένων ἀθροίσας φέρει. αὕτη δὲ χρόνου δεῖται ἡ πραγματεία· ἐπειδὴ τὰ μὲν ἐπίσημα διὰ τὴν διάστασιν, αἱ δὲ διὰ ταύτην καὶ τὸ
f. 128v κατὰ φύσιν οὖσαι περιφανεῖς. οὐδένα | δέ τις αὐτῶν ἀποσείεται· τὸ τέλος γὰρ ἄκος τοῦ χρόνου τε καὶ τοῦ διαστήματος. πολλαῖς γοῦν ἐπειδὴ καὶ ἡμεῖς ὁδοῖσι τὰς πορείας ποιήσαντες πρὸς πορρωτέρω πόλιν ἀνήχθημεν (οὐχ ὡς νῦν δηλονότι πρὸς ταύτην πρώτως ἀνήχθημεν, ἀλλὰ καὶ νῦν ὡς πολλάκις), ὀργανικὴν δὴ λέγω, φυσιολογικήν, μαθηματικήν τε καὶ τὴν τούτων ὑπερκειμένην, ἐκεῖθεν δ' αὖ ἐπορισάμεθα καρπούς τινας σιτοδοτοῦντας νῷ καὶ ψυχῇ, διὰ τοῦτο καὶ ἡ βραδυτὴς συνέβη, ὦ μέγα πρόβολε τῆς ψυχικῆς ἡμῶν σωτηρίας, τῆς πρὸς σὲ τῶν ὀφλημάτων συνεισφορᾶς. μὴ ἀπαξιώσῃς γοῦν τοὺς καρπούς, μηδὲ τὰς νῦν ἡμετέρας προσαγομένας σοι ἐμπορεύσεις, δεόμεθα, διὰ τὴν τοῦ χρόνου παρέκτασιν· προεχειρίσθη σοι γὰρ καὶ τὸ αἴτιον. δέξαι δὲ τοὺς ἀδρανεῖς ἡμῶν λόγους, ὡς μαργαρίτας τινάς, καὶ τοῦτο διὰ τὴν διάκρισιν. ἔστι δὲ τὸ ἐμπόρευμα τοῦτο, ἐξ οὗ αὐτομάτως ἀναφανῇ σοι καὶ ἡ προσαγωγή τε καὶ ἡ δεκάτωσις· τρία τινά, δι' ὧν τὸ ἀρι-

---

76. σὲ scripsi: σε F.

III Argumentum. '*De mutuo inter nos amore, ex interiore doctrina nonnulla subtilius conscripsi ut veniam erroris mei a te impetrarem*'.

3. καὶ ante περιφανεῖς suppleverim, nisi forte τοῖς τε pro τοῖς γε scribendum. || 17. προεχειρίσθη scripsi: προεχαρίσθη F.

στον τέλος γίνεται τοῖς ἐν βίῳ, ὀργανικὴν καὶ γεωμετρικὴν καὶ φυσιολογικήν, ἐξετάσαντες εὕρομεν, ὧν σοι προσάγομεν τὴν ἀπόμοιραν, θέλησιν, ἐνέργειαν, ἕλξιν· ὧν ἡ μία κοινὴ κατά γε τὸ πάθος καὶ τὴν ἐνέργειαν, ταῖν | δυοῖν δὲ κοινὴ ἡ ἀντιστροφή, καὶ τοῦτο πάθους τε f. 129r
καὶ ποιήματος ἢ ποιήσεως καὶ παθήσεως. ὡς γὰρ κινήσει γραμμή, γραμμῇ δὲ γραμμή, κινήσει δὲ σχῆμα, οὕτω δὴ καὶ τέλος ταύταις τε καὶ συνάφεια. εὐγενὲς τὸ θεώρημα, ἐπειδὴ καὶ πόρρω τῶν πορρωτέρω. ἔστι δὲ καὶ κατὰ ἀντιστροφήν· εἰ γὰρ καὶ ἐπιφάνεια ποσῷ, ἐπίτασις δὲ ποιότητι, ἐπιφανείας ἐπίτασις ἔστιν ὅτε ποσῷ τινι τελειοποιεῖ τὴν ποιότητα· καὶ τοῦτο ἄρα ἐνεργείας θελήσεώς τε καὶ ἕλξεως. ἤδη γοῦν συνετέθη ἄριστον τῷ ἀρίστῳ· τὰ γὰρ ἀμφότερα πρὸς τὸν πάντη ἄριστον ἐξαγγέλλεται· ἡ μὲν οὖν μία τῆς ὑποκειμένης, καὶ ἡ δευτέρα τῆς πρώτης, ἡ δ' ἄλλη κοινή. σαφήνεια λόγων (οὐδὲ γὰρ παρὰ τιμὴν ἀπεμπολοῦμεν τοὺς μαργαρίτας· τοῦτο γὰρ κλέπτου ἢ τοῦ συμβεβηκότος)· ἡ γοῦν κοινὴ ἐνεργητικὴ καὶ τῶν ἀμφοτέρων, ὅτιπερ ἄτερ ταύτης ἡ μὲν κινηθῇ, τῇ δ' ἄλλῃ πάθος τὸ σύνολον οὐκ ἐπισυμβῇ. ἡ γοῦν μέση συναναφαίνεται ταῖς δυσίν· ἐπὰν δὲ φανῇ, κατ' ἐνέργειαν καὶ ἡ πάθησις γίνεται· αἱ δὲ κινούμεναι δυνάμει ἔχουσι ταύτην, καὶ τῇ μὲν αὗται ἕπονται ἐνεργείᾳ, ταῖς δὲ αὕτη ἐνυπάρχει δυνάμει· ὡς
δέ, ὅταν γραμμαῖς | μὲν τὸ σχῆμα, αὐταῖς δὲ συναναφανῇ καὶ ἡ ἐπι- f. 129v
φάνεια, ἐκ τούτων δ' ἀνέλθῃ τὸ στερεόν, κοινόν ἐστι τὸ τέλος τῶν συνελθόντων, οὕτω δὴ καὶ ταύτης, ὁπόταν ἀκραιφνῶς ἡ μέση μιχθῇ ταῖς δυσί, τὸ ἄριστον τέλος ἐνεργεῖται, πρὸς κοινὸν δ' ἀφορᾷ τέλος. τούτων δὴ τῶν δυνάμεων ποικίλον μὲν τὸ λεγόμενον, ἀλλὰ ποικίλους νοῦ ἔχει καὶ τοὺς σαφηνιστάς. πάντα γὰρ τὰ τοῦ υἱοῦ, τοῦ πατρός εἰσιν, εἰ μή τις τὸν λόγον παραλογίσηται· ὅπου γοῦν καὶ τὰ τρία, ἐκεῖ καὶ τὸ τέλος τῶν ἀγαθῶν· ἐν ἡμῖν δὲ ταῦτα, καὶ διὰ ταῦτα καὶ τὸ τέλος τῶν ἀγαθῶν. θέλησις γὰρ πατρὸς ἕλξις υἱοῦ, ἐνέργεια τοῦ υἱοῦ ἕλξις πατρός· τῶν ἑκατέρων γοῦν τὸ κοινόν, καὶ τὸ πρῶτον τοῦ ἐν ὑστάτῳ, καὶ τὸ δεύτερον τοῦ ἐν πρώτῳ, καὶ τὸ μέσον κοινὸν ὡς εἴρηται· ἤδη γοῦν καὶ τὰ τρία τῶν ἀμφοτέρων, καὶ τὸ τέλος κοινόν. διὰ τοῦτο ἀνθέλξαι τὴν ἀγάπην τῆς Ἀγιωσύνης σου πρὸς ἡμᾶς πεπιστευκότες, προσήξαμεν τὴν πατρικῆς καὶ υἱικῆς σχέσεως ταύτην δὴ τὴν ἀνάμνησιν εἰς λήθην τοῦ πλημμελήματος τελείαν τε καὶ ἀφάν-

30. ἕλξεως scripsi, cl. 23 at 48 sq.: ἕξεως F. || 40 sq. ὡς δέ, ὅταν scripsi: ὅταν δὲ ὡς F. || 43. κοινόν τ' scripserim: κοινόν δ' F. || 46. παραλογήσηται ante correct. F.

τωσιν. δέδεξο δὲ τὴν προσαγωγὴν δὴ ταύτην, ὡς μύρα τινὰ ἢ κό- 55
f. 130r σμον ἐκ μακρᾶς γῆς ἐλθόντα | φιλοσοφίας, καὶ θησαύρισον καλλίστοις σοῖς πυξίοις ἐγκαρδιακοῖς, οὐ διὰ τὴν αὐτῶν περιφάνειαν, ἀλλ' ὅτι ἡμῶν ἐστιν ἡ προσαγωγή (πρὸς αὐτὸ γὰρ ἐθάδας ἡμᾶς ἐποίησας ἐκπαλαι)· καὶ τὴν τοῦ πλημμελήματος συγχώρησιν ἡμῖν ἐξαπόστειλον.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

IV. (XCIII) Ἁγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ Πατριάρχα·

Ἀνέβη Θεὸς ἐν ἀλαλαγμῷ, Κύριος ἐν φωνῇ σάλπιγγος· καὶ συνανέβη τούτοις ὁ ἅγιός μου αὐθέντης καὶ βασιλεὺς ἐκ τῶν δυσμικωτέρων μερῶν τοῦ ἀνυψῶσαι τὰ δρια τῆς ἁγίας τοῦ Χριστοῦ Ἐκκλησίας καὶ πλατῦναι καὶ στηρίξαι αὐτά, καὶ ἐγεῖραι κέρας σωτη- 5
ρίας· καὶ τῇ βασιλικῇ δραχμῇ σὺν τῇ ἱεραρχικῇ στολῇ τὴν ἀρχαίαν δοῦναι ἀποκατάστασιν· ἵν' εἰς αὐτὸ συνδράμωσι τὰ ἐξαίρετα. πολλαὶ δὲ νότου βασίλισσαι ἐλιτάνευσαν τῇ δόξῃ αὐτῶν πρὸ προσώπου αὐτοῦ. πόλεων κατασχέσεις περιβοήτων, χωρῶν καθαιρέξεις, ἐθνῶν κατακυριεύσεις, ἐντρομοι τῶν ἀποστατούντων παλιννοστήσεις, εὐφημίαι τῶν 10
περικύκλῳ, καὶ πάντων γλῶσσαι βοῶσαι τὰ νικητήρια, οὐκ ἐν μέσῳ νεανίδων τυμπανιστριῶν, ἀλλ' ἐν Ἐκκλησίᾳ Χριστοῦ διαπρυσίως τὰ χαριστήρια ἐξαγγέλλουσαι· διότι προπορεύονται τῆς δόξης αὐτοῦ οἱ
f. 130v πλούσιοι | τοῦ λαοῦ, τοῦ πρὶν μὲν ἀποστάτου, ἄρτι δὲ γνησίου τε καὶ μετανοοῦντος· οἱ μὲν εὐνοϊκῷ βαδίζοντες τῷ ποδί, οἱ δὲ ἀγαλλιώ- 15
μενοι, τῆς τυραννικῆς ἐκλυτρωθέντες ζοφώσεως, ἄλλοι δὲ ζωπυρούμενοι διὰ τῶν συνεχῶν εὐεργεσιῶν, καὶ πάντες συναναβαίνουσιν αὐτῷ εἰς τὴν ἑορτήν, δηλονότι ἐκ τῆς τῶν δυτικῶν, ὡς ἄν τις εἴποι, σκοτεινομόρφων ἀρχῶν ἑνώσεως εἰς τὴν τηλεφανῆ λάμψιν τῆς αὐτοῦ χάριτος. ὅθεν καὶ ἡμεῖς αὐτῷ συναντήσαντες, ἐζοφωμένοι καθεστη- 20
κότες τῇ λύπῃ τὸ πρὶν, διόλου κατελαμπρύνθημεν, καὶ διὰ τῆς τῶν

---

55. μύρα F.

IV Argumentum. ' *Patris mei victoria non modo subditorum multitudines, sed etiam omnis Dei Ecclesia laetatur, quae illi in primis cordi est* '.

2. ἀλλαλαγμῷ, ut solet, F. Psalm. XLVI, 6. || 4. δρια corr. ex δρηα F. || 5. Psalm. XVII, 3. || 8. sqq. cfr. Psalm. XLIV, 10. 13. || 11. περὶ κύκλῳ F.

λόγων αὐτοῦ μελιρρύτου ἐκχύσεως τὸ ζοφῶδες τῆς ἀθυμίας ἐξεπλύνθημεν, καθ' ἑκάστην ἔκτοτε χάριτι παρ' αὐτοῦ ἀρδευόμενοι. καὶ γὰρ ὁ μεγαλοβρύτης οὗτος φωσφόρος ταῖς παρ' ὄχθας χώραις ἐνδιατρίψας τῶν δυτικῶν ὠκεανείων μερῶν, καὶ λαβὼν ἐκεῖθεν αὖ τὴν ὑγρότητα, καὶ οἷον ἀνακεράσας τῇ θέρμῃ αὐτήν, καὶ δὴ καὶ πρὸς ἀνατολὰς φερόμενος ὁ ἀειφανής, ἀποπάλλει καὶ ἀποπέμπει εὐχαριστιῶν ἀκτίνων ἑσμὸν πρὸς τὸν τῆς δικαιοσύνης ἥλιον ἄδυτον, τὸν Χριστόν· ὃ δὴ πράττων ὑποδέχεται κατ' εἰσπομπὰς τὰ φῶτα τὰ νοητά, ἀντανακλωμένας ἔχων ἐκ Χριστοῦ εἰς ἑαυτὸν τὰς εὐεργεσίας· καὶ οὕτως ὑπερεκ | λάμπρως ἐναγλαΐζεται, ἡμᾶς φωτίζων ἐν χάριτι. πεποίθαμεν δὲ f. 131r
ὅτι καὶ ἐν μικρῷ τὴν Νικαέων ἴδῃ ὁ νικητής, ὡς ἂν ἕδνα φέρῃ ταύτῃ νυμφικῶς καὶ βασιλικῶς, ἣν πλείστων πλειστάκις πλησμίως ἐνέπλησεν· ἴδῃ δὲ καὶ σὲ τὸν ἀντίτυπον τοῦ συναρήγοντος τούτῳ Χριστοῦ· ἡμεῖς δὲ ἑπομένως τῷ μεγάλῳ ἡλίῳ, οἱονεὶ ὡς θρυαλλίδες ἐξ αὐτοῦ τὰ φῶτα ἔχοντες, συνοδεύοντες καὶ τῶν εὐχῶν τῆς Ἁγιωσύνης σου εὐμοιρήσομεν, τοῦ ἡμετέρου πατρός, τοῦ ἁγίου καὶ θείου καὶ ἱεροῦ καὶ συνηνωμένου ὡς δυνατὸν θεοπρεπῶς τῷ Θεῷ.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

V. (XCIV)

Λύπη μὲν χαρὰν διαδέχεται, χαρὰ δὲ λύπην· καὶ τοῦτο τῆς πολυκυμάντου θαλάττης τοῦ τῶν βροτῶν βίου ἴδιον, φυσικόν, ἰδιαίτατον. εἴρηκα δὲ οὕτως τοῦτο διὰ τὸ οὕτως ἔχειν αὐτὸ τοῦτο καὶ τὴν ὑπερβολὴν ἐκτὸς τῆς μετὰ τὸ πέρας τοῦ βίου ἀληθινῆς βιοτεύσεως. οἷς δ' ἔστι λύπη ἀεί, οὐδεμία λυπήσει λύπη, ὥσπερ οὐδεμία χαρὰ εὐφροσύνην δῴη, ἣ μόνη δι' ἣν πᾶσα ἀποσείεται ἡδονή· ἔστι δὲ αὕτη παρρησία Θεοῦ. ὁπόταν γὰρ ὁ νοῦς διὰ τῶν ἀρετῶν ἐγκυμονήσῃ θεῖα νοήματα, καὶ τῷ πρώτῳ σπεύδῃ πατρὶ ταῦτα προσαγαγεῖν, εἷς ἐστιν ὁ σκο-

---

26. ἀνακράσας F. || 28. ἑσμόν F. || 32. ἕδνα F. || 37. immo εὐμοιρήσωμεν.

V Argumentum. *' Doloris tui maximi ob filium amissum particeps ipse sum, qui te consolari cupio. Tu dignitatis tuae memor, divino nisus auxilio, lacrimis omissis, populi tui curam et divini cultus curas resumes '.*

8. προσαγεῖν sic F.

f. 131v πὸς τούτου, ἀρτιῶσαι | καὶ γεννῆσαι ταῦτα ὁλόκληρα. οἶδα δὲ λίαν καλῶς ὅτι, ὁπόταν περιμίξῃ καὶ ἀνακεράσῃ ταῦτα ταῖς πράξεσι, πρυσφέρει ταῦτα πολλῇ τῇ χαρᾷ, οὐχ ὡς ἀμβλώματα ἄκοντος αὐτοῦ ῥιφέντα καὶ ὡς ἔτυχον, ἀλλὰ δι' ὁλικῆς οἷον σαρκὸς εἰδοποιηθείσης ὁλικῶς τῷ Θεῷ καὶ πατρί. τοῦτο δὲ δεκτικοῦ ἐστι λογισμοῦ καὶ ἀρετῆς γενικῆς. ἀλλάσσει γὰρ τὰ ἐν ζῴοις ὀνόματα ἡ πρᾶξις εἰς πράγματα. ἡ μὲν γὰρ κἂν θῆλυ ὀνομάζηται, ἀλλ' οὖν αὐτὴ σπείρει τὰ κάλλιστα· τὸ δὲ κἂν ἄρρεν, ἀλλὰ δέχεται τοὺς σπόρους ἐκ ταύτης, ὡς ὁ πλατωνίζων Φίλων καὶ κατὰ τοῦτο θεῖος ἀνὴρ εἴρηκεν· ἔπονται γὰρ τοῖς φυσιολόγοις τούτῳ οἱ θάτεροι. πείθομαι δὲ διὰ ταῦτα, ὅτιπερ τὸν ἐμὸν πατέρα οὐδεμία λυπήσει λύπη σαρκός, κἂν (ὦ τοῦ θαύματος) σφοδρά τις ὑπάρχῃ τε καὶ ἀφόρητος ἡ τοῦτον, ὡς ἀκήκοα, λυπῆσαι καταχυθεῖσα. μία γάρ ἐστιν ἡ λύπη, ἣν λυπήσας ἑαυτὸν πολλοῖς ἱδρῶσι καμάτων καὶ ἀρετῆς ἀπεδίωξε, τὴν σαρκὸς λέγω δηλονότι εὐπάθειαν· καὶ μία αὐτῷ χαρᾶς ἡδονή, τὸ θνήσκειν ὑπὲρ τοῦ λαοῦ τοῦ Θεοῦ, ἣν ἀγαπήσας ἐκέρδησε. τίς γὰρ ἄλλος ὡς οὗτος λαοῦ προΐσταται, δ
f. 132r πρῶτον καὶ τίμιον καὶ θείας φύσεως ἰδιαίτατον; | ταπεινώσει, κἂν ὕψει σεμνύνηται, φαιδρυνόμενος, ἀληθείᾳ στεφόμενος, ἀμνησικακίᾳ καθοπλιζόμενος, ἁπλότητι ῥυθμιζόμενος, ἀγαθωσύνῃ βαδίζων, ἱλαρότητι βλεμματίζων, δικαιοσύνῃ δικάζων, ἐλέῳ πλήττων, κεραννύων ἐντολαῖς τὴν συγγνώμην, εἰρήνης προπορευόμενος, ἀοργησίᾳ πομαίνων, πάντα ποιῶν ὅσα καὶ διδαχῆς θείας οὐκ ἀπάδει, ἀλλὰ συνάδει, καὶ φύσεως; ἔχει μὲν γὰρ οὗτος ταῦτα ὡς ἄλλος οὐδείς. τί ἄρα τοῦτον λυπήσῃ τὸν πολλῶν ἡδονῶν χορηγόν; τί δὲ τρώσῃ τὸν ἄτρωτον; τί δὲ τὸν ἀδάμαντα διαρρήξῃ, Θεὸν ὁρῶντα καὶ πρὸς ἐκεῖνον τὴν ὁλικὴν νεῦσιν ἔχοντα; ἀκήκοα γάρ, υἱοῦ μονογενοῦς στέρησις ὅτι τοῦτον λυπῆσαι θέλει, οὐδὲ γὰρ 'ἐλύπησε' λέγω· μηδεὶς δὲ ἠλίθιος ὢν ὅμοιον αὐτῷ κρίνῃ με. ἀλλὰ γενναῖος ἀνὴρ τῷ ἀγωνοθέτῃ τῶν κατὰ χάριν συναγωνισθήτω νῦν εἰς τὸ μὴ θρηνεῖν. υἱοῦ γάρ ἐστι τὸ πάθος, καὶ διὰ τοῦτο πολλῶν δεῖται καὶ τῶν συμμάχων· μέγα μὲν τῇ ὀδύνῃ, ἀλλ' ἡρῷα ψυχὴ τοῦτο δέχεται· ἔχει γὰρ τὴν νεῦσιν ἄλλοσε, οὗ καὶ τὰ κάλλιστα τέκνα τῶν λογισμῶν ταῖς πράξεσι τελειοποιοῦσα ἄρτια φέρει. κἂν αὕτη δὲ ταῦτα πράττῃ, ἀλλὰ καὶ τὸ πάθος σφοδρότατον τὸ αὐτῇ

9. immo ἀρτιᾶσαι. ‖ 10. ἀνακράσῃ F. ‖ 17. cfr. Phil. de Profugis I, p. 553, 38 sqq. Mangey. ‖ 32. τιτρώσῃ F. ‖ 34. μονογεννοῦς F. ‖ 36. κρινῇ F. ‖ 39. ἡρῴα ψυχὴ scripsi (idem enim subiectum verborum δέχεται et ἔχει, φέρει esse oportet); ἡρώα ψυχῇ F.

συμπεσόν. παθὼν γὰρ διδάσκω, κἂν δ πέπονθα | πόρρω· ἔχει δὲ καὶ f. 132v
τὸ μέγα ὑπόμνησιν τοῦ μικροῦ καὶ τὸ σμικρὸν τοῦ μεγάλου καὶ τὸ
μέσον τῶν ἀμφοτέρων· ἐκ τοῦ ἐγγὺς γὰρ καὶ τοῦ σύνεγγυς νοεῖ τις
τὰ πράγματα. τίς ἄρα τοῦτον παραμυθήσεται; πολλοὶ μέν εἰσι, καὶ
πολλοὺς ἐκ πάντων ὑπολαμβάνω, ἕνα δὲ μετὰ τὸν ἕνα Κύριον. ἤθε-
λον πτεροφόρος εἶναι ἢ τῶν ἐμῶν εἷς ἀγγέλων, καὶ τὸν χῶρον κατα-
λαβεῖν, οὗ τοῦ ἄλωνος Ἀτὰδ θρῆνος γίνεται, οὐχ ἵν' ἴδω Ἰωσὴφ πα-
τέρα θρηνοῦντα καὶ παρηγορήσω, ἀλλ' Ἰακὼβ τὸν παῖδα. τίς ἄρα βά-
θος εἶδε σοφίας Θεοῦ; πάντα γὰρ πρὸς τὸ συμφέρον ὄντως οἰκονομεῖ.
ἡρπάγη καὶ γὰρ ὁ θρηνούμενος, ἵνα μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ.
οὐδεμία ἡ λύπη, καὶ αὖθις μεγίστη· ἐπὰν γὰρ ἴδῃ τις τὰ ἐν βίῳ, λυ-
πηθήσεται τοῦτον· εἰ δὲ καὶ τὴν φθίσιν τῶν ἐν τῷ βίῳ, μακαρίσῃ
αὐτόν· οὐδὲν γὰρ ἀκιδνότερον γαῖα τρέφει ἀνθρώποιο. πολ-
λὰ ἔχω λέγειν, τιτρώσκομαι δὲ τῇ λύπῃ· ἐπέχει γάρ μου τὴν γλῶτταν
τὸ πάθος καὶ τὴν φωνὴν ἡ ὀδύνη· τῶν γὰρ πρότριτα λεγομένων ἡμῖν
παλινῳδία δεινὴ τὴν ἡδονὴν εἰς ὀδύνην μετήλλαξε. τίς γένωμαι; τὸν
πέρυσι παρηγορούμην· νῦν δὲ τὸν παρήγορον παρηγορεῖν ἐθέλων οὐ
δύναμαι· διάστασις γὰρ τοπικὴ ἐμποδὼν ἡμέτερον ἔγκειται· λύειν δὲ
θέλων τοῦτο οὐκ ἔχω· βοᾶν ἡ φωνὴ οὐ διήκει· θρηνεῖν ἔχω, ναί.
| πῶς αὐτόθι οὐκ ἔτυχον; ἤκουσά ποτε καὶ Δαβὶδ μετὰ τὴν τοῦ παιδὸς f. 133r
τελευτὴν εὐωχηθῆναι. καὶ αὖθις μετὰ χαρᾶς θλίψεις οὐκ ὀλίγας ἀν-
τάλλαξον τὸ συμβάν. ἱκετεύω, μὴ θρήνει· προσπίπτω, παρηγορήθητι-
δὸς χώραν τῇ σιωπῇ καὶ τὸν θρῆνον μικρὸν ἀνάκοψον. ἐκεῖνα γὰρ
οἷον πρὸς ἄλλους λέγων ἐθρήνουν· νῦν δὲ σοὶ διομιλοῦμαι βοῶν· μὴ
νικήσῃ σε τοῦ θανάτου τὸ πάθος· πάντες γὰρ αὔριον ἀποθνήσκομεν·
μὴ δείξῃ ἡττώμενον τὸν ἀήττητον· φυσικὸν γὰρ τὸ γεγονός. μὴ κα-
ταμαλάξῃ τὸν ἀρεταῖς ἰσχυρόν· ἔχει γὰρ ὃν θρηνεῖς στεφάνους τὰς
ἀρετάς. ἀπάδει γὰρ τὸ θρηνεῖν ἐς τόσσον. καὶ τὸ θεῖον παράγγελμα
'λῦσον τὸν θρῆνον' ἀλάλαξον τῷ Θεῷ, τὸν Ἰὼβ μίμησαι, εἰ καὶ πολὺ
φέρτερος ἐκείνου σὺ ὑπάρχεις τῷ θείῳ ἀξιώματι τοῦ Χριστοῦ, οὗ
ἠξίωσαι ὡς ἀξίων ἀξιώτατος ἄξιος. νόμισον ἡμᾶς ὁρᾶν, καὶ τὸν νοῦν
ἐκ τῆς ὀδύνης τρέψον εἰς ἀγαλλίασιν. ὁ κοινὸς κυβερνήτης παρὰ τῶν
ἐν τῇ τοῦ βίου σκάφῃ μὴ κυβερνοῦ· ὁ καθόλου προστάτης μὴ παρὰ

48. ἀττὰδ F; cfr. Gen. L, 10 sq. || 50. malim οἶδε. || 52. ἐπάν γαρ F. || 54. Hom. σ 130. || 57. παλιννοδία et γένομαι F. || 59. ἐμποδὸν F. || 61 sq. cfr. Reg. II, 12, 20. || 65. λέγω F. || 66. cfr. Paul. Cor. I, 15, 32. || 68. καταμαλλάξῃ F. || 70. ἀλλάλαξον F. || 74. immo κυβερνῶ, vel potius κυβερνᾷ.

τῶν σκεπτομένων ἐν σοὶ προτειχίζῃ τῇ λύπῃ· ὁ φύλαξ μὴ τοὺς φυ-
λαττομένους σὺ λάβῃς συμμάχους, ἔγειρε ἐκ τοῦ πένθους προσκεφα-
λαίου, καὶ τὴν ἀγρίαν τῆς λύπης ἐπιτίμησον θάλασσαν· ἄρον τὸ
f. 133v πηδάλιον τῶν | εὐχῶν καὶ κυβέρνησον τὴν σὴν ὁλκάδα πολύψυχον
τῷ ἱστίῳ τῶν ἀρετῶν, ἐγκαθόρμησον σὺν φόρτῳ πρὸς Χριστὸν τὴν
Ἐκκλησίαν αὐτοῦ, ἣν ἐκτήσατο τῷ τιμίῳ τούτου αἵματι τῷ ἀχράντῳ,
καὶ προσκυνητὰς ἀξίους πάντας Θεοῦ ποίησον, τὸ μέγα τῆς σῆς ἀξίας
κατόρθωμα. ταῦτα λέγοντες νομίζομεν ἔμπροσθεν ἱστάμενοι σοῦ τὰς
νικὰς βοᾶν σοι φωνάς. Θεὸς δέ, τὸ μέγα ὄμμα καὶ κύριον, ὑπὲρ τοὺς
ἡμῶν λόγους ἀξιώσοι σε τῆς παραμυθίας, ὦ καλλίστη μοι κεφαλή,
δέσποτα τίμιε καὶ ἀρετῆς ὑψηλοτάτη περιωπή.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

VI (XCV)

Ἁγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ Πατριάρχα·
Σοφία Κυρίου φωτιεῖ πρόσωπον συνετοῦ, σύνεσις δὲ ἀν-
δρὸς φρονήσεως γέννημα, καὶ ἀμφότερα δὲ Κυρίου βουλήσει διὰ σο-
φίας κατασκευάζονται, ὥς τ' εἰδομεν, ὥς τε πρὸς αὐτοῦ τοῦ λόγου
ἐγνώκαμεν. πότερον οὖν τῇ σῇ προσομιλήσει διὰ ταῦτα καὶ κοινωνίᾳ,
ὡς ἐκ δευτέρου τινὸς Κυρίου ἡμῶν καὶ μετὰ τὸν πρῶτον προσεχοῦς
πρὸς ἡμᾶς, τὰ φῶτα δεδεγμένοι ἦμεν τῆς συνέσεως, πρὶν καὶ ὅτε σοὶ
συνδιήγομεν; καὶ εἴχομεν συνέσεως ἐκσφράγισμα σέ, καὶ ἀνηγόμεθα
πρὸς τὴν ὑπεροχὴν τῷ νοΐ· κἀκ τούτου καὶ πρὸς τὴν τῶν ἀρετῶν
ἀκροτάτην ἐπλησιάζομεν, φρόνησιν δηλαδή· κἀκ ταύτης πόλλ' ἄττα
f. 134r καὶ λίαν ἐπαινετὰ ἡμῖν ἐπορίζοντο· | καὶ ἦν ῥᾴδιος, ἔχω εἰπεῖν, ἔνδον
τῆς ἡμετέρας ψυχῆς χορὸς ἀγαθὸς καλῶν κἀγαθῶν ἱερῶν λόγων, ὃς
καὶ πρὸς σύνεσιν ἀπέτεινε τὰς στροφάς· καὶ ὁ ἐπῳδὸς διὰ ταῦτα οὐ-
δεὶς ἄλλος ἦν, ἢ παιὰν ἱερὸς πρὸς τὸν Κύριον τὸν ἡμῖν γνήσιον δόντα
πατέρα τὴν Ἁγιωσύνην σου. ἐπεὶ δὲ καὶ τὸν ἀστέρα τῆς εὐσεβείας

---

76. sq. cfr. Evang. Marc. IV, 38 sq. || 80. cfr. Ep. Petr. I, 1, 19.

VI Argumentum. ' *Te nunc Ecclesiae ducem, rerumque divinarum principem omnes habebius. Tuis igitur precibus inceptis meis favere summo studio velis* '.

2. cfr. Eccl. VIII, 1. || 4. οἴδαμεν? || 10. πολλάττα F.

ἥλιον σὲ στηριγμὸν ἔδει ποιῆσαι ἐν τῇ Νικαέων, καὶ οἰκοδεσποτῆσαι ταύτης, καὶ οἷον ἐξαπλῶσαι τὸ φῶς, καὶ στεῖλαι τὴν θάλψιν, καὶ ὡραΐσαι, καὶ ἐνθερμᾶναι ταύτην καὶ τὰς πέριξ αὐτῆς (τοῦτο γὰρ οἶμαι πᾶς εἴπῃ καὶ δίκαιον προνοητικῶς λογικῶς τε, ὅτι καὶ ἔμψυχος προσεπ-
20 αφῆκας ἡμῖν τὰς εὐχὰς εἰς ἀνάψυξιν, ὧν αἱ μαρμαρυγαὶ καὶ τὸ κάλλος καὶ ἡ τηλαυγεία ἀποσοβοῦσι τὰ τῶν κακιῶν ὁμιχλώδη ἐπισυμβάματα καὶ τὸν ἄρχοντα τοῦ σκότους τῇ καταπλήξει πόρρωθεν βάλλουσιν, ἡμᾶς δὲ ταῖς δᾳδουχίαις τηλεφανεῖς ἀπεργάζονται καὶ κατὰ τῶν ἀνθισταμένων, οἷων ἄρα καὶ ὄντων, νικητὰς ὑψηλούς)· ἆρ' οὖν οὐ προνοίας
25 εἶποι τις εἶναι τὸ ἔργον τοῦτο καὶ θείας οἰκονομίας καὶ ὅλως ὅλον Θεοῦ; εἶχε μὲν πάλαι Ἰσραὴλ Μωσέα προφήτην μέγαν καὶ ὑψηλόν, ὃς συνωμίλει Θεῷ, ὡς ἄν τις λαλήσῃ πρὸς φίλον αὐτοῦ· ἡμεῖς δὲ νυνὶ | ἀντίτυπον ἔχομεν τοῦ Κυρίου καὶ Θεοῦ ἡμῶν σέ, καὶ οὐ φίλον f. 134v
μόνον καὶ συνομιλοῦντα τούτῳ φιλικῶς ἅπαξ καὶ μετ' αἰδοῦς, ἀλλ'
30 εἰκονιστὴν ἐκείνου καὶ συνεχῆ κοινωνὸν τῆς θείας μεγαλειότητος, λύοντα μὲν καλῶς τὰ ἄλυτα, δεσμοῦντα δὲ τὰ φύσει δεσμοῦ ἄξια, πάντα ποιοῦντα ὅσα δὴ καὶ ὁ θεῖος Λόγος ἐνανθρωπήσας, εἰργάζετο· τοῦτο θαυμαστότερον τῶν θαυμάτων, τοῦτο διαφανέστερον τοῦ ἡλίου· ἔχω εἰπεῖν δὲ σὺν τῇ τῶν φύσει δεδεμένων δέσει καὶ τῇ τῶν ἀλύτων
35 λύσει καὶ μυρί' ἄττ' ἄλλα καλὰ θαύματα καὶ θαυμάτων τέλη ἐν βραχυτάτῳ καιρῷ, εἰπομι δὲ καὶ πρὸ τοῦ καιροῦ· ὅτι καὶ τοσοῦτον ἡ τοῦ ὑμῶν σοῦ προστάτου ἰσχὺς ἔχει τὸ ἐνεργόν, ὑπερήρθη τε τῶν χαμαί, ὥστε καὶ δαίμονας θλᾶν καὶ αἱρετίζοντας ἀνακαλύπτειν τὰ ἔνδον πείθειν, καὶ ὅσον δὴ τὸ θαυμασιώτερον, ἐνώπιον βασιλέων καὶ
40 ἱερέων. ὅρασις γὰρ ἀκοῆς πιστοτέρα, ἢ ταῦτα μεμύημαι, ἢ ἔγνων, ἢ θαῦμα Θεοῦ εἶδον, εἰ καὶ πᾶς ἄλλος διειδεῖς ἔχων τὰς φρένας εἶδε τότ' ἂν ἀχλύος ἐκτινάξας πρῶτον αὐτόν. ἀλλ' ἐκ περιουσίας φθέγξεται ὁ τῆς ἀδικίας γεννήτωρ καὶ τῇ τῶν νεφελοειδῶν αὐτοῦ νοημάτων ὀμβροτοκίᾳ προσβαλεῖ ἡμῖν, | ὥστε καὶ ποντῶσαι θαρ- f. 135r
45 ρῆσαι ἡμᾶς, μὴ τοιοῦτον ἡμῶν ὑπολαμβάνων τὸν πρόμαχον, δηλητήριον ἔπος καὶ κάκιστον· ἀλλ' ἑκὼν ἀέκων, ἢ μᾶλλον ὅλως ἀέκων, θαυμάσειε τὴν ἡμετέραν ἰσχύν. πείσει γὰρ αὐτὸν ἡ ἀλήθεια, καὶ τὸ οἷου Θεοῦ ἐσμεν δοῦλοι καὶ οἷου πατρὸς φοιτηταί, οἰδ' ὅτι ἀκριβῶς

24. ἆρ' F. || 26. μέγα F. || 27. Exod. XXXIII, 11. || 32. θεῖος scripsi: θσ̄ (= θεὸς) F. || 34. δήσει F. || 42. scil. αὐτόν!

διαρρήξει αὐτόν, καί γε τῇ μανίᾳ πλεῖστα φλεγμαίνοντα. ἀλλ' εἰς ταῦτα ἡμῖν μὲν πάντα ἀρωγοῦσί τε καὶ ἀρωγήσαιεν αἱ σαὶ εὐχαί, διαρρήξαιεν δὲ καὶ διαταράξαιεν τὸν δαίμονα ἔμπροσθέν τε καὶ νῦν. ἐπειδὴ καιρῷ τὰ πάντα καλά, καὶ ὅτι ἔν τισι πράγμασι σπουδάζειν ἀρτίως ἐπειγόμεθα καὶ πρὸς διεξοδικώτερα τέλη πραγμάτων τινῶν εἰσιέναι μέλλομεν· εἰς ἅπερ καὶ Θεὸς εὐδοκεῖ καὶ ἡ ἀλήθεια συνεργεῖ καὶ φύσις ἔχει καὶ ἄνθρωποι κατά γε τὸν τοῦ ἀναγκαίου σθένουσι λόγον, καὶ παντοίως τὸ καλὸν ἐν ἐκείνοις ἐστί. διὸ δὴ τῷ θάρρει συντεθέντες, διὰ ταῦτα τὴν παρρησίαν καὶ τὴν αἰδῶ ἀπωσάμενοι, καὶ οὐχ ὡς ἄπληστοι, ἀλλ' ὡς γνήσιοι τὸ ἐρυθριᾶν ἐξώσαντες, τὸν τῶν σῶν εὐχῶν αἰτοῦμεν πολλαπλασιασμόν, ἵν' ἐξ ἀνάγκης ἐκ τούτου ἰσχυρότεροι γεγονότες καὶ εὐκλεέστεροι εἰς τὴν τῶν ἀγαθῶν ἀκρώρειαν φθάσωμεν· |
f. 135v ἐκεῖθεν δ' αὖθις ἐκ τῶν ὑψηλοτέρων καὶ τῶν ἐπὶ πόλον μερῶν τὰς ἀστραπομόρφους ἐμφάσεις δεχώμεθα συνετῶς, καὶ τῇ ἐκ τούτων γανύμενοι συνελεύσει καὶ τῇ τῶν εὐχῶν ἀρωγῇ ἀνδριζόμενοι τὰ ἀνατεθειμένα ἡμῖν εἰς τέλος αἴσιον ἄξωμεν ἐν συνέσει καὶ φρονήσει ὅτι πολλῇ. εἰ γοῦν καὶ τῇ Ἁγιωσύνῃ σου λυσιτελῆ ταῦτα διακρίνονται, δεξώμεθα ἐκ ταύτης καὶ τὴν ἐπίτασιν τῶν εὐχῶν· εἰ δ' ἀρκετῶς ἀρήγειν αἱ οὖσαι τό γε κατ' ἰσχὺν ἔχουσι πρὸς ταῦτα, ἔστω καὶ τοῦτο· οἶδα γὰρ ἀκριβῶς, ὡς ὑπερεκχυθήσονται διὰ τὸ πρός με τῆς γνησιότητος τῆς Ἁγιωσύνης σου ἄπειρον, ἥτις ὑπὲρ πάντα δεσμὸν ἡμᾶς τῇ ἀγάπῃ συνέδησεν ἀδιάρρηκτα.

Περὶ δὲ τῆς τοῦ Παλαιολόγου ὑποθέσεως καὶ τῆς ἐπὶ τὸ ἀγαθὸν συνδρομῆς ἑτέρων ἀγαθῶν καὶ καλῶν εἰς αὐτόν, ἐκ τοῦ ἱερωτάτου γραμματικοῦ τῆς Ἁγιωσύνης σου ἔχεις μαθεῖν. αἱ εὐχαὶ δὲ τῆς Ἁγιωσύνης σου ἀπειράκις χαρισθείησάν μοι εἰς ἄπειρον.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

VII. (XCVI)

Ἁγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ Πατριάρχα·

Πάλαι μὲν ἐτύρβαζε τὰ μέρη τοῦ νοὸς κατὰ τὴν ἀνάλογον τάξιν

---

61. ἐκεῖθενδ' corr. ex ἐκεῖθεν F. || 62. δεχόμεθα F. || 63. γαννύμενοι F. || 64. ἀρρωγῇ F.

VII Argumentum. *' Quamvis tuas epistulas plurimi faciam, te ipsum tamen mallem praesentem audire '.*

πρὸς ἑκάτερα ἑαυτὰ ἕτερα· τίνι τρόπῳ ὁ τηλεφανὴς ἥλιος | τοῦ f. 136r
λόγου τὰς ἀπορροίας καὶ οἱονεὶ ἀκτῖνας ἀποσκοπήσας ἐκ τοῦ δίσκου,
οὐ κατὰ τὸ συνεχές, ἀλλὰ τῆς τῶν μορίων ἐπιπαρεκτάνσεως οὐκ ἐπι-
δέχεται ὡς τὸ σύνηθες; καὶ ἦν ἡ λύσις τὸ ἀπορεῖν καὶ ἡ ἀπορία οὐ-
δεμίαν εἶχε τὴν λύσιν. νυνὶ δὲ καὶ πόρρω τῆς διαπλήξεως ἐξαπίνης
ἕτερα συνήχθη τὰ ἄπορα· ὅπου γὰρ τὰ πρῶτα καὶ ἄμεσα εἶναι ὁ νοῦς
τεθάρρηκε, φραγμοί εἰσι καὶ παραπετάσματα, ὥς τ' εἶδεν, ὥς τε μεμύ-
ηται, ἀντὶ προφορικῶν λόγων τε αὖθις κεκολαμμένους διὰ μέλανος ἐν
χάρτῃ λόγους ὁρᾷ, καὶ τούτους διὰ μέσου καὶ οὐκ ἀμέσως. λελύπηται
διὰ ταῦτα, καὶ τὸ αἴτιον δυστυχίας ἢ συμβάματος εἶναι ἐδόξασε. πολλά
τις ἔχει λέγειν πρὸς τὸν πατέρα· ἐγὼ δὲ τοῦτον κριτὴν ἀφίημι, καίτοι
ὅτι καὶ τέκνα γονεῦσι τὸ δέον θελήσει τούτων ὑπομμνήσκουσιν· ἡμεῖς
δὲ δ κέκριται στέργομεν, ὅτι καὶ δίκαιον, τὸ γράφειν τὴν Ἁγιωσύνην
σου, ὅτι ἀεὶ διὰ τῶν πρὸς τὸν κατὰ δευτέραν φύσιν καὶ θέσει ἡμέτερον
Κύριον δουλικῶν ἀγγελιῶν ἡμῶν καὶ τὴν πρὸς σὲ δουλότητα ἀπονέ-
μοντες ἡμεῖς μαρτυρίαν ἔχομεν ἀναμφίβολον· τὸ δ' ἄλλο πῶς γέγονε,
τοῖς ἀντιτύποις τοῦ | καρδιογνώστου γνωστόν. καὶ γάρ, εἰ μὴ ὁ τῆς f. 136v
τοῦ Διοσωρίτου ἡγουμενεύειν εἴτε τύχῃ, εἴτε θέσει, εἴτε φύσει, μέλλων
νεύσει Θεοῦ, τοῦ καὶ πάντα ἀρρήτοις λόγοις ἐργαζομένου, γραφὴν τῆς
Ἁγιωσύνης σου ἡμῖν διεκόμισε, τάχα ἂν καὶ τὴν ἔνθεον καὶ πνευμα-
τικὴν συνδρομὴν τῶν τοσούτων ἀρχιερέων καὶ τοιούτων λελύσθαι ἐνό-
μισα, καὶ τὸν ἡμέτερον κύριον καὶ πατέρα πρὸς τὴν Νικαέων εἶχον
πορεύεσθαι. τῆς δὲ γραφῆς ταύτης τῆς Ἁγιωσύνης σου καί γε μεγα-
λομάρτυρος οἰκέτῃ συναρηγούσης πρὸς ἡμᾶς πεφθακυίας, τὸν ἡμέτε-
ρον διδάσκαλον καὶ πατέρα ἰδεῖν καὶ πάλιν ἐθάρρυνεν. ἀλλ' ἐγκωμιά-
σω καὶ ταύτην εὐεργετήσασάν με τοσαῦτα, τὸ πολυλογεῖν ἐάσας τῷ
Ἰσοκράτει διὰ τὸ ληρωδέστερον (τοῦτο δὲ λέγω πολλῇ φειδοῖ τοῦ
ἀνδρός)· ὁποία αὕτη· ὁποία ἡ ταύτης συνθήκη· ὁποῖον τὸ τῶν λέξεων
καὶ τὸ τῶν ὀνομάτων τὸ ἐν ταύτῃ κατάλληλον· τίνες αἱ ἀναγκαῖαι
τροπαί, αἱ μεσότητες, αἱ ἀναπταὶ καὶ τὸ διαρμα. τὴν οἰκονομίαν δὲ καὶ
τὸ βάθος τῶν νοημάτων καὶ Πλωτῖνος αὐτὸς ἐθαύμασεν <ἄν>, εἰπερ
ἦν, ὃς ἐν ταύτῃ ἐν παραλληλισμῷ ἐπέκειτο. ἐπαινῶ δὲ καὶ γλῶτταν καὶ
νοῦν | πατρικόν, τά με συνετίσαντα συνετίζοντά τε καὶ ἀεὶ συνετίσοντα, f. 137r
κἂν ἐξ ἐμοῦ οὔποτ' ἂν ἐξέλθῃ εἰς αὐτὰ διὰ τὸ ἐμὸν ἄμουσον ἔπαινος ἄξιος.

---

4 sq. deesse aliquid videtur; non intellego. || 6 sq. οὐδεμία F. || 29. ληρωδέστερον F ex ληροδέστερον. || 33. ἂν supplevi.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

VIII (XCVII) Ἁγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ Πατριάρχα·

Ἄξια λύπης, ἀξίας λύπη. τρωθέντες ψυχὴν τῆς στερήσεως τῆς Ἁγιωσύνης σου, νυνὶ καὶ τῆς λύπης δευτέραν ἔχομεν λύπην· μὴ γνόντες τὸ αἴτιον, ἀλλὰ συμβεβηκὸς εἶναι αὐτὸ κρίναντες, ἐν ἐπιτάσει δὲ λύπης ἀπείρου, καὶ ὅτι ἀσθενείας ἐστὶ τὸ αἴτιον, ἑτέρα συνεισήχθη ἄπειρος λύπη. ἀπείρου δὲ οὔσης τῆς λύπης, ἀπείρου δεῖται καὶ τοῦ ἰατροῦ τό γε κατ' ἐπιστήμην· τοῦτο δὲ σοὶ καὶ μόνῳ ἐστὶ λύειν τῇ κυριακῇ φωνῇ ἀπροσδιορίστως σχόντι ὅσα ἂν λύῃς. τοῦτο δὲ λύσις καὶ δέσις· τῆς μὲν λύπης καὶ πρώτως τῆς νόσου λύσις· δεσμὸς δὲ ὑγείας καὶ ἀρετῆς, ἣν πνέοντες δι' αὐτῆς καὶ αὐτοὶ καὶ τῆς ἡμετέρας πνοῆς τοῦ ἐνύλου τῷ ἀύλῳ δεσμοῦ ὑπερέκεινα κρίνομεν, παιδευόμενοι αὐτὸ τοῦτο καὶ πάλιν διὰ τῶν σῶν ἁγίων εὐχῶν· αἳ χαρισθείησαν καὶ ἐμοὶ καὶ πάσῃ φιλοθέῳ ψυχῇ· τάχιον δὲ ἐν ὑγείᾳ εἶδε ἴδοιμι τὴν Ἁγιωσύνην σου νεύσει Χριστοῦ.

f. 137v τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

IX. (XCVIII) Ἁγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ Πατριάρχα·

Ὑπὸ τῆς δεινῆς νόσου καὶ τῆς ἑπομένως ἀκολουθούσης ταύτῃ νοσάνσεως ἀμελῶς διατεθέντες ἡμεῖς οὐκ ᾔδομεν τῷ πατρὶ τὰ πρὸς τῆς ἡμῶν ψυχικῆς ἁρμονίας κινήματα· κακίστως δὲ διὰ ταῦτα ὁδεύοντες καὶ ἀλγοῦντες τὸ σωματικὸν καὶ ψυχικὸν ξυμφυὲς ἐπλήσμονες τῆς κεφαλῆς ἐγεγόνειμεν ἔνθεν κἀκεῖθεν παρακρουόμενοι, καὶ τὴν ἀρχὴν τὴν δι' ἧς συνίστανται πάντα μηδόλως βλέποντες. ἐπεὶ δὲ καὶ

VIII Argumentum. ' *Tuae valetudinis bonum nuncium expecto* '.

4. συμβεβικὸς F.

IX Argumentum. ' *Recuperatae salutis meae nuncium accipe, et Deum ora pro me ut valeam semper* '.

In titulo τοῦ αὐτοῦ evanuit in F.

Πνεῦμα Χριστοῦ πυρίναις γλώσσαις τὰ ἀσθενῆ κατεπύρσευσε, ποτὲ δὲ καὶ τὰ μεγάλα πυργώματα ὑποκάτω φαράγγων ἐποίησεν, ἀντήλλαξε τοῦτο καὶ εἰς ἡμᾶς, τὴν νόσον τε καὶ τὴν ὑγείαν, καὶ τὴν μὲν ὁλοκληρεστάτην ἐχάρισε, τὴν δέ γε πόρρω ἐποίησε. καὶ βαίνομεν εὐχερῶς, τῷ Θεῷ καὶ σοὶ τῷ πατρὶ τὴν εὐχαριστίαν προσφέροντες, εὐμελῶς, ὡς ἂν τις εἴποι, καὶ δεξιῶς ὁδεύοντες καὶ τὰ τῆς φιλοσοφίας πρεσβεύοντες, ᾗ γεγήθαμεν, ἣν πνέομεν, ᾗ ζῶμεν, ἣν καὶ προκεκρίκαμεν κόσμου παντός. διὰ ταῦτα οὖν τῶν δεινῶν ἀνασφήλαντες καὶ πρὸς τὴν οἰκείαν βαδίζοντες ἀκλινῆ διαρτίαν ταῖς σαῖς εὐχαῖς μετὰ τοῦ εὐμελεστάτου δομεστίκου | καὶ πανεντίμου τὴν ἡμῶν πρωτίστην ἐπιστολὴν τὴν πρὸς τὴν Ἁγιωσύνην σου ἐκ τῆς νόσου ἐλευθερωθέντες ἤδη στέλλομεν, εἰδότες ἀκριβῶς ὅτι καὶ αὕτη πρὸς τὸ θεῖον ἐν ἐμμελείᾳ πολλῇ λιτὰς προσφέρει εὐχαριστηρίους τε φωνὰς καὶ ἱκετηρίους περὶ ἡμῶν, ἵνα καὶ εἰς τὸ ἑξῆς ἐμμελῶς καὶ θεοφιλῶς καὶ ζῶμεν καὶ πορευώμεθα. f. 138r

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

X. (XCIX)

Ἁγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ Πατριάρχα·

Πᾶσα ἀνάγκη τὸν λατρευτὴν τῆς εἰκόνος διὰ τῆς λατρείας οἰκειοῦσθαι ὄντως πρὸς τὸ πρωτότυπον· ἀνάγκη δὲ πᾶσα καὶ ὄντως τελικωτάτη ὁδός, τὰ μέλη ἀριδήλως ἑνοῦσθαι τῇ κεφαλῇ καὶ τοῖς ταύτης συνάγεσθαι καὶ ἑνοῦσθαι παθήμασιν, ἑπομένως καὶ συναλγεῖν τοῖς ἐκείνης ὀδυνηροῖς πολλῷ πλέον, ἢ τῶν ἐγγιστα πρὸς αὐτὰ ἀνιαρῶν καὶ δεινῶν. καὶ γὰρ ὁ μὴ τὴν εἰκόνα φέρειν ὅλως λύπην παραχωρῶν, οἵαν ἂν πρὸς τὸ πρωτότυπον οὐκ ἐνδείξαιτο σπουδὴν καὶ προαίρεσιν; πάντως καὶ σώματος καταφρονήσῃ, καὶ πνεῦμα αἰχμαλωτίσῃ, καὶ ὅλην σχεδὸν ἰσχὺν ῥοπῇ μιᾷ καὶ ἀκαριαίῳ ὥρας καιρῷ δώσει εὐκόλως διὰ τὴν τοῦ πρώτως καὶ ὄντως προσκυνουμένου καὶ δοξαζομένου θείαν

---

8. γλώσ^{σ}αις F. Cfr. Act. Ap. II, 3. || 9. cfr. Hesai. XL, 4.

X Argumentum. ' *Te Dei viventem quasi imaginem habemus, te ducem vitae nostrae putamus, tibi obsequentes caeleste praemium adepturi sumus* '.

2 sq. cfr. Basil. Magn. vol. IV (= *Patrol. Gr.* XXXII) p. 149 c Migne. ||

11. πρω$^{τ'}$ F.

f. 138v θειαν τιμήν. καίτοι γε καὶ οἱ περὶ τὰς τέχνας | καταγινόμενοι καὶ τῆς
τῶν βαναύσων τυχόντες μερίδος πρότερον ἐν φυλακῇ τὸ τῆς τέχνης
οἰκονομητικὸν καὶ ἐκτελεστικὸν ὄργανον εὐτρεπίζουσιν ὡς εἰς τέλος
τῶν βεβουλευμένων διὰ τούτου χαρμονικῶς τύχωσιν· μετέπειτα δὲ
τούτων προφανῶς τρυγῶσι τὴν ἡδονὴν καὶ τυγχάνουσι τοῦ καλοῦ καὶ
τοῦ ἐκ τῶν ὑποκειμένων διὰ τῶν ὀργάνων τέλους εὐμοιροῦσιν ἀληθι-
νῶς. καθὼς καὶ οἱ τὴν εἰκόνα τιμῶντες καὶ πρὸς αὐτὴν ἐμψύχως ὁλι-
κῶς ἀναγόμενοι διὰ ταύτης πρὸς τὸ πρωτότυπον ὅση δύναμις, εἴπερ
εἰσὶν ἄξιοι, ἀνατρέχουσιν. ἀλλὰ καὶ διὰ ταύτης οἰκειοῦνται πρὸς τὸ
κυριώτερον τοῦ εἰκονίσματος πλήρωμα. ἀντικρυς γοῦν τῶν προειρη-
μένων κἀγὼ τῷ πρώτῳ φωτὶ ἐκ ψυχῆς ἀληθινῶς θέλων οἰκειῶσαι
ψυχὴν τὴν ἐμήν, σὲ τὸ ἐκτύπωμα τούτου καὶ ὄντως ἐκμαγεῖον ἀλη-
θινὸν καὶ ἰσότυπον κατὰ χάριν καὶ θέλησιν καὶ θείαν ὄντως σφραγῖδα
προσκυνῶ καὶ σεβάζομαι. σὺ γὰρ ὅλως εἰκὼν τοῦ Χριστοῦ καὶ ὄντως
ᾠκειωμένος αὐτῷ εἰκονικῶς ὁμοῦ τε καὶ κατὰ θέλησιν. σὺ εἶ ὁ μεσί-
της Θεοῦ· διὰ σοῦ καὶ γὰρ πᾶσα λατρεία τῷ κτίστῃ, ὁρμὴ καθαρω-
τάτου μύρου ὥσπερ, προσάγεται. χρὴ καὶ γὰρ ὅλως ἐκ τῶν οἰκείων
f. 139r λαμβάνειν τὰ ὁμοούσια καὶ διὰ τῶν οἰκείων ἕλκειν τὰ | ὅμοια. ἀλλὰ
σὺ ἡμῖν κατὰ μὲν τὴν τῆς σαρκὸς ὑλικὴν κρᾶσιν καὶ σύναρσιν ὁμοού-
σιος, κατὰ δὲ χάριν θείαν καὶ θέλησιν καὶ τῶν πολυομμάτων, ὡς ὁ
ἐμὸς νοῦς ἐστοιχείωσε τοῦτ' αὐτό, ἀληθῶς ὑπερίπτασαι· πάντας καὶ
γὰρ ἀληθῶς ὑπερῆρας τῇ ἑνώσει τοῦ πρωτοτύπου σου. καὶ γὰρ ἡ σὴ
ἀρετὴ καὶ ὄντως ἀληθὴς τοῦ συνειδότος ἡγιασμένη διάκρισις ἀνῆψε
πυρσόν, τὴν τῆς ψυχῆς σου λαμπάδα τὴν εὐπρεπῆ, ἣν καὶ οὐχ ὑπὸ τὸν
μόδιον παρὰ τοῦ ἀντικειμένου κρυβῆναι συνεχώρησεν ὁ Θεός· ἀλλ' ἐπὶ
τὴν λυχνίαν τὴν ἀρχικήν, τὴν φωταυγῆ, τῆς τοῦ Χριστοῦ μου νύμφης,
τῆς Ἐκκλησίας, οἷα πυρσὸς ἀκοίμητος, ἐπεκάθισας καὶ πάντας τοὺς ἐν
τῇ τῆς σῆς ἀγάπης ᾠκειωμένους οἰκίᾳ φωτίζεις οἰκειακῶς δι' εὐχῆς,
δι' ἀρετῆς, διὰ νουθεσίας, διὰ τῆς καθ' ἑκάστην ἐπιμελείας, διὰ μιμή-
σεως, καὶ ἁπλῶς εἰπεῖν διὰ πάσης ἀρετῆς οἰκειοῖς αὐτοὺς πρὸς Θεόν.
σὲ καὶ γὰρ ὅλως ὁρῶντες, ὁρῶμεν τὸν κτίσαντα· εἰκάζεις γὰρ αὐτὸν
τῇ ὄντως ἀληθινῇ καὶ θεομιμήτῳ πραότητι, εἰκάζεις δὲ καὶ τῇ οὐσιώδει
εὐποιΐᾳ καὶ χάριτι. φαιδρυνόν μου τὴν κεφαλὴν σαῖς εὐχαῖς ἐλαίῳ
καθάρσεως, ἄλειψον δὲ τῆς ψυχῆς μου εἰσόδους τὰς μερικὰς μύρῳ
f. 139v τῷ διὰ τῶν σῶν μοι, ὡς πεποίθαμεν, καθ' ἑκάστην | προχεομένων

35 sqq. Ev. Matth. V, 15.

εὐχῶν, τὰ τῆς ψυχῆς μου αἰσθητήρια τῷ τῆς σῆς παρρησίας πρὸς Θεὸν ἐμπύρῳ συναρμόσας εἰς ἀρετὴν ὅλως ζωπύρησον· καὶ γὰρ νενεκρωμένα τῇ ἀναισθησίᾳ ὑπάρχουσιν. ἀλλὰ καὶ τὸ σταθηρὸν νεύρωσον, εἴπερ τῆς σοὶ συνεζευγμένης Ἐκκλησίας, ὡς οἶδας, γόνος εἰμί. ὑπὲρ τῆς μητρὸς καὶ γὰρ ἀεὶ προμαχήσομαι, συναρηγουσῶν μοι τῶν σῶν ἀδιαδόχως εὐχῶν πατρικῶν· ἀλλὰ μηδὲ τῇ τῶν ἀντιπάλων παραχωρήσῃς, ὦ πάτερ, ψυχὴν τοῦ ὄντως ἀνθρώπου συνελεύσει τοῦ σοῦ υἱοῦ λυπῆσαί τι πρὸς καιρόν. ἐπατίμησον τῷ θυμῷ καὶ τῷ λόγῳ ἀσφαλῶς οἶδα ὡς στήσῃς τὴν φοράν· τὸ δὲ τῆς ἐπιθυμίας ἰδίωμα νυμφικῶς πρὸς τὴν ἁγίαν τοῦ Κυρίου συναγωγὴν συγκατάταξον, τὸν λόγον πρὸς τὸν λόγον δι' εὐχῆς εἰλικρινοῦς χειραγωγήσας σύναψον, καὶ ὅλως εἰπεῖν πρὸς ὃν εἰκονίζεις Λόγον ὁλικῶς ἐξομοίωσον. οἰκείωσον δὲ τοῦτον ὡς ὄντως ᾠκειωμένος αὐτῷ ἐν παντί, ἕλκυσον τὸ μὴ ὄν, ἐκτέλεσον ὥσπερ ὄν, ἐξ ἀναξίου ἄξιον σύναξον, εἰς τὴν οὐράνιον καὶ θείαν συναγωγὴν ὡς ὄντως στόμα Χριστοῦ. ἀλλὰ καὶ σαῖς εὐχαῖς κατὰ τῶν ἀντιπάλων ἐνίσχυσον, ἵνα καὶ ἐν μεγίσταις πραγμάτων φοραῖς οἱονεὶ χύδην ἐκκενουμέναις πρὸς τὴν τοῦ Κυρίου συναγωγὴν | ὡς f. 140r
υἱὸς τῆς μητρὸς στηριζόμενος προμαχήσω στερρῶς, καὶ συναλγήσω τῇ ὄντως μητρὶ ὡς ὄντως δοῦλος θεῖος αὐτῆς, καὶ σοὶ τῷ πατρὶ ἀπονέμω πᾶσαν ὑπακοήν, οὐ κατὰ τὴν τοῦ 'ἐγὼ κύριε' μὲν εἰπόντος, οὐκ ἀπελθόντος δέ· ἀλλ' ὃ γέγραφα ἅπαξ ὑπὲρ τῆς τοῦ Χριστοῦ μου Ἐκκλησίας προθύμως ἀποθανεῖν, εὐχαῖς σαῖς στηριζόμενος ἀεὶ ἐκπληρῶ· ἵνα, εἰ ὑπὲρ τῶν τοῦ προστάτου τοῦ χριστωνύμου λαοῦ βουλευμάτων ὅση δύναμις προμαχῶ, ἔξω θεῖον ὄντως μισθόν. εὐχαῖς δὲ τῆς σῆς πατρικῆς ὡς εἰπεῖν οἷον οὐσιώδους γνησιότητος τῷ πρώτῳ πατρὶ γνήσιος γόνος ἐκτελεσθῶ καὶ τῆς αὐτοῦ βασιλείας κληρονόμος, κἂν πρός με τοῦτο ἀνάξιον.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Ἁγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ Πατριάρχα· **XI.** (C)
Καὶ ποιμένες μὲν πρότερον ἐνασχολούμενοι περὶ τὰς τῶν αἰδεσι-

66 sq. Ev. Matth. XXI, 31.

XI Argumentum. *' Ut pastor gregis, ita tu omnium nostrum curam habes. Te rogo ut Macarium monachum archimandritae dignitate velis insignire '.*

μωτέρων ποιμνίων μάνδρας τε καὶ ἀγέλας, ὡς θεμιτὸν καὶ ταῖς τῶν ὀψιγόνων ἀρνῶν διατριβαῖς τε καὶ πεδιάσι πρὸς φυλακὴν προνοητικῶς τελοῦσι καὶ εὐτρεπίζουσιν· ὥστε καὶ τῇ τῶν προτιμωμένων πράξει ἐνασχολούμενοι τοῖς νεαροῖς ἀρνάσι τὴν σωτηρίαν ἀπεργάζονται, ὃ καὶ μάλιστα ποιμένος ἐστὶν ἰδιαίτατον· καὶ γὰρ καὶ τῇ τῶν παλαιτέρων
f. 140v ποιμνίων τὴν σχολὴν | διεξιόντες ἀσφαλείας ἕνεκα φυλακῇ, καὶ τῶν ἀπαλωτέρων προνοοῦνται, καὶ ἑτοιμάζουσι καθά που καὶ ῥητὸν προφητικὸν βασιλικὸν ἀπεφήνατο· ‘ποιμανεῖς’ καὶ γὰρ ‘αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ’ τῷ προφητευομένῳ προανεφωνεῖτό τε καὶ ἀνεκράζετο· καὶ μέντοι καὶ ποιμαίνει ποιμαίνων ὁ προφήτης καὶ τὸ θεσπιζόμενον τοῦτ’ αὐτὸ πόρρω προφητεύων ἐκελάδει τε καὶ ἐστήριζε. διὸ καὶ σιδηρᾷ καλαύροπι διδαχῆς καὶ παιδαγωγίας καὶ ἐντολῆς ὁ πρῶτος ποιμὴν διολέσας τὸν αἴσχιστον σκύμνον ὁμοῦ τε καὶ Σατανᾶν ἀντεισάγει ποιμένας χάριτι πρωτοθύτας καὶ ἱερεῖς. ἀλλὰ καὶ ταῖς ἀγγελικαῖς δυνάμεσι ταῖς λειτουργικαῖς οἷον ἐνατενίσας καὶ τῇ εὐρύθμῳ ἀναλογίᾳ τὸ ἱερὸν βρότειον ἄθροισμα ἀναλογισάμενος χαρισμάτων διανομὰς καὶ διακονιῶν συνάξεις καὶ καταστάσεις συνέταξεν ὁ ὑπέρθεος, ἀμέλει καὶ πατέρας καὶ διδασκάλων πατέρας καὶ πατριάρχας ἀνέδειξε τὸ θαυμάσιον. ἔνθεν τὰ μὲν ἐκ τῶν οἱονεὶ χαμερπεστέρων καὶ τῇ τῶν κατωτέρων χώρᾳ πλησιεστέρως διατριβόντων ἀνάγει πρὸς τὰ θειότερα τάγματα, τὸ δ’ αὖ ἐξ ἐκείνων πρὸς τὴν ὑψηλὴν ὑπεροχήν, τὴν θείαν ὁμοῦ
f. 141r | καὶ δεσποτικήν, ἀρίστως ἐπαναφέρων τῷ πατριάρχῃ ἁρμοδίως ἀναμιμνήσκει τῶν ὀλισθημάτων. τῷ τοι καὶ μεσίτῃ τῷ πατριάρχῃ χρησάμενος ὁ Θεάνθρωπος κατ’ εἰκόνα λογικῷ αὐτοῦ προβάτῳ δωρεῖται τὴν σωτηρίαν καὶ ἐν τῇ τῶν μερικῶν ποιμνίων ἀναλογικῇ καταστάσει σωτηριῶδες φάρμακον τῇ φιλανθρωπίᾳ συγκερασάμενος σῴζει ὄντως τὸ πλανηθέν.

<K>αὶ ταῦτα μὲν οὕτως. ἐπεὶ δὲ καὶ τῇ σῇ πολλῇ Ἁγιότητι ἄνωθεν τὸ πατρικὸν ἀξίωμα ἐκ Θεοῦ δηλαδὴ ἐγκεχείρισται καὶ τῇ συνεχεῖ διδαχῇ ὡς εἰπεῖν ἐνδιατρίβων τῶν ὑψηλοτέρων θεωριῶν τε καὶ λόγων ἐθέλεις καὶ ἡμᾶς τοὺς γνησιωτάτους ἄρνας περιέπειν πατρικῶς καὶ ποιμαντικῶς, ὦ πάτερ θεῖε καὶ ποιμένων ἄριστέ τε καὶ κάλλιστε, τούτου χάριν ὑπερεξαίρομέν σε πάντων ἄλλων κατὰ πολύ. ἀλλ’ ὦ τῆς οἰκο-

9. ἀπαλωτέρων F. || 10. Psalm. II, 9. || 15. σκῦμνον F. || 27. ἀναλογῇ F. || 30. *Καὶ* scripsi: *αἰ* in versus initio F. || 31. *συνεχεῖ* scripsi: *συνεχῇ* F.

νομίας, ὦ τῆς θεοσοφίας. καὶ γὰρ ἐν ἑτέροις, πρωτοθύτα, ἐνασχολούμενος πράγμασι καὶ τοῖς τῶν αἰδεσιμωτέρων ποιμνίων καὶ πρωτίστων ποιῶν ἀρίστως τὰς διδασκαλικὰς ποιμάνσεις καὶ παιδαγωγίας, οὐδ' ἡμᾶς ἀποιμάντους ὅλως κατέλειψας. διὸ καὶ τὸν προσεχῆ ποιμένα τουτονί, τὸν ἐν μακαρίοις μοναχὸν καὶ ἐν μοναστα῀ς ὄντως Μακάριον, προσεχέστατον ἡμῶν ποιμένα οἰκονομικῶς προεβάλου, θειότατε· καὶ τῇ | πνευματικῇ χάριτι τοῦτον ὅλως περιτείχισας, ἵνα καὶ τῇ ῥάβδῳ f. 141v τὰς τῶν λύκων ἐφόδους ἐκδιώκῃ καὶ ἀποκρούηται, καὶ ἡμᾶς ποιμαντικῶς καὶ θεοφιλῶς ποιμαίνῃ ἐπ' ἀρετῶν πόαις καὶ ἄνθεσιν. ἀλλ' ἐπειδὴ 'αἰτεῖτε καὶ δοθήσεται, καὶ εἰ ζητεῖτε εὑρήσετε' Χριστοῦ στόμα ἐθέσπισεν, αἰτῶ σοὶ τῷ πατρὶ καὶ ποιμένι τῷ ὑψηλῷ, ἵνα καὶ τῷ τοῦ ἀρχιμανδριτάτου ἀξιώματι τὸν προσεχῆ τοῦτον ποιμένα περικαλλύνῃς καὶ καλλωπίσῃς καὶ αἰδεσιμώτερον καταστήσῃς τῇ χάριτι, τὸ μὲν ἵνα καὶ τὴν ἡμετέραν αἴτησιν ἐκτελέσῃς πρώτῃ φωνῇ, τὸ δὲ ἵνα καὶ οὗτος ὁ ὄντως Μακάριος ταῖς ἐκ τῶν μανδρῶν διατριβαῖς καὶ ποιμάνσεσιν ἐπιστημονικωτέρως ἕξει τὰ τῆς ψυχῆς, εἶθ' οὕτως καὶ ἡμᾶς, τοὺς σοὺς ἐκλελεγμένους ἄρνας, θεοπρεπέστερον ποιμανεῖ. ταῦτα σοὶ τῷ πατρὶ γόνος γνήσιος ἐξαιτεῖ πεποιθὼς ὡς οὐκ ἂν λίθον ἄρτου δίκην δέξηται πρὸς πατρός· τὰ δ' ἄλλα πάντα στόματι φθέγγεται ὁ Μακάριος, καὶ πέποιθα τελεσθῆναι ταῦτα παρὰ τῆς σῆς Ἁγιότητος εἰς ἡμετέραν ἀρέσκειαν καὶ τὴν τοῦ γήρως τούτου ἀνάπαυσιν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Ἁγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ Πατριάρχα· **XII** (CI)

Ὅτι μὲν παρῆλθε καιρὸς καὶ γραφὴν τῷ ἡμετέρῳ | πατρὶ οὐκ f. 142r ἀπεστάλκαμεν ὡς ἡμᾶς ἄλλοις ἀφοσιῶσαι διὰ ταύτης τὸ σέβας, καλῶς καὶ αὐτοὶ γινώσκομεν καὶ ἡμῶν λίαν καταγινώσκομεν· ὅτι δὲ καὶ γράφοντες καὶ μὴ γράφοντες οὐ διστάμεθα τῆς Ἁγιωσύνης σου, ἐν

45. Ev. Matth. VII, 7. Luc. XI, 9. ‖ 53 sq. cfr. Ev. Matth. VII, 9. Luc. XI, 11. ‖ 54. immo φθέγξεται vel φθέγγηται?

XII Argumentum. ' *Etsi ad te rarius scribo, nihil tamen amoris et obsequii a me tibi velut patri debiti umquam imminuitur.*

Κυρίῳ θαρροῦντες λέγομεν. εἰ γὰρ καὶ τὸ σῶμα διὰ τὸ διάστημα τῆς ὁδοῦ τὸ χρέος οὐκ ἀπονέμει, ἀλλ' ὁ νοῦς ἐκεῖθεν ὁρᾷ· εἰ δὲ καὶ ἡ χεὶρ ἐν καιρῷ ναρκᾷ πρὸς γραφάς, ἀλλ' ἡ καρδία τὴν σχέσιν τείνει πρὸς τὸν ποθούμενον. οὐδεὶς γὰρ ἕτερος πόθος, ὡς πατρὸς καὶ υἱοῦ, κατ' ἄμφω κατάλληλος καὶ τὸ ὅλον ἀθόλωτος. ἐγὼ δὲ καὶ ἰδικῶς τὸν ἡμέτερον πόθον ὑπερεξαίρω, ἐπειδὴ τῶν συνήθων ὑπερανέστηκεν· ἔχει μὲν γὰρ καὶ τὸ τῆς υἱότητος καὶ πατρότητος ἴδιον, ἔχει δὲ καὶ τὸ τῆς φιλίας ἀντίστροφον, πρὸς τούτοις δὲ μᾶλλον καὶ ὑπὲρ ταῦτα τὸ πνευματικὸν καὶ ἐξαίρετον· ἐν τάξει γὰρ ἡ ἡμετέρα φιλία δεδόμηται, προσεχῶς οὖσα περὶ τὰ πρὸς ἡμᾶς, πόρρω δέ γε ὅτι διὰ τὸν πόρρω τε καὶ ἐγγύς, τὸν Υἱὸν τοῦ Θεοῦ. ἐν αὐτῷ ἡ ἡμετέρα γάρ ἐστι φιλία καὶ ἕνωσις, ὅτι οὗτος μέσον ἡμῶν. ἱεραρχία γὰρ καὶ βασιλεία, ὡς ἐμοὶ δοκεῖ, ἀδελφαί, καθὰ καὶ ψυχῇ τὸ σῶμα συνέζευκται. ἡ μὲν
f. 142v *γὰρ θειοτέρα, τὸ δὲ ὑλικόν· | νοῦς δὲ αὐτῶν ἔφορός τε καὶ ἔξαρχος, καθὰ δὴ καὶ Νοῦς ὁ μέγας ἐκεῖνος καὶ τὰ τούτου, Λόγος τε καὶ τὸ Πνεῦμα, δημιουργά τε καὶ ἔφορα, οὐχ ὡς ἴδια φύσει, ὡς τῶν ἄλλων ὁ νοῦς, ἀλλ' ὡς κύρια φύσει τῶν δι' αὐτῶν. ταὐτὸν γάρ ἐστι τὸ τῶν δι' αὐτῶν ἤτοι πάντων εἰπεῖν· ἐπειδὴ πάντα δι' αὐτῶν τε καὶ παρ' αὐτῶν. οὕτως οὖν ἐχόντων τῶν πραγμάτων, ὡς εἴρηται, καὶ ἡμῶν ἐν τῇ ἀγάπῃ μενόντων τοῦ Υἱοῦ τοῦ Θεοῦ, τάχ' ἂν τις εἴποι ὑπερανῳκισμένην τὴν φιλίαν ἡμῶν τῶν κατά γε τὴν ὕλην φιλούντων τε καὶ ὑπερηρμένην. διὸ γραφαὶ μὲν καὶ ἀγραφίαι οὔτε τῆς ὀντότητος ταύτην διστᾶσιν, ἧσπερ ἔτυχεν, οὔτε μὴν ἀλλοιῶσαι ταύτην πεφύκασιν· ἡδραίωται γὰρ ἐν τῇ πέτρᾳ, Χριστῷ, ᾧ τὰς ψυχικὰς ἡμῶν καὶ σωματικὰς κινήσεις νηπιόθεν προσαναθέμενοι φυλαττόμεθα ἕως δεῦρο, θαρροῦντες καὶ εἰς τὸ ἑξῆς ταῖς σαῖς ἁγίαις ἐπιτυγχάνειν τούτου εὐχαῖς, ὦ καλλίστη μοι κεφαλή, δέσποτα τίμιε καὶ ἀρετῆς ὑψηλοτάτης περιωπή.*

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XIII (CII)

Παναγιώτατέ μου δέσποτα καὶ οἰκουμενικὲ Πατριάρχα·

Τὸ ἀσθενεῖν τὴν Ἁγιωσύνην σου ἡμέτερον ἄλγος ἔχομεν ἀνυπό-

---

15. *τὸν* scripsi; *τῶν* F. || 18. *ψυχῇ* scripsi: *ψυχὴ* F. || 22 sq. *τῶν δι' αὐτῶν* scripsi: *δι' αὐτῶν, τῶν,* F. || 28. *διστᾶσιν,* scripsi: *διάστησιν* F. || 28 sq. cfr. Ev. Matth. VII, 25. || 31. *τοεξῆς* F.

XIII Argumentum. *' Te aegrotare graviter ferimus. Quae de me invidi scripserunt nulla ex parte vera esse facile senties.'*

φορον· τὸ θάρρος δὲ πρὸς Θεὸν καὶ τὴν | νόσον λυθῆναι πείθει καὶ f. 143r
ἡμᾶς διὰ τοῦτο χαρῆναι τὰ πάμπολλα, εἰ καί τις λύπη ἐκ τῆς γραφῆς
τῆς Ἁγιωσύνης σου εἰς ἡμᾶς ἐπεισέφρησε. τὰ γὰρ ἐν ταύτῃ δηλούμενα, ἔκ τινος ὑπονοίας ἢ καὶ προσλαλιᾶς, τῆς Ἁγιωσύνης σου θεῖα λόγια οὐ κεκρίκαμεν τῆς σῆς διακρίσεως, τῆς ὅτι θείας, ὅτι πνευματικῆς, ὅτι νοερᾶς, ἀλλ' ἑτέρας ἐπαθρύπτου τε καὶ κολακικῆς καὶ μὴ τὰ χρηστὰ ἐξηγουμένης εἰς τὸ χρηστόν. τί λέγω; ὡς ἄφρων καυχήσομαι· εἴπερ ἐκ τῶν ἐν τῇ γραφῇ ἐννοιῶν κειμένων ἡ βασκανόληρος διάνοια αὕτη, ἢ κακῶς τὰ ἡμῶν ὑποψιθυρίζουσα, μᾶλλον δὲ τὰ ἐν τῇ γραφῇ, μίαν ὡς ἔχει φύσεως ἐξηγήσεται, καὶ εἰς ἅπαντα λόγον ἔστω πιστοτάτη καὶ ὀρθή τε καὶ ἀληθής. πρὸς τούτοις δὲ θαυμάζομεν καὶ τὸν δαίμονα, μᾶλλον δὲ καταργοῦμεν, πῶς καὶ ἐν τοῖς θείοις τοσαύτην ἔλαβε τὴν ἰσχύν, ἐν τοῖς πνευματικοῖς τὸ πνεῦμα τῆς πονηρίας, ἐν τοῖς νοεροῖς τὸν εἰς ὕλην κακίας ἐγκαλινδούμενον, ἐν τοῖς ἁγίοις τὸν ἀτιμότατον καὶ ἐν τοῖς τοῦ Κυρίου δούλοις τὸν ἀποστάτην· ὃς καὶ καταργηθείη ταῖς εὐχαῖς τῆς Ἁγιωσύνης σου. ἡμεῖς δὲ ἐγκωμαζοί- | μεθα καὶ σκεποίμεθα ἔκ τε τῶν λόγων ταύτης καὶ τῶν εὐχῶν. f. 143v

9 sq. cfr. Paul. Cor. II, 12, 6.

IV

AD NICEPHORUM EPHESI METROPOLITAM

Laur. 59, 35 f. 143v

Τοῦ αὐτοῦ βασιλέως πρὸς τὸν μητροπολίτην Ἐφέσου κυρὸν Νικηφόρον πρὸ τῆς τοῦ μαρκίωνος Βερτόλδου Δε Οεμβούργ πρεσβείας.

I. (CIII)

Τεττάρων εὐθειῶν ἴσων γραμμῶν ἐχομένων ἀλλήλων, ἴσαι εἰσὶ καὶ αἱ τῶν γωνιῶν γραμμαί· καὶ στιγμαὶ δὲ κύκλου ἀποσοί εἰσι καὶ ἀμέριστοι· τῶν μὲν ὡς, εἰ τὰ αὐτῷ ἴσα, καὶ ἀλλήλοις ἴσα εἰσί, τῶν δὲ <ὡς> οὗ ἡ ἀρχὴ ἄδηλος, καὶ τὸ τέλος ἄδηλον· καὶ ὧν γνῶσις προηγεῖται, τὴν ἀγνωσίαν ἀδηλία λῦσαι οὐ δύναται· καὶ ὧν ὁ ἀριθμὸς εἰσάγει τὸ ἑδραῖον καὶ ἔμμονον οἱ μὴ εὔρυθμοι ἀστάτως ἄσημα κελαδήσουσι· τοῦτ' αὐτὸ καὶ κατ' ἀρετὴν πᾶς τις εἰ σκοπείη, γνοίη τὸ ἀληθές, ὅτι καὶ ἡ τῶν ἐπιπέδων ἀναλογητικὴ αὔξησις βαθμίσι κυκλικαῖς ταῖς ἐξ ἀρετῶν τῶν στερροτάτων ἅψασθαι δύναται στερεῶν. τῷ τοι καὶ τὸ τῆς ἀρετῆς κυκλικὸν ἔχει μὲν ἀρχὰς καὶ γραμμικῶν συνθέσεων ἁρμο-
f. 144r νίας καὶ | ἀδηλα στιγμῶν τε καὶ ποικίλα νοημάτων ἐπίπεδα· ἃ καὶ μόνῃ τῇ κατὰ παιδείαν ζώσῃ ψυχῇ νοερῶς καὶ θείως ἐπέγνωσται. τί γὰρ γνοίη τις ἀληθῶς, ἢ ὅ ἐστιν αὐτοῦ; τί δὲ ὅλως ἔστιν αὐτοῦ, ἢ ὅ

I. Argumentum. *' Videri volunt plerique, non esse boni, vera autem virtus a Dei timore originem ducit, neque umquam fallit '.*

4. ὡς addidi. ‖ 5. λύσαι F. ‖ 8 sq. de sphaericorum numerorum origine cfr. Iambl. in Nicom. p. 94, 9 sqq. Pistelli.

φύσει μὲν ἀπεκέρδησεν ἢ ἐπιστήμῃ ἐξηκριβώσατο; τοὐναντίον δὲ ἑνορῶ· ὅπερ γάρ τις διὰ τῶν προλεχθεισῶν γραμμῶν τε καὶ κύκλῳ στιγμῶν οὐκ ἐξηκριβώσατο καὶ ᾧ ἐπιστημόνως κατ' ἀρετὴν οὐκ ἐνεπολιτεύσατο, οὐδὲ κατὰ ταὐτὸ ἴσα τοῖς ἀλλήλοις, ἴσα ἐξισασθήσονται εἰς ἀρετὴν ἐξ αὐτοῦ. σεπτὴ καὶ γὰρ καθέστηκεν ἡ τῶν ἀρετῶν ξυναυλία, σεπτὴ ἁρμόδιος ἁρμονία καὶ κατ' εὔρυθμον διαρτίαν μορφοῦσα τὸ ἀποτέλεσμα· οὐκ ἀλόγως μὲν πράττουσα, τὸν δὲ λόγῳ καὶ πόθῳ αὐτὴν ἀσπαζόμενον λογικῶς καταστέφουσα, ὃν δὲ ἀλόγως περὶ αὐτὴν διατιθέμενον ἑνορᾷ, τὸ λογικὸν αἰχμαλωτίζει ὡς ἐξ αὐτοῦ. ἀλλ' ἐγωγε ἀντιστρέψω τὰ πράγματα καὶ κατ' ἀλήθειαν κρινῶ αὐτά· ὅστις καὶ γὰρ ἔγνω τὴν ἀρετήν, ἔσχε πρώτως τὸ λογικόν· ὃς δὲ λόγον εὐμοιρήσας ἐπλούτησεν, οὗτος ὄντως ἔσχε τὴν ἀρετήν· ὃς δὲ πάμπαν ἐστερημένος τούτων πάντων ἐστίν, ὄντως φαῦλον βίον τρέχει ὡς ἀγνοῶν. ἀρετὴ καὶ γὰρ κτῆσις ἐστὶ | γνώσεως ἀληθινῆς· ὁ γοῦν ἀγνοῶν οὐ γνοίη πάντως f. 144v τὸ ἀληθές, τὸν δὲ ἀληθῶς οὐ νοοῦντα πλάνη κατέχει ἐπὶ τόπον κακίας, εἰς ὃν οὐκ ἐπισκοπεῖ Κύριος. ταλαίπωρος ἐγώ εἰμι ἄνθρωπος· νηστεύων κενοδοξῶ, μὴ νηστεύων κενοδοξῶ· καθ' ἑκάστην τῇ τριβόλῳ ταύτῃ συνεκκεντοῦμαι κατὰ ψυχήν. ἀλλ' ἐρῶ τι καὶ καινότερον καί, οἱονεὶ ἀρετῆς προσωπεῖον ὑποθείς, φθέγξομαι ἐξ αὐτῆς· ἵνα τί οἱ τῇ ἀρετῇ ἐνσεμνυνόμενοι λόγοις, ἀπατᾶτε ταύτην ἔργοις ἀπατηλοῖς; παρ' ἐμοὶ μὲν γάρ, ὡς ἴσασιν οἱ πολλοί, αἰδὼς καὶ κόμπου ἀπόζευξις, κακίας ἀποτροπὴ καὶ τῶν, ὅσα πρὸς χρήματα κέχηνεν, ἀποδίωξις. οὐκ ἀνέχομαι τῶν κομψῶν, οὐκ εὐφραίνομαι τοῖς στιλπνοῖς, καὶ ὅσα συριγμῷ δελεάζουσιν ὄφεως μυσαρωτάτου δίκην βδελύττομαι. συριγμῷ καὶ γὰρ ὄφις τὸν πρῶτον Ἀδάμ, τὸ ἐμὸν τῆς θείας ὄργανον ἐνεργείας, παραδείσου ἐξώρισε, κἀντεῦθεν ἀντεισάγει κατάραν ὁ πρώτως ἀπατήσας καὶ συριγμῷ δελεάσας τὸν ἄνθρωπον. τί δὲ ἀρετὴν ἀσκῆσαι ἐμοὶ ὑπισχνούμενοι περὶ κρημνὸν κακίας καθ' ἑκάστην συμφθείρεσθε; οὐ γὰρ μελέτῃ θανάτου κατὰ τὴν Ἀμβρακιώτου Κλεομβρότου πρᾶξιν κερδήσει τις τὰ τῆς ἀρετῆς. | ἀλλὰ μελέτη θανάτου φόβος ἐστὶ Θεοῦ· f. 145r οὗ δὲ φόβος Θεοῦ, τί ἂν μελετήσειέ τις φιλοσοφώτερον ἢ θειότερον; μνήμη δὲ θανάτου ἐστὶν ὄντως ἡ ἀρετή· μελέτη δὲ ἀρετῆς ἐστι φόβος Θεοῦ· φόβῳ δὲ Κυρίου ἐκκλίνει πᾶς ἐκ τοῦ πονηροῦ. τούτοις

16. ἐνεπολιτεύσατο scripsi propter praegressum ᾧ: ἐπολιτεύσατο F. || 20. αὐτὴν scripsi: αὐτὸν F. || 42. cfr. Callim. epigr. XXV Schneider et adn.

πάντα ὁ νῦν λόγος ὡς ἐν ἐπιτομῇ σταθμίζει τὰ τῆς μεγάλης Θέμιδος ἀσέμνως δικαιωτήρια. οὗτοι λόγοι πάντες τῆς ἀρετῆς· οὗτοι ἀκριβεῖς κανόνες τῆς ἐναρέτου πολιτείας καὶ ὑψηλῆς. κἀντεῦθεν οὕτως οἶδα κἀγὼ τιμᾶν τὰ τῆς ἀρετῆς· εἰ καὶ μὴ κατ' ἀρετὴν πρᾶξαι ὅλως ἰσχύω αὐτός, ἀλλὰ στέργω τὰ νῦν παρὰ ταύτης νομοθετούμενα. ἐπεὶ δὲ δοκήσει, δυνάμει καὶ ἐνεργείᾳ εἰσὶ τὰ πράγματα, ἐρευνήσωμεν ἀμυδρῶς τὰς τούτων ποιότητας. καὶ γάρ, εἰ τὸ δοκήσει ἐνεργείᾳ, τὸ δυνάμει μᾶλλον ἐνεργείᾳ γενήσεται· εἰ δὲ τὸ δοκήσει μὲν ἐνεργεῖ, τὸ δυνάμει δὲ ὅλως συνεργεῖ, τὸ ἐνεργείᾳ δυνάμει καὶ δοκήσει γενήσεται· καὶ οὕτω καταλλήλως ἀντιστραφῶσι τὰ θεοστήρικτα. δοκήσει καὶ γάρ τινες οἰονεί, ὥσπερ εἰπεῖν, ὑποδείγματι ἀρεταίνουσι, μηδὲ τὸ οἰονοῦν κἂν δυνάμει τούτου ἁψάμενοι· καὶ ἐνεργείᾳ ἀρεταίνειν οὗτοι ὅλως δοξάζουσιν.

f. 145v ὦ Δίκη, ὦ Λόγε, ὦ Πάτερ, | ὦ Πνεῦμα, τούτους συντήρησον· οἰκτείρησον ὁ Θεός, ἄνες ὁ ἀγαθός, καὶ ὁ φιλάνθρωπος συγκατάβηθι. τί καὶ γὰρ μὴ ὄντος ἐστὶν αἰσχρότερον, ἢ τοῦ ἀθλίου δοκησιγνώμονος ἀναισθητότερον; τί δὲ τούτου ὡς βδελυρώτερον, ἢ τοῦ μηδὲ τῇ ἐνεργείᾳ ἁψαμένου ἀδυνατώτερον; ταῦτα πάντα ἀναίσθητα, ταῦτα πάντα κίβδηλα καὶ αἰσχρότατα. ἡμεῖς δὲ ἀνακεκαλυμμένῳ προσώπῳ εἴπομεν τὴν ἀλήθειαν. τρεῖς οἶδα ἐπαίνου καὶ ἀρετῆς βαθμίδας καὶ κλίμακας· μάθησιν, πεῖραν καὶ εὐφυΐαν· καὶ τῇ μὲν συνυπάρχει τὸ ἐπιστημονικόν, τῇ δὲ τὸ ἐπίπονον, τῇ δ' ἄλλῃ φυσική τις δραστικὴ δύναμις. κἀντεῦθεν ἐν ταύταις ταῖς τρισὶ τρίβοις ταῖς ἀγαθαῖς ὁμαλῶς σφαδάζει σχέσις θεία τῆς ἀρετῆς. ὅθεν καὶ ὥσπερ ἅρματι καινοτέρῳ τε καὶ τριγώνῳ ἡ τετρὰς μοῖρα τῆς ἀρετῆς ἐπιβᾶσα ἀνάγει τὸν ἀναβάτην ταύτης πρὸς τὰ οὐράνια καὶ σαββατίζει τὸν σεβαζόμενον ἐν ἐννεαδικῇ καταλήξει θεοφιλῶς. ὃς γοῦν ἐμπείρως οἶδε τὸ ἀριθμεῖν, ἀριθμήσει καὶ γνοίη τὸ λεγόμενον ἀκριβῶς, καίπερ οὐκ ἔστι μέρος ἐπιστήμης ὃ

f. 146r νῦν παρ' ἡμῶν λεξείδιον λέλεκται. ἀλλὰ | παίζειν παίζομεν, ἢ σπουδάζειν; εἰρήσω τὸ ἀληθές· ὥσπερ καὶ γὰρ ῥεύματος ἰσχυρὰν φορὰν ὀπὴ τόπου μικρὰ οὔτε δέξεται οὔτε ἐξακοντίσει τούτου τὸν ῥοῦν, οὕτως οὐδ' οἱ παίζειν βίον νοοῦντες ἐν λόγοις ἀγωνίσονται πώποτε· ἀρκεῖ γὰρ τούτοις ἡ τοῦ ἀληθινοῦ λόγου συμβίωσις. ἀλλ' ἡμεῖς μὲν αἰδοῖ καὶ στοργῇ μέχρι τοῦδε τὸν λόγον ἐστήσαμεν, τὸ μὲν ὡς ὁμιλοῦντες

---

48. δικαιοτήρια F. || 50. πράξαι F. || 53. τὸ δοκήσει ἐνεργείᾳ scripsi: δοκήσει τὸ ἐνεργεία F. || 61. δοκησογνώμονος ut vid F; sed o ante γ in litura. || 62. βδελλυρώτερον F. || 70. μοίρα (num μοίρᾳ?) et ἐπαβάσα F.

τῷ ὁμιλοῦντι Θεῷ, τὸ δὲ στέργοντες, οὐκ ἀδυνατοῦντες δ' ἀντιφάσκειν τοῖς εἰρημένοις σοι. σὺ δὲ ἐκτενεῖς, οἶδα, ἐς ἀεὶ νουθεσίαν πρεσβείαις συμμίξας ὁμοῦ, τὰ περὶ τῆς ἡμῶν σωτηρίας ἐξαιτῶν τῷ Βασιλεῖ· ἵνα τῷ τῆς ἄνω μητροπόλεως θρόνῳ συγκαθιδρυμένους ἴδῃς ἡμᾶς καὶ τῆς θείας ἐπισκοπῆς τῶν ἐκλεκτῶν αὐτοῦ συμμετόχους καὶ κοινωνούς, ταῖς τῆς ἀνωτάτω τε Ἱερουσαλὴμ σὺν σοὶ ἐντρυφῶντας πρωτοκαθερίαις καὶ ἀξιώμασιν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

II. (CIV)

Καὶ στάσις μὲν τετύχηκέ ποτε κινήσεως καὶ κίνησις ἀντιστρόφως ἐν στάσει τέτακται, καὶ οὐδὲν ἀντιλέγειν τοῖς ἀμφοτέροις ἐξ ἑτέρου νενομοθέτηται. τῶν γὰρ προσώπων ἀλλαττομένων καὶ φιλοσόφοις | ἐν ἰδέαις ἀλλοιουμένων, στάσις μὴ ἀντιλέγεσθαι τῇ κινήσει συνέβη καὶ f. 146ᵛ κινήσει στάσις μὴ καρτερῆσαι πεφιλοσόφηται. διὸ καὶ ἀλλοιουμένων τῶν μὴ ὁμοίων τοῖς μὴ ὁμοίοις φιλοσόφοις λόγοις ἠλλοίωντο, καὶ τὸ παράδοξον ἐναργῶς θεωρούμενα τὴν ὄψιν λόγοις διεδίδρασκον. τοῦτ' αὐτὸ καὶ πᾶν κινούμενον καὶ στρεφόμενον μείνειεν ἀεικινήτως τοῖς κινουμένοις· ὡς ἂν καὶ θεραπευτικωτέρως ἔξει τὰ τῆς ψυχῆς καὶ στέρξῃ ταῦτα τῇ ὥρᾳ καὶ τῷ θυμῷ εἰς πολλῷ πλείονα τούτου εὐφραντὴν σχέσιν τε καὶ ῥοπήν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

III. (CV)

Ἠρώτησας πῶς ἐσμὲν καὶ τίνι διατριβῇ διατρίβομεν· καὶ τὸ μεμνῆσθαί σε ἡμῶν ἐπαινοῦντες θαυμάζομεν· πῶς δὲ ἐσμὲν καὶ οὗ διατρίβομεν, ἄκουσον. ὑπάρχομεν οὖν, ὡς ἀεὶ καὶ νῦν, ἐν χειρὶ τοῦ Χριστοῦ, δι' ἧς δυθυνόμεθα καὶ ἐσμέν· ὡς αὐτῷ βουλητὸν δὲ διάγομεν ταῖς ῥυταῖς γραμμαῖς ἀσχολούμενοι· σφαιρικώτερον δὲ κινοῦμεν τὴν θεωρίαν, ὁμιλοῦντες λόγοις τοῖς λόγοις καὶ ταῖς πράξεσι τοῖς νοήμασιν,

II Argumentum. *' Quae facta est immutatio rerum valde nobis placet, eamque bonorum fontem futuram esse speramus '.*

1. τετυχήκει ποτὲ F. ‖ 3. ἀλαττομένων F.

III Argumentum. *' Studia mea qualia sint, accipe. Te autem virtutes omnes et pietatem colere et exercere haud ignoro '.*

f. 147r ἐκ τῶν ἐπιπέδων ἀναγόμενοι, | ἐπὶ τὰ στερεά, καὶ τὴν νύμφην διερχόμενοι, τὰς ἑνάδας τε καὶ τοὺς συνδυασμοὺς νοῒ βλέποντες, τοὺς κλειδούχους τε καὶ τοὺς πλευρικοὺς καλῶς πρὶν ἀσκήσαντες, καὶ εἴ τι σπερματικὸν εἶδος. διήλθομεν δὲ καὶ πᾶσαν λόγων διαίρεσιν τήν γε κατὰ Πλάτωνα καὶ ἄλλους· τὰς μεσότητας ἐπεράσαμεν, καὶ τοὺς πυθμένας καταπυκνώσεσι λημμάτων ἐφθάσαμεν, διεσίν τε καὶ τὰς καταλήξεις τε καὶ κινήσεις· ᾠδὰς ᾔσαμεν τὰς ἐγκαρσίους καὶ ἐπ' εὐθεῖαν τοῦ κινουμένου καὶ τὸ τῆς πολυσχιδοῦς μῆκος ἅμα ἐγνώκαμεν. οἴδαμεν δὲ καὶ τοὺς βράστας καὶ ἐπικλύστας καὶ ὥστας καὶ χασματίας καὶ τὰς τούτων αἰτίας καὶ ἀλλ' ἄττα πολλὰ τῶν ἐν τῷ ἐξ οὐρανοῦ καὶ γῆς καὶ τῶν περὶ αὐτὰ γινομένων συστήματι, τήν τε λογικὴν πραγματείαν καὶ τὰ μετ' αὐτὴν ἀρίστως συνήξαμεν. διήλθομεν δὲ καὶ τὰ φυσικὰ καὶ τὰ μετὰ τὰ φυσικὰ καὶ τὰ κατὰ τοὺς συμπείθοντας ἅπαντα, τάς τε κατὰ μέρος πρὸ τούτων συβαριτικὰς καὶ τραγικὰς ὑποθέσεις καὶ ἀλλ' ἄττα τὰ τῆς αὐτῆς τάξεως, τῶν τε πνευματικῶν τὴν πεῖραν ἐγνωμεν καὶ τῶν ὀπτρικῶν καὶ κατοπτρικῶν, ῥητῶν τε καὶ τῶν ἀf. 147v ῥήτων, τῶν ὀνομαζομένων τε καὶ τῶν δυσευρέτως εὑρισκομένων, | ἢ καὶ τῶν πάντη ἀγνώστων τοῖς νῦν καὶ ἀλλ' ἄττα πολλά, ἃ ἡ χεὶρ τοῦ Κυρίου, οὐκ οἶδα πῶς εἰπω, εἰς ἡμᾶς ἐξεκένωσε. διερχόμεθα δὲ τὰ αὐτὰ πάλιν καὶ τὰ ἐν αὐτοῖς· οἷς οὐκ ἔστι κενὸν καὶ μὴ φίλης καὶ ἐμοὶ κυρίας φιλοσοφίας. παρ' ἧς τὸ θάρρος λαβών, καὶ τὸν κατὰ μέρος τῶν ταύτης μερῶν ὀνοματισμὸν παρεάσας, ἀνερυθριάστως σοι λέγω, ὅτι πᾶσαν γνῶσιν διελθὼν φιλοσοφίας πολλάκις, καὶ πάλιν διέρχομαι. ἔχω γὰρ ἐντελεῖς πρὸ πολλοῦ καιροῦ τοὺς καρπούς, οὓς ἐτησίως τρυγῶ. νόει δέ μοι τὸ 'ἐτησίως' τὸ 'ὅτε βούλομαι'. χάρις δὲ τίνι; Θεῷ, ἐξ οὗ καὶ δι' οὗ καὶ ἐν ᾧ καὶ εἰς ὃν τὰ πάντα ἀνάγονται· μετὰ δὲ τούτῳ χάρις πολλὴ τῷ ἡμᾶς ταῦτα διδάξαντι, τῷ ἀγαθῷ φιλανθρώπῳ (οὐδεὶς γὰρ ἀγαθὸς μὴ φιλάνθρωπος, καὶ οὐδεὶς φιλάνθρωπος μὴ ἀγαθός)· ὃς φιλανθρωπευσάμενος ἡμῖν, καλλίστην ἡμᾶς ὁδόν, φιλοσοφίαν, ἐδίδαξεν, ὅπως πρὸς τὸ πρῶτον ἀνάξῃ τὸν δοῦλον καὶ τὸ δεύτερον πρὸς τὸ κύριον. τοῦτο καὶ φιλοσόφου καὶ θείου διδασκάλου. εἰ γὰρ καὶ ψυχροῦ ποτήριον, ὡς οἶδας, οὐκ ἀπόλλυται, ἀκριβῶς οἶδας καὶ γε,

7. *τὴν νύμφην* intellegere videtur numeros, quibus *nuptiarum* nomen Pythagorei imponebant. Cfr. Theol. Arith. p. 24, 33 Ast et Iambl. in Nicom. p. 34 20 Pistelli. ‖ 8 sq. *κλειδούχους* scripsi, cl. Theol. Arith. p. 22 Ast: *κλαδούχους* F. || 20. *Συβαριτικὰς*] cfr. Schol. in Aphthon. ap. Walz, *Rhet. Gr.* II, 12. || 36. immo *τὸ δεύτερον καὶ τὸν δοῦλον*, sed cfr. quae adnotavi ad Ep. LXV, 6. ‖ 37 sq. cfr. Ev. Matth. X, 42.

ὡς οἶδα πόσην ἂν ἐκ Θεοῦ τῷ τηλικαῦτα ἡμᾶς δόντι δόματα τὴν ἀντίχαριν νομίζῃς καταπεμφθῆναι. ὦ γλῶττα, ὦ διάνοια, | ὦ νοῦ, ὦ τὰ f. 148r
ἐμὰ πάντα, ὑπερπολλαπλασίονα ἐκβοήσατε.

Ταῦτα μὲν τὰ ἡμέτερα. ἡμεῖς δὲ οὐκ ἂν ποτε ἐρωτήσαμεν ποῦ εἰς καὶ πῶς ὑπάρχει τὰ σά. οἶδα μὲν γὰρ σὲ τῆς κλεινῆς καὶ πολυεφέτου Ἐφέσου πρόεδρον· τοῦτο δὲ καὶ κλεινὸν καὶ θαυμάσιον· μέγας γὰρ ἐν μεγάλῃ καὶ ἐν πολυζήλῳ πολύζηλος, ἐν ἀρχαίᾳ ἀρχαικὸς καὶ ἐν ὑπερηρμένῃ θειότερος, ὄντως διὰ ταῦτα καλὸς ἐν καλῇ. πράττειν δέ σε γινώσκομεν τὰ μέρη τοῖς ὅλοις καὶ τὴν διὰ μερῶν ὅλην· ἀρετὴ δὲ αὕτη ἐστίν, ἥ ἐστι ταπεινοφροσύνη, ἀλήθεια, ἀνδρεία, φρόνησις, δικαιοσύνη, σωφροσύνη, πραότης, ἀνεξικακία, ἔλεος, μετάδοσις ἀκριβὴς τῶν θείων, καὶ ἱερῶν κατάληψις λόγων, ὡς καὶ ὁ πολὺς Διονύσιος ἀναλυτικὴν ἐπιστήμην τὴν ἱεραρχίαν τῶν θείων λόγων διατυποῖ, ἧς ἔχεις τὸ μέγα ἀξίωμα. ταῦτά σε καλῶς πράττειν καὶ διδάσκειν εἰδότες, οὐκ ἂν ἐρωτήσαμεν· οἴδαμεν γάρ σε πάλαι καὶ νῦν. δὸς δὲ καὶ ἡμῖν ἐκ τῶν σῶν ἀγαθῶν· ταῦτα γὰρ ὡς θεῖα τὴν σωτηρίαν τοῖς βροτοῖς χορηγεῖ. εἰ δὲ καὶ ἐκ τῶν ἡμετέρων ἐθέλεις λόγοις ἐν φιλικοῖς, διὰ τὸ ἄμισθον μὴ ἀπαρεσθῇς, ἀλλὰ λάβε αἰτήσας· πολλοῦ γὰρ χρυσίου καὶ σαπφείρου λίθου κρείττονα καὶ πάντων ἡ θεία Γραφὴ καὶ ἡ ἐκτὸς τὴν φιλοσοφίαν | διαγράφει ἀεί, καὶ ὑπὲρ πάντας καὶ σὺν πᾶσι τοῖς ἐν αὐ- f. 148v
ταῖς φιλοσοφήσασιν ὁ σοφὸς Σολομών.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Τῶν ἰδεῶν αἱ μέν εἰσιν ἁπλαῖ, αἱ δὲ μερικαί· ἐν αἷς καὶ τὸ εἶδος ἔστι καὶ ἡ ὕλη συνάγεται καὶ εἰδοποιεῖται τὸ ἄτομον καὶ ἡ τοῦ ὅλου γνῶσις προσεχῶς ἐξ αὐτοῦ γίνεται, καὶ νοοῦνται τὰ ἀφανῆ ἐκ τῶν αἰσθητῶν τε καὶ προσεχῶν (τὸ καινότατον) καὶ ἀνάγεται διὰ ταῦτα καὶ δι' αὐτοῦ ὁ πολὺς ἄνθρωπος εἰς τὴν ὑπερφυῆ θεωρίαν, καὶ γινώσκει τὰ πράγματα ὡς ἔχουσι φύσεως ἐν ἁπλαῖς ταῖς ἐπιβολαῖς. οὕτω γὰρ οἶμαι καὶ ἐκ τούτων καὶ ὁ πολὺς τὰ θεῖα Διονύσιος ταῦτα ἀναμαξά- IV. (CVI)

45. ἀρχαικὸς F. ‖ 59. cfr. Prov. VIII, 10 sq. XVI, 16 et al.

IV Argumentum. ' *Episcoporum et sacerdotum opera nos ad Deum quasi tollimur; tui igitur adventus nuncio laetor et iis, qui tibi obviam proficiscuntur, hoc epistolium tibi tradendum committo, ut de gaudio meo certior fias* '.

1. ἁπλαῖ F.

μενος τὰς τῶν ὑπερκοσμίων διακόσμων στρατιὰς καλῶς διεγράψατο, κἀκ τούτων ἀρχιερεῖς τε καὶ ἱερεῖς ἔταξεν, αἰχμαλωτίζων πᾶν νόημα εἰς Χριστόν, καὶ ἀρχιερεῖς ἐλάττονάς τε καὶ μείζονας, ἵνα ἐν τῇ ἑκάστου τούτων ἀναλογίᾳ καὶ τῆς παρρησίας τῷ σταθηρῷ ὁ μερικὸς ἄνθρωπος ἀνάγηται πρὸς Θεόν, καὶ τυγχάνῃ τοῦ ἐφετοῦ ἐν ἁπλαῖς ταῖς ἐπιβολαῖς παρ' αὐτῶν βοηθούμενος. τούτων οὖν οὕτως ἐχόντων ἁρμονικῶς καὶ ἀληθῶς καὶ κατ' οἰκονομίαν καὶ τάξιν θεϊκὴν καὶ δεσποτικήν,
f. 149r χαρά μου περιέχει τὰ αἰσθητήρια | ἀρχιερέα ἐκδεχομένου σε κατιδεῖν, καὶ ἀρχιερέα ὑψηλόν τε καὶ μέγιστον, τοῦ ἐπιστηθίου καὶ ἠγαπημένου διάδοχόν τε καὶ ἐπιστήθιον πνεύματι· οὗ μεσιτείαις τὰ τῶν σωματικῶν τε καὶ ψυχικῶν νοσημάτων οἰδήματα ῥᾳδίως ὑπερβαίνειν θαρρῶ, καὶ πρὸς τὸ τῆς Τριάδος ἁπλετον φῶς πεπαρρησιασμένῳ προσώπῳ παρρησιάζεσθαι. οἱ δὲ ἐντιμότατοι ἄρχοντες τῆς περιωνύμου Ἐφέσου καὶ λαχούσης τῇ Ἁγιωσύνῃ σου, ὡς ἔθος τῇ βασιλείᾳ μου προσκυνήσαντες καὶ ὅτι εἰς συνάντησιν τῆς Ἁγιωσύνης σου ἐξειπόντες πορεύονται, πάνυ ταύτῃ ἔδοξεν αὐτὸ ἀρεστόν· οὐχ ἡγήσατο δὲ ἀγαθὸν τὸ μὴ καὶ γράμμα ταύτης φέρειν αὐτοὺς τῇ Ἁγιωσύνῃ σου ὥσπερ τι οἰκεῖον αὐτῆς καρποφόρημα. διὸ δὲ καὶ τὸ νῦν γράμμα πρὸς ταύτην ἀπέλυσα. μικροῦ δὲ πεποίθαμεν ἐν Χριστῷ καὶ σωματικῶς ἰδεῖν σε καὶ εὐφρανθῆναι τὰ πάμπολλα καὶ τὴν ᾗ νόσον καταρούμεθα σαῖς εὐχαῖς διαφυγεῖν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

V. (CVII)

Τὸ μὲν προϊστασθαι τὸν ἀρχιεράρχην τῶν τῶν νόμων διαταγῶν καὶ μηδενὸς ἕνεκα ὀκλᾶν τοῦτον ὑπὲρ τῶν τοιούτων τῆς ἀρωγῆς, ὁ ἀληθὴς λόγος οἶδεν ὅσιον καὶ θεάρεστον· οὐχ ἧττον δὲ τούτου καὶ ὁ ἠθικὸς καὶ πολιτικὸς ἐξετάσας διέκρινεν, ἀλλὰ καὶ λίαν ἐπιστημονικῶς
f. 149v αὐτὸ ἐβεβαίωσεν. ὁπόταν γὰρ βασιλικὴ νεῦσις | βασιλικῶς τοῖς τῶν

18. *νοσημάτων* scripsi : *νοημάτων* F. || 22. immo *πορεύονται ἐξειπόντες*. || 25. *αὐτῆς* scripsi: *αὐτ̓* (sc. *αὐτῶν*) F. || 27. *καὶ τὴν νόσον ᾗ καταργούμεθα* scripserim.

V Argumentum. ' *Nobis regibus ac regum filiis sacrorum virorum consilio opus est ut recte iudicare possimus. Quid igitur censes de praedio reddendo Monasterii S. Gregorii fratribus?*

2. *ὀκλᾶν* ex *ὀκλαν* et *ἀρρωγῆς* F. || 5. *ἐβεβαίωσαν* F.

νόμων θεσπίσμασιν ἀρήγῃ, ὁ ταύτῃ πειθήνιος ἀληθῶς τῷ ἀληθεῖ λόγῳ καὶ ἐπιστημονικῶς βιοτεύων, διὰ ταῦτα ὁσίως καὶ θεαρέστως. καὶ ἡ μὲν τοῦ δικαίου ὑπόμνησις αὕτη καὶ ἀρκετόν ἐστιν· ἄνδρα γὰρ ἱεράρχην οὐ δεῖ περὶ τῶν νόμων καὶ κανονικῶν κανονίζειν, ἐπείπερ ταῦτα καλῶς οἶδεν, ἀλλ' ὑπομμνήσκειν τοῦ ζητήματος ἕνεκα. τὸ δὲ βασιλεῖς καὶ βασιλέων υἱοὺς κρίσεις καὶ δικαιοσύνας αἰτεῖν ἐν βίβλῳ ψαλμῶν καὶ αὐτὸς ὁ θεοπάτωρ Δαβὶδ εὔχεται, φησὶ γὰρ· '*Ὁ Θεὸς τὸ κρῖμά σου τῷ βασιλεῖ δός, καὶ τὴν δικαιοσύνην σου τῷ υἱῷ τοῦ βασιλέως*'. εἴπερ οὖν καὶ ἡμεῖς κρῖμά τε καὶ δικαιοσύνην αἰτήσομεν ἀπὸ σοῦ, μηθενὸς ἀντιστῇς ἕνεκα, ἀλλὰ λῦσον κρίσει καὶ δικαιοσύνῃ μοι τὸ ζητούμενον· βασιλέων γάρ ἐσμέν τε καὶ βασιλεῖς. συνάξεις γὰρ ἀπὸ τούτου τὴν μὲν ἡμετέραν ἀγάπην πολλαπλασίονα, ἕλξεις δὲ καὶ τὴν εὐφημίαν τὴν τῶν ἐπαίνων μεγίστην, ὅτι τοῦ δικαίου προΐστασαι. ἔστι δὲ τὸ ζητούμενον τοῦτο· ἡ μονὴ τοῦ ἐν Ἁγίοις θαυματουργοῦ Γρηγορίου ἐκ πολλῶν χρόνων εἰς οἰκεῖον κτῆμα ἀρχιερατικῶς ἐκδεδομένον αὐτῇ χωράφιον κεκτημένη τὸ ἐπιλεγόμενον Ἀνάχωμα, παρ' ἑνὸς | τῶν ἡγουμενευόντων ταύτῃ ἐξεδόθη παρανόμῳ f. 150r πράσει τισὶ τῶν κληρικῶν τῶν ὑπὸ τὴν ἁγιωτάτην τελούντων μητρόπολιν. περὶ οὗ ὁ ἁγιώτατος πατὴρ τῆς βασιλείας μου κυρὸς Νικηφόρος ὁ Βλεμμίδης, ὃς εἰς μερικὴν αὐτοῦ ἐξυπηρεσίαν διὰ τὸ περιὸν τοῦ ἐν αὐτῷ λόγου αὐτὴν κέκτηται, ὑπόμνησιν ἐποιήσατο, ὅπως τὸ κτῆμα νομίμῳ κρίσει τε καὶ δικαίᾳ ἐπανέλθῃ πάλιν πρὸς τὴν μονήν, ἐπειδὴ καὶ ἡ τοῦ καιροῦ ποσότης οὐκ ἀποκλείει αὐτὸ καὶ ἡ τῆς πράσεως οὐδαμίνεια καὶ ἡ ἀλογία μάρτυς τῆς πρὸς τὴν μονὴν δικαίας ἐπανακάμψεως. ἐθέλει γοῦν διὰ ταῦτα ἡ βασιλεία μου, ἵνα νομίμως καὶ κανονικῶς τὴν τοιαύτην ὑπόθεσιν τρακταίσῃς καὶ ἀποκαταστήσῃς πάλιν τὸ κτῆμα πρὸς τὴν μονήν. εἰ γὰρ καὶ εἰς ἀμπελῶνα τὸ τοιοῦτον χωραφιαῖον κτῆμα οἱ ἐξωνησάμενοι μετεποίησαν, ἀλλ' οὖν οὐκ ἀποκλείει τοῦτο τῇ μονῇ τὴν ἀπὸ τῶν νόμων καὶ τῶν κανόνων βοήθειαν· καὶ τὸ ἀπὸ τῶν καρπῶν δὲ τῶν ἀμπελώνων κέρδος, πλεῖστον πάνυ γεγενημένον τοῖς ὠνησαμένοις αὐτάς, ἔχοι ἂν βοηθεῖν καὶ μάλιστα τῇ μονῇ εἰς τὸ μὴ εἰς ἀπόδοσιν τῶν εἰς ἀνάλωμα τῆς ἐργασίας τῶν ἀμπελώνων καταβληθέντων καθελκῦσαι, ἀντιστραφέντος πρὸς τοὺς αὐ-

12 sqq. Psalm. LXXI, 1. || 13. *κρῖμα σου* F. || 25. *περιὸν*] inter *πε* et *ριὸν* spatium 4. 5 litt. laceratum est in cod. F. || 37. *ἀπόδοσιν τῶν* scripsi: *ἀπ. τὴν* F.

f. 150v τοὺς κατέχοντας παραλόγως τοῦ δοθέντος τῷ τότε τιμήματος | παρ' αὐτῶν τῇ μονῇ· ὅπως καὶ παρ' ἡμῶν εὐχαριστηθῇς καὶ παρ' αὐτῆς τῆς Αὐτοαληθείας καὶ Δικαιοσύνης δέξῃ σὺ τὴν ἀντίχαριν καί, συλλαβὼν εἰπω, παρὰ πάντων διὰ τοῦτο τὸν ἔπαινον. ἀντιστραφήτω δὲ πάλιν πρὸς τὴν μονὴν τὸ τῆς βασιλείας μου πρόσταγμα, ὅπως ἔχοι εἰς βεβαίωσιν τῆς ἐν αὐτῇ δικαιώσεως καὶ τῆς σῆς, ὁποταν ἀν εἰποιεν οἱ τῶν ἀνθρώπων σοφοί, διακρίσεως.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

VI. (CVIII) Τοῦ Κυρίου ἡ γῆ καὶ τὸ πλήρωμα αὐτῆς· ἐκ τοῦ αὐτῆς δὲ πληρώματος ἀρχῆθεν ὁ Λόγος μέρος λαβὼν ἄνθρωπον κατεσκεύασε καὶ ἐξαίρετον κόσμον τὴν λογικότητα δέδωκε, δι' ἧς ῥυθμίζειν αὐτῷ τὰ μέρη διωρίσατο τῆς ἀρετῆς καὶ τῆς λογιότητος καὶ ἀπονέμειν καταλλήλως ἐν τοῖς ἑκατέροις τὸ ἄξιον, τῷ Καίσαρί τε διδόναι φόρους καὶ τῷ Θεῷ τὴν τιμήν, καὶ ἀμφοτέρωθεν πρὸς τὴν ὑπεροχὴν τῆς ἀρχῆς ἁρμόζειν δὴ καὶ τὰ λόγια, καὶ τῷ ἱερεῖ ὡσαύτως προσάγειν δῶρα τὰ ἱερὰ καὶ τῷ ἀρχιερεῖ τὰ ἀνάλογα καὶ τῷ τούτων ἀρχηγῷ τε καὶ ὑπερέκεινα, ὅσον τὸ τοῦ ἀξιώματος ὕψωμα, τοσοῦτον ἐν ἀναλογίᾳ καὶ τὸ τῆς τιμῆς ὄφρον θεοπρεπῶς. οὕτω γοῦν τούτων ἐχόντων, καθὼς οἶδε καὶ ἡ Ἁγιότης σου, ἐπιπρεπῶς σε ἔδει γεγράφθαι τῷ βασιλεῖ τὰ περὶ αὐτοῦ καὶ τοῦ πρωτοθύτου καὶ πατριάρχου, καὶ
f. 151r ἀφοσιοῦν | τοῖς ἀξίοις τὸ παρὰ Θεοῦ ἀφωσιωμένον τούτοις ἀξίωμα. καὶ λόγῳ σμικρῷ, καὶ ὅπερ οὐ βίᾳ, κτᾶται φιλόσοφος, μεγάλα ἀξιώματα κατορθοῦν ἐπινεύσει τῇ βασιλείῳ. ἐπεὶ δὲ ταῦτα πάντα παρὰ τῆς φορᾶς ἁμαρτάνουσι, τί ἕτερον εἰπω; οὐδὲν ἄλλο, ἢ ὅτι ἀγαθὸν ἦν, τὴν πρὸς τὸν κραταιὸν καὶ ἅγιόν μου αὐθέντην καὶ βασιλέα ἐπιστολὴν

---

43. πρὸς //// τὴν, cfr. not. ad 25. || 45. ἀνθρώπων] ἀνῶν sic F.

VI Argumentum. *' Graviter fero te cum ad patrem meum scriberes, moderatione usum non esse. Quod si prior epistulam illam legissem, patri meo tradi eam numquam passus essem. Si quid vis igitur, ad me scribe '.*

1. Psalm. XXIII, 1. || 2. καί] fort. καὶ < οἱ >. || 5 sq. cfr. Ev. Matth. XXII, 21 et Paul. ad Rom. XII, 7. || 10. θειοπρεπῶς F.

σὴν εἰ προεῖδεν ἡ βασιλεία μου (ἐμπεριείληπτο γὰρ ἐν αὐτῇ ἁπρεπῆ τινα λόγια)· καὶ εἰ εἶδε ταύτην πρώτως, οὐκ ἂν παρεχώρησε δοθῆναι ταύτην τῷ ἁγίῳ μου αὐθέντῃ καὶ βασιλεῖ. ὅμως ὁ τῶν σοφῶν διορθωτὴς καὶ Θεὸς ἀναγκαίως ἄξοι τὴν λυσιτέλειαν, ἐπιπρεπόντως τε διανέμοι καὶ τὰς τιμὰς τοῖς οὓς οἶδεν ἐκεῖνος τιμᾶν. περὶ ὧν γοῦν βούλει, καὶ πάλιν γραφέτω ἡ Ἁγιωσύνη σου τῇ βασιλείᾳ μου.

V

AD IOSEPH MESOPOTAMITAM

Laur. 59, 35 f. 151r

Τοῦ αὐτοῦ βασιλέως πρὸς τὸν Μεσοποταμίτην κυρὸν Ἰωσὴφ πρὸ τῆς τοῦ μαρκίωνος Δε Ὀεμβούργ πρεσβείας πρὸς τὸν αὐτὸν μέγαν βασιλέα κυρὸν Ἰωάννην τὸν Δούκαν.

I. (CIX)

Αἰδεῖσθαι μὲν οὐ πόρρω λόγου ἐστί, θαυμάζειν δὲ τοῦ λόγου τὴν δύναμιν καὶ λίαν ἐστὶν ἐλλογιμώτατον. ἐκεῖνο καλλιτραφείσῃ διανοίᾳ ταῖς ἀρεταῖς, καὶ τοῦτο θεολογικῆς ἀξίας ξυμφυές τε καὶ σύνοικον. ἁπλαῖς

f. 151v

γὰρ | ἐννοίαις καὶ ἐν ἀμέσῳ καιρῷ καὶ ἀνεξετάστῳ τρόπῳ ὁ θεολογικὸς νοεῖ ἀνὴρ ἅπαντα. περάσας γὰρ τὸν συλλογισμὸν καὶ τὴν ἐκ τῶν μὴ ταὐτῶν ταυτότητα μίξας, συνάγει τὸ ὅπερ βούλεται, ἁπλαῖς ἐν ἐπιβολαῖς τὰ ὑπὲρ φύσιν νοῶν. ἐκεῖθεν γάρ ἐστιν ἡ κυρίως ἀρχὴ ἐν πρώτῳ λόγῳ καὶ οὐ δευτέρῳ τε καὶ κατὰ ἀνάρροιαν. ὅπου γὰρ ἔκ τινών τι συνάγεται, μίξιν ἔχει καὶ τὴν ἀντίφασιν· ὅπου δὲ πρὸς ἐπιρροὴν ἐπὶ τὸ πεδίον ἐκ τῶν ὑψηλοτέρων ἐκκέχυνται καὶ οἱ χείμαρροι, ἀναγκαίως ἐν πρώτῳ λόγῳ ἔστι καὶ ἡ ἀπόδειξις· καθὰ δὴ καὶ ὁ μαθητικὸς τρόπος ἐξ ὁμολογουμένων ἀρξάμενος πρώτῳ λόγῳ ποιεῖται καὶ τὴν ἀπόδειξιν, ἐξετάζων καὶ οὐκ ἐξεταζόμενος, ὁρίζων καὶ οὐ μα-

---

I. Argumentum. ' *En tibi studiorum meorum, qualiacumque sunt, specimen aliquod; tu enim saepius rogasti. Si haec tibi grata erunt, alia posthac ad te scribam* '.

1-9. *α)ἰδεῖσθαι — ἀντίφασιν* librarius codicis F iteraverat ante sequentem epistulam f. 154v ; inde delevit. || 2. *καλλιτραφείσῃ* f. 154v, *καλλιτραφήσῃ* h. l. F.

χόμενος, μονονουχὶ συνάγων καὶ ἐντελεχῶς τελειῶν, πολλὴν ὡς ἂν
τις εἶποι ἔχων τὴν ἰσχὺν καὶ τὴν ὕπαρξιν. τῷ τοι καὶ λίαν ὢν καθ'
αὑτόν, ἢ παρὰ τῶν μετὰ τοῦτο συνεδριαζόμενος οὐδενί, τίς ἂν γινώ-
σκῃ τοῦτον ὡς πρῶτον καὶ ὑψηλόν; ἐκεῖνα γὰρ ἴσασιν ἄνθρωποι, ἃ τῇ
φύσει καὶ ἐν τῇ φύσει· τὰ δ' ἄλλα Θεὸς δωρεῖται· καὶ οἷς ἔστι πόνος,
συνάγεται πρὸς ἐκείνων, καλῶς κἀγαθῶς | ἑλκόντων καὶ τὸν διδάσκα- f. 152r
λον· ἐπεὶ καὶ κατὰ τὴν κυκλικὴν καὶ σφαιροειδῆ ἀπαρίθμησιν πρὸς
τὴν μονάδα καὶ ἡ ἀποκατάστασις γίνεται τριπλουμένη ἀποκαταστάσεσι
ταῖς δισσαῖς, ἵνα καὶ τοῦτο καθαρτικὸν ὑποτοπάσειέ τις τῶν αἰσθήσεων.
πεντὰς γὰρ πεντάδι μιγεῖσα δεκάδος ἔσχηκε δύναμιν, δεκὰς δ' ὡσαύ-
τως δεκάδι, τετραχῶς συνάγει τὸν περισσὸν καὶ τὸν ἄρτιον. οἷς ἔστι
καὶ ὁγδοὰς σύνοικος ἁρμονία ἡ δὶς καὶ διὰ πασῶν, δι' ἧς ἀρεταῖνομεν
κρούμασιν ἐμμελέσι κραδαίνοντες τὴν ψυχὴν καὶ ἀφορῶντες πρὸς τὸν
διδάσκαλον. ὃς γὰρ μιμεῖται τὸν διδάσκαλον, ἀρκετὸν τοῦτό ἐστιν
αὐτῷ· πᾶς τε διδάσκαλος ὄντως τῷ πρώτῳ ἐξεικονίζεται καὶ διὰ τοῦτο
ὁ τὸν Θεὸν ἐκμιμούμενος σπουδῇ πολλῇ μιμεῖται καὶ τὸν διδάσκαλον.
ἀρίστη γὰρ ἐπανόρθωσις ἀρετῆς, ἐπειδὴ ἀρχῆθεν ταύτης πεπτώκαμεν,
ἡ φιλοσοφία ἐστίν· ὄμμα γὰρ τυφλούμενον καὶ ἀποσβεννύ-
μενον ὑπὸ τῶν ἄλλων τῆς κακίας ἐπιτηδευμάτων διὰ ταύτης
ζωπυρεῖταί τε καὶ ἀνακαθαίρεται κρειττόνως ἄλλων σωμα-
τικῶν μυρίων ὀμμάτων. ἐκεῖ γὰρ ἔστι καὶ μίξις, καὶ ταύτῃ διχό-
νοια, καὶ οὐχ ὑγεία τῷ σκοπῷ | ἀκολουθήσειεν ἄν ποτε. οἷς δ' ἔστι τὸ f. 152v
νοερὸν καὶ οἷον καὶ τηλικοῦτον, στερεμνία καὶ ἡ βάσις ἐστί. πόλλ'
ἄττα τις ἔχει λέγειν, ἄλλος δέ γε οὐκ ἂν παρακρούσηται, εἰ μὴ καὶ
τὸ σκιερὸν πρὸς αὐγοειδὲς μεταβαλῇ καὶ μίξῃ τὰ ἄμικτα καὶ τῇ κα-
ταπυκνώσει τῆς ἁρμονίας ἐνθήσῃ δίεσιν καὶ μίξιν τῇ διαιρέσει συνεν-
ώσῃ μὴ εὖ φρονῶν καὶ λόγον κατὰ ταὐτὸ οὐκ ἂν σεβασθῇ καὶ τῷ
τοῦ λόγου δοτῆρι οὐ πλεονάκις 'ὡς ἐμεγαλύνθη τὰ ἔργα σου' βοήσῃ
πολλῇ τῇ αἰδοῖ· οὗτος γάρ ἐστι μέγας καὶ φοβερὸς καὶ ὄντως ὑπὲρ
πάντα διδάσκαλον μετασκευάζων καὶ μεταπλάττων καθὼς βούλεται.
τίς γὰρ ἂν ὄμμα τεῖνας καὶ διάνοιαν ἀποστήσας τῶν ὑλικῶν, ἀτενί-
σας τε αὖθις πρὸς τὸν αἰθέρα καὶ σπουδῇ αὐτὸν διελθὼν ὕψει τε βα-
δίσας ἀπείρῳ πρὸς οὐρανόν, οὐκ ἂν λάβῃ φρίκην ἀνέκφραστον ἐν τοῖς

16. συνεδριαζόμενος scripsi: συνεδραζόμενος F. || 21. cfr. Nicom. Intr. Arith. II, 17, 8 (p. 111, 17 Hoche) et Iambl. in Nic. p. 11, 19 sq. Pistelli. || 31. sqq. Plat. Civ. VII, p. 527 e. || 36. sq. πολλάττα, ut solet, F. || 39. ἐνθήσει F. || 41. Psalm. XCI, 6.

ἐντός τε καὶ τοῖς ἐκτός; οἶμαι γὰρ δήπου, καὶ οἱ πόρρω φιλοσοφήσαντες Ἕλληνες, τὸ εὖ καὶ σφόδρα νοοῦν γένος, εἰ ἔγνωσαν ὃν οὐκ οἴδασιν, ἐδόξασαν μάλιστα, εἴπερ ἀκραιφνῶς αὐτὸν ἔγνωσαν, μετέστησάν τε τὴν κυκλοφορικὴν οὐρανίαν φορὰν τοῦ σέβεσθαι καὶ φιλοσοφεῖν καὶ κατὰ συνέχειαν ποιητικὸν ἐκεινόν τ' αὐτὴν εἶναι παντὸς τοῦ
f. 153r κόσμου οὐκ ἂν ἐδόξαζον, αἰδούμενοι τὸν κυρίως | κινήσαντα καὶ οὐκ ἂν που λόγους καὶ μήκη καὶ ἁρμονικὰς ἀναλογίας ἀθροίζοντες κινεῖσθαί τε καὶ διαμένειν τὸ πᾶν τῇ τοῦ θείου σώματος κινήσει ἐκεῖνοι ὡς κεκλήκασιν ἔλεγον· ἐνητένιζον δὲ ὄντως τὸ θεῖον καὶ διεβίβαζον τὴν πάντων δόξαν πρὸς τὴν ἀλήθειαν, ἐκ τῶν ἐγγυτάτω νοοῦντες τὰ πόρρωθεν.

<T>αῦτα μὲν τὰ ἐκείνων· ἡμεῖς δὲ καὶ ἐκ τινων σμικρῶν ἀφορμῶν πιστεύομεν ἃ οὐκ οἴδαμεν, ὡς δοῦλοι εὐνοϊκοὶ καὶ ὑπηρέται τῆς ἀληθείας. ἐν ἡμῖν γὰρ τὸ σέβας οὐκ ἐκ τοῦ φερομένου, οὐκ ἐκ τοῦ ἱσταμένου, οὐκ ἐκ τοῦ τῇ κινήσει συνεισφέροντος ἕτερα, ἀλλ' ἐκ τοῦ Θεοῦ, ὑπὲρ πᾶσαν ἀπόδειξιν βέβαιον. περὶ γὰρ μίαν τῶν κινήσεων νοῦν θέντες οἱ πρώην φιλόσοφοι πολλὰς καὶ ἄλλας αὐτῇ ἀφωσίωσαν, ὡς ἐν ἐκείνῃ πάντα ἵστασθαι. τὸ γὰρ σφαιρικὸν σῶμα τῇ κυκλικῇ ὁδεῦον στροφῇ, πέμπτον καί γε καθεστηκός, περιέχει τὰ ἐντὸς καὶ καθ' ἕκαστα ἐκ τῶν προσεχῶς ἔχον ἐπὶ τοῖς πόρρω καὶ τὴν συνέχειαν, δι' ὧν οἰκείων ἀστέρων μεταδοτικῶς ἀλλοιοῖ τὰ ἕως τοῦ κέντρου μετέχοντα, συμπεριλαμβάνον καὶ τοῦτο διὰ μέσου αὐτοῦ προχωροῦν. διὸ δὴ περὶ μὲν τῶν ἄνω τῶν ἀλλαχῶς κινουμένων ἀστέρων οὐ πολλοὶ
f. 153v λόγοι τοῖς ἀστρονόμοις | περὶ δὲ τῶν κινουμένων ἄλλως καὶ προσεχῶς καὶ λίαν εἰσὶ λόγοι πολλοί, ξυναγόμενοι μὲν καὶ οὗτοι κατὰ τῶν τῆς τῶν ἑκατέρων ἐπιφανείας μέτρων, ἐξ ὧν ἰσάκις τὰς ὁδοιπορίας τῶν ἀστέρων γινώσκουσιν. ἰσομερῶς γὰρ διίσταται τῷ τοῦ πόλου ἐμβαδῷ ἡ τῆς γῆς ἐπιφάνεια, ὅτι καὶ πανταχοῦ τὴν τῶν στοιχείων ἴσην ἔχει συνέχειαν πρὸς τὸ ἕν, αὕτη μεσεμβολεῖ δὲ τῷ σώματι ἕλκουσα τὸ τέταρτον μέρος τε ἀεὶ καὶ βαρύτερον. δεῖ, δεῖ γὰρ ἐκ τῆς περιφερείας τὸν ἄξονα διὰ τοῦ κέντρου διέρχεσθαι, ἵνα μέσον ὁ κύκλος τέμνηται καὶ ὡς ἔν τινι ἀκινήτῳ τῷ διερχομένῳ ἄξονι κινῆται περὶ τοῦτο ἡ στοιχειακὴ συμφυία ἀκαταλύτως, καθὼς ἐτάχθη ἐκ τῆς ἄνωθεν τάξεως. εἰ γάρ ἐστι κύκλος ὁ πόλος, ἔστι κέντρον ἡ γῆ, βάρος καὶ γάρ ἐστιν· εἰ δ' ἔστι καὶ στερεόν, ὅπερ ἐστί, μάλιστα τότ' ἐστὶ κέντρον ἡ γῆ,

75. *μεσεμβολεῖ δε* (sic) in erasis F.

συμπεριάγον τὰ συστοιχοῦντα μέρη αὐτῆς κατὰ τὴν τῶν αὐτῶν λεπτομέρειαν ἕως τῆς τοῦ οὐρανοῦ συναρμογῆς ἐν τῇ τάξει τοῦ ἄξονος. ταῦτα μὲν τῇ φυσικῇ ἀκολουθίᾳ διὰ τῶν μαθημάτων περάσαντες τὸν
85 συλλογισμὸν ἔγνωσαν οἱ φιλόσοφοι, καὶ τῇ θεολογίᾳ ἐγγίσαντες ἢ ἀσκήσαντες τῇ διδακτικῇ τῇ καὶ γραπτῇ ἐγνώρισαν, ὡς ἐν μεταιχμίῳ νοήσαντες τὴν συνέχειαν· ἀκραιφνῶς δὲ τὸν Δημιουργὸν οὐκ ἐνόησαν,
| καὶ ὅτι ὡς ἐν τινι ἕδρᾳ ἐκείνῳ τὸ πᾶν ἑδράζεται. ἡμεῖς δὲ οὔποτ' ἂν f. 154r
τοιαῦτα νοήσωμεν, μὴ καὶ τὸν Υἱὸν τοῦ Θεοῦ δημιουργὸν ἁπάντων
90 γινώσκοντες, δι' οὗ σοφία πᾶσα καὶ δύναμις καὶ τῶν ἀσόφων συνέτισις, τολμῶ λέγειν, ἐν ᾧ καὶ τὰ ὑπὲρ φύσιν κατ' ἰσχὺν τῆς αὐτοῦ φύσεως αὐτῷ οἰκειότατα. διοικεῖ γὰρ πανταχόσε ἡ Πρόνοια ὡς κυρία καὶ ἀρχική. καίτοι καὶ τὰ στοιχεῖα οὐ μεμονωμένως τις εὕρῃ, ἀλλ' ἐν ἑτέρῳ τὰ ἕτερα καὶ δι' ὅλων τῶν ἑτέρων τὸ ἕτερον, εἰ μὴ σοφίζηται
95 τὴν φύσιν καὶ τὴν διάνοιαν. τὴν δ' ἄνω ἰσχύν τε καὶ δύναμιν πῶς ἄλλως ἔχειν τις εἴποι, ἢ ὑπὲρ περισσοῦ τῶν ἄλλων κατὰ τὴν δύναμιν; ἐπεὶ τὰ πάντα διὰ ταύτης κτιστά. ἆρα γε οὖν οὐχ ὕλη καὶ εἶδος, οὐ κίνησις καὶ ἀκινησία, οὐ καθ' ἁρμονίαν ἄρσις καὶ θέσις ὑποκριτικά τινα σχήματα ἡμᾶς καθ' ὑπόκρισιν τὸν λόγον ἐδίδαξεν, ἀλλ' ὁ Λόγος
100 τοῦ Θεοῦ, ὁ κτίσας καὶ περιάγων ἐν σοφίᾳ τὸ πᾶν, πλατύνας ἡμῶν τὴν διάνοιαν καὶ τὸ λεπρὸν τῆς ἀγνωσίας διαφερόντως ἄξας εἰς καθαρότητα γνώσεως, εἰ καὶ λίαν ὑποκρινόμεθα, οὐχ ὡς ὕπουλοι, ἀλλ' ὡς σεμνύνειν τὸ ἡμῶν σμικρότατον θέλοντες. ἔστι γάρ, ἔστι καὶ τοῦ Λόγου δευτέρας εὐεργεσίας περιποίημά τε καὶ ἐπιμέλεια πρὸς ἡμᾶς·
105 πῶς δέ γε καὶ ὁποίῳ τρόπῳ τοῦτ' αὐτό, εἴτε φρονοῦμεν εἴτε πράττομεν, αὐτὸς ἐδωρήσατο, οὐκ ἂν ἔγνωμεν· μόνον δὲ οἴδαμεν ὅτι δέδωκε,
| καὶ δόμα λίθων καὶ μαργάρων τὸ τιμιώτατον, λόγου περιουσίαν, δι' f. 154v
ἧς καὶ οἱ πλούσιοι τοῦ λαοῦ κατὰ Δαβὶδ ἀγλαΐζονται, κἂν που καὶ παραλόγως τὸν ὄλβον νέμωσιν. ἡμῖν δὲ πολλάκις, ὦ φίλτατε, αἰτήσας
110 ἐκ τῶν λογικῶν ἡμῶν ὄλβων, ἀνεδυόμεθα τῇ αἰδοῖ· ἐπεὶ δὲ καὶ χθὲς καὶ πάλιν οὐκ ἐγγράφους ἀλλ' ἀγράφους ἐζήτεις λόγους ἐξ ἡμῶν, ὧν ἔγνως καὶ τὴν ἀνατροφὴν καὶ τὴν γέννησιν καὶ τοὺς τὴν ἐκ τῶν πρωτίστων σχόντας καὶ ὑπερέκεινα παίδευσιν, ἀντὶ ἀγράφων ἐγγράφους δίδομεν· ἀρεστοί τε εἰ τέως φανῶσι, πείσουσιν ἡμᾶς προσάγειν καὶ ἐφεξῆς.

---

92 sq. οἰκειοτ^{τα}' F. || 96. fort. ὑπερπερισσῶς. || 102. ὑπουλοι F. || 106. δὲ scripsi: τὲ F. || 108. cfr. Psal. XLIV, 13. || 112. τοὺς] fuerit αὐτοὺς (sc. ἡμᾶς)? || 114. διδόαμεν F.

f. 155r τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

II (CX) Εἰ τὸ γενόμενον ἅπαν ἔχει ἀρχήν, ὅ τι μὴ καὶ [τὸ] γενόμενον, οὐκ ἔχει ἀρχήν· εἰ δὲ καὶ τὸ μὴ γενόμενον οὐκ ἔχει ἀρχήν, τὸ γενόμενον ἄρα ἔχει ἀρχήν, ἤδη ἀρίστως σοι ἀντιστρέφομεν. ἀρχῆς δ' ἀγαθῆς καὶ τὰ μετ' ἐκείνην αὐτῇ οἰκειότατα. πότερον ἀρχομένων ἡμῶν λογικῆς ξυναυλίας λόγος ἠγήσατο; ἀγαθοῦ δὲ τοῦ ἡγησαμένου πάντα ὄντως καλά, ὁ λόγος γὰρ ἀρχὴ παντὸς ἀγαθοῦ. τί ταῦτά ἐστι; φιλικά, ἢ κατὰ λόγον τὰ ἀναγκαῖα λέγοντα; τὸ δεύτερον νόμιζε. πολὺ δὲ μῆκος, εἰ μὴ καὶ τῶν γενομένων νομίζεται, ἔστιν ἀρχὴν εἶναί τι καὶ κατὰ κόσμον ἄριστον. ἡ φύσις γὰρ παρὰ Θεοῦ διὰ τῆς ἐκείνου προνοίας, ἢ ἐκ τῆς ἐκείνου τὸ οἰκειότερον, κατὰ λόγον πάντα ἐποίησεν· εἰ δ' οὐκ ἔστιν ἀρχή, οὐδὲ φύσις πάντα κατὰ λόγον ἐποίησεν. θαυμάσιον τὸ λεγόμενον, καινοπρεπὲς τοῖς πολλοῖς καὶ ὧν οὐκ ἄρχει λόγος καὶ νοῦς· ἐκεῖθεν γὰρ καὶ ἡ ἐπιστήμη διέδραμε καὶ πλημμελῶς ἡ γνῶσις ἐπέμεινε, καὶ οὐκ ἄρχουσι τῆς ἀρχῆς, ὅτι λόγος οὐ κατάρχει αὐτῶν. ἡμῶν δὲ πρότερον ἦρξε λόγος, ἑπομένως φιλία καὶ παρεπομένως τὸ
f. 155v θάρρος· ἥγεται γὰρ ὁ φίλος οἰκεῖα τὰ τοῦ φίλου | ἀποπτώματα. εἴπερ οὖν καὶ ἡμεῖς ἕως δεῦρο οὐκ ἐπεστέλλομεν, μὴ ὀνειδισθῶμεν. 'οὐ ζητεῖ γὰρ ἡ ἀγάπη τὰ ἑαυτῆς' Παῦλος εἰρηκεν· εἰ δὲ Παῦλος, στόμα Χριστοῦ· εἰ δὲ στόμα Χριστοῦ, πείθομαι λέγειν ὅτι ὁ Χριστός. εἰ γοῦν ἐκ τοῦ μὴ ἐπιστέλλειν ἀδιάθετοι ἐνομίσθημεν, ἤδη ὡς ὁρᾷς ἐπιστέλλομεν καὶ λύομεν τὸ τῆς ἀσπλαγχνίας μεσότειχον, εἴπερ ὡς μὲν εἰσῆλθεν, ὡς δ' οὐκ εἰσῆλθε, διὰ τῆς ἀρτίως ἐπιστολῆς. καὶ ταῦτα μὲν τὰ ἡμῶν· ἃ δὲ σὺ διακρινεῖς, οὐκ ἄλλως ἔχοντα κρίνομεν.

II Argumentum. *'Ignoscas mihi ad te rarius scribenti; non enim de meo in te affectu dubitare potes; sed discendi studio distentus sum'.*

1. τὸ delevi; καὶ τό, ὅ τι μὴ (*etiam illud quod non*) conieceram, sed cfr. 8. || 4. μετ' corr. ex μετά F. || 8. μῆκος *magnum quoddam*; an μῆχος? ἀρχὴν scripsi: ἀρχὴ F. || 18. Paul. Cor. I, 13, 5. || 21. cfr. Paul. Eph. II, 14. || 23. malim κρινοῦμεν vel κρίνωμεν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

III. (CXI)

Ἐν τοῖς Τρωικοῖς ὁ ποιητὴς ὀνομάζει εὐανθῆ λειμῶνα τὴν περὶ τὸν Κάυστρον πεδιάδα, Πακτωλὸν δὲ τὸν περὶ τὰς Σάρδεις προσεπεισρέοντα ἐκθειάζουσιν ἔνιοι τῶν ἱστορικῶν, ἕτεροι δ' αὖθις τὴν περὶ τοὺς Ἴωνας γῆν, καὶ τὰς οἰκείας πατρίδας οἱ μάλιστα. ἐγὼ δὲ τὸ κάλλιστον τῆς Ἀσίας διαδραμὼν οὐ περικλείω τόπῳ τὰς χάριτας, οὔτ' αὖθις φιλοτιμοῦμαι τῇ γῇ τὸ καλόν· ἀφοσιοῦμαι δὲ τῷ συναθροίσμῳ τῶν καλῶν καὶ τὴν περιφάνειαν καὶ τοῖς μειλιχίοις ἀνδράσι τὸ φιλικὸν καὶ τοῖς ἐμοῖς τὰ ἐμά. ἐπεὶ δὲ σὺ τῶν ἐμῶν, τάχ' ἂν τις εἴποι ὅτι περικλείω σοι τὰ ἐμά. καὶ αὖθις, ἐπειδὴ σὺ καὶ πραΰς, τὸ ἐμὸν ἀνατίθημί σοι | κοινωνικόν· καὶ πάλιν, ἐπειδὴ σὺ ὁ τῶν ἀρετῶν, κοσμῶ f. 156r σὲ τὸν τῶν ἐμῶν λόγων περιφανῆ κλεισμόν, καὶ συνίστημι ὅλην ἐν σοί τινα καλοκἀγαθίας πανήγυριν, καὶ πορίζομαι κἀκ τούτου ῥᾳδίως καὶ ἀξίως τὰς ἀφορμὰς ἐγκωμιάζειν τόπον καὶ ἐν τόπῳ. ἐκείνοις γὰρ ἴσως ἐθαυμάσθη χρυσός, γεωργία τόπου καὶ εὐκαρπία, ἀγρῶν εὐδενδρία καὶ εὐθηνία ἀμπέλων· τοῖς δ' ἄλλοις ὀρῶν συνδενδρία καὶ ὑδάτων ῥοαί, θαλάσσης γειτνίασις καὶ χόρτου πληθύς· καὶ τοῖς ἄλλοις αὐτὸ τοῦτο τὸ φίλον ἔδαφος, ἡ πατρίς. ἐμοὶ δὲ οὐδὲν τοιοῦτον θαυμάζεται ὡς ὕλης ὄν τε καὶ τῆς φθαρτότητος· φίλος δὲ καὶ θαυμάζεται καὶ δοξάζεται, καὶ φίλος οὐκ ἄλλος ἢ σὺ αὐτός, ὃς ὅλον τὸ φιλικὸν συμπεριλαβὼν ὅλον ἔχεις ἐμέ, καὶ ὅλον τοῖς ἐντός τε καὶ τοῖς ἐκτός. διὰ τοῦτο, εἰ καί κῆπον κεκλεισμένον καὶ ἐσφραγισμένην πηγὴν κατὰ τὸν θεῖον ἄνδρα ἐκεῖνον κατονομάσω σε, οὐ περισυρεῖ μέ τις· ἔχω γὰρ ὡς ἐκεῖνος ἀξιολόγους τὰς ἀφορμάς, ἐπειδὴ καὶ καιρῷ πᾶν, ὅ τι ἐμὸν νόημα, καλῶς συλλαμβάνων περικατέχεις, ἀνοίγεις δὲ καιρῷ τὰς καρδιακὰς καὶ ψυχικὰς δυνάμεις εἰς τὰ ἐμοὶ βουλητά, καὶ μεταλαμβάνω ἐκ τούτων τῶν ποθητῶν, αὖθίς τε ἐγκωμιάζεις καὶ ἐκθειάζεις, ἀρήγεις τε καὶ ὑπερμαχεῖς, διακηρύττεις καὶ μεγαλύνεις, ἀνυψοῖς καὶ

III Argumentum. *' Alii alia laudant: ego nusquam tantum boni esse puto, quantum ubi tu es, quem maxime diligo '.*

1. Il. *B* 461. || 2. *τὸν Κάυστρον* scripsi: τὸ κ. F. || 7. *μειλιχείοις* F. || 15. *εὐθηνία* scripsi: *εὐθυνία* F. || 18. *ὄν τε* scripsi: *ὄντα* F. || 21. Cantic. IV, 12.

ὑπηρετεῖς, ὑπουργεῖς τὰ συνοίσοντα καὶ ἐκκόπτεις τὰ βλαπτικά. πάντα
f. 156v καλῶς τε καὶ φιλικῶς | τελεῖς εἰς ἐμέ· ἔχεις γοῦν πολλοὺς τοὺς
ἐπαίνους τοιαῦτα πράττων ὑπὲρ φίλου τοῦ σοῦ· διὰ τοῦτο καὶ ὁ φιλῶν
σὲ ἀσυγκρίτως πεφίληκεν. ὦ τῆς ὡραίας ἀντιστροφῆς, ὦ τῆς γλυκυτάτης ἀντιμισθίας, ὦ τῆς καλλίστης ὁμοφροσύνης, ἣν λύσει μὲν οὐδαμῶς βασκανία, ἐδραιώσει δὲ μᾶλλον ἡ δύναμις τοῦ Χριστοῦ, δι' ἧς καὶ ζῶμεν καὶ μένομεν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

IV (CXII) Ἡ τῶν πολλῶν τυραννοῦσα ἐπιθυμία καὶ ἡμᾶς τὰ νῦν ἐτυράννησε καὶ τῆς ἡδονῆς κατόπιν φέρεσθαι κατηνάγκασε, καὶ τοσοῦτον κατεπέβη ἡμῶν, ὥστε καὶ τῶν, ὧν δεῖ πορεύεσθαι, τρίβων πόρρω βαίνειν ἐποίησε, καὶ δουλεύομεν τῇ δεσποίνῃ τῇ ἡδονῇ ὡς οἰκέται ταύτης ἀχρειότατοι τέλεον. οὐ γὰρ ὡς εἰκὸς βαδιούμεθα καὶ τῇ τοῦ ἱππικοῦ Νέστορος παιδείᾳ τὴν ἱππικὴν ἀσκήσοντες μέχρι ταύτης ἱστάμεθα τῇ πορείᾳ, ἀλλὰ τὰς συναγωγὰς τῆς αἰσθήσεως μὴ περισκοποῦντες κατ' ἐκπομπὰς καὶ ἡμεῖς, καθὰ δὴ καὶ <ἡ> ὅρασις, πορευόμεθα μέχρι τοῦδε ταῖς τῶν ὀρέων κορυφαῖς γειτνιάζοντες. ἡ γὰρ κλαγγὴ τῶν γεράνων τοὺς ὀιστοὺς ἡμῶν ἡμᾶς περιζώσασθαι πείσασα μανικῷ δηλονότι τῷ τρόπῳ τοὺς ἡχοῦντας αὐτὴν διώκειν ἐποίησε, κατοικίαν δὲ μηδὲ τὴν τοῦ ἐρωδιοῦ
f. 157r εὑρίσκοντες αὐτοὺς τέως | φέρομεν ἐν χερσίν, ἐκείνους ἐν προθυμίᾳ διώκοντες. ἀλλὰ τίς ἂν Θεστορίδης ἀνὴρ ὑψίνους καὶ μαντικὸς καὶ τὰ συμβησόμενα ἡμῖν τοῖς πλανωμένοις διασαφήσειεν, εἴ τε εὖ εὔξει τὸ ἡμῶν ἐκ τῆς ἄγρας τρυβλίον, ἵν' ἐξ ἀνάγκης τερψιθυμῶμεν; ἢ γοῦν καὶ τῇ λύπῃ στυγνοτέρως διάγομεν; ἡμεῖς γὰρ ἓν πνέομεν τὸ διώκειν τὰ πτερωτά. εἴτε γοῦν ὡς λόγου τρόφιμοι ὄντες, πτερόεντες γὰρ αὐτοί, εἴτε δὲ ὡς αὐτοὺς ποθοῦντες διώκομεν καὶ τὰ πτερωτά, οὐκ ἴσμεν. σὺ οὖν γινώσκων ὅτι πολλά, οἶδα γὰρ ἐξ ἀξιωμάτων πολλῶν τοῦτ'

---

34. *μένομεν*] scribendum *πνέομεν*?

IV Argumentum. '*Rei venatoriae totus deditus ad te non nisi pauca scribo; sed cum tempus aderit, specimen aliquod, ut petis, studiorum meorum ad te mittam*'.

6. *ἀσκήσοντες* scripsi: *ἀσκήσαντες* F. || 8. *ἡ* addidi, cl. Etym. Magn. 133, 21-24. || 12. *αὐτοὺς τέως* scripsi: *αὐτούς τε* F. || 14. *εὔξει* non expedio: fort. *εὖ εὔξει* = *εὐλογήσεις*? an *αὔξει* (*augetur* seu *repletur catinus noster*)? || 15. *τρυβλίον* (immo *τρύβλιον*) scripsi: *τριβλίον* F.

αὐτό, διακρινεῖς ἀμεταποίητα. καὶ ταῦτα μὲν οὖν φιλικῷ τῷ τρόπῳ καὶ θαρρικῷ γεγράφαμεν πρὸς σέ, καὶ ὥσπερ τινὰ κυνηγετικὴν ἀποδεκάτωσιν ταύτην δή σοι στέλλομεν τὴν γραφήν. καιροῦ δὲ προϊόντος, ἢ μᾶλλον ὅτε καιρός, ἐπεὶ καὶ πάντα καιροῦ, ἴδοις τὰ ἡμέτερα σπουδάσματα, καθὰ δὴ καὶ πρότερον ἐζήτησας, ἃ τινα Θεὸς ἡμᾶς σοφίσας ἀρρήτοις λόγοις ἀπεχαρίσατο, εἰ καὶ τοῖς πολλοῖς δοκεῖ πως τοῦτο παράδοξον.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

V. (CXIII)

Ἀνθηρὰ μὲν ἡ ἐπιστολὴ τοῦ ἐμοῦ φίλου ὑπῆρχεν ἐκ τῆς γραφῆς, ἀνθηροτέρα δὲ ἐκ τῆς πρὸς ἐμὲ τοῦ γράψαντος ἀγαπήσεως. διὰ τοῦτο καὶ τὸ χάριεν ηὔχει πλησμίως | καὶ τὸ φιλικὸν ἄκρως τε καὶ γνησίως. τί γὰρ ἂν ἄλλο ποιεῖν ἠδύνατο; καὶ ῥᾳθύμως διετέθη ὁ γράψας ταύτην αὐτῷ, ἐπειδὴ Θεοῦ φωνὴν εἶναι τὴν ἐμὴν ὅπα καὶ δρόσον Ἑρμῶν ἐν χάρτῃ γεγραμμένην πρὸς αὐτῆς διεκήρυττε, πρὸς τούτοις καὶ ζωὴν ἔχειν με καὶ πνοὴν καὶ εἴ τι ἄλλο ζώντων τερπνόν. ἐπλούτει γοῦν διττῶς, ἐπεὶ οὕτως ἐβόα, τὸ τοῦ γράψαντος γνήσιον, [ἐπεί] ὅτιπερ τοῖς τῆς ἡμετέρας ἀγάπης μέρεσιν ἀνθωμολογεῖτο καὶ ὅτι τοιαύτην εἶχε τὴν τέχνην. ἐγὼ δὲ ταύτην ὡς ὡραίαν περιστερὰν ἀνὰ χεῖρας δεξάμενος, ἣν ἑώρων ὥσπερ κάρφος ἐλαίας βαστάζουσαν στόματι οἷον τὴν πρὸς ἐμὲ τοῦ φίλου μου πρόθεσιν, ἠγαλλιασάμην καὶ ταύτην ἠγκαλισάμην, καὶ μικρόν τι τὸ θολερὸν ἀποδημίας ὕδωρ τὸ ταράσσον ἡμᾶς κεκόπακε, μαντικώτερον δὲ τάχα περισκοπήσαντες εὐδαιμονεστέρους ἡμᾶς Νῶε καὶ τῶν σὺν αὐτῷ ὄντων ἐν τῇ κιβωτῷ εἶναι προεπιστώθημεν, ἐπείπερ συχνοτέρως μέλλομεν δέχεσθαι τὰς περιστεράς, ἐκείνου μόνην δεδεγμένου καὶ ἅπαξ· ἐξ ὧν καὶ ὁ κλύδων ῥαΐσει καὶ ὁ τάραχος ὑπονοστήσει καὶ τὸ τῆς ἀποδημίας κῦμα παλινδρομήσει, αἰθρία δὲ καὶ χαρὰ καὶ εἰρήνη σὺν νηνεμίᾳ καὶ γαλήνῃ f. 157v

---

21. θαρρικῷ] fort. τεθαρρηκότι. ‖ 25 sq. cfr. Epist. LIII, 47.

V Argumentum. *'Tua laudatio mihi pergrata et dolori meo non parvo solacio fuit. Velim alias mox huiusmodi epistulas a te accipere'.*

5 sq. cfr. Psal. CXXXII, 3. ‖ 8. ἐπεί delevi. ‖ 10 sqq. cfr. Gen. VIII, 11-13.

ἑνώσεως ἡμᾶς ὑποδέξονται, κἂν καὶ τὸ ἐμὸν ἀνάξιον αὐτῶν ὑπάρχῃ κατατρυφᾶν ἀφιλόσοφον.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

VI. (CXIV) Καὶ ἡ ἄνεσις ἔστιν ὅτε προξενεῖ ἡδονήν, καὶ αὖθις ὀλίγον ἡ ἐπίτασις. ἐν ἐμοὶ δὲ καὶ σοὶ οὔτε ἡ ἐπίτασις ἔχει κόρον, οὔτε εὐφροσύνην ἡ ἄνεσις. ἀνόθευτος καὶ γὰρ ἡ ἡμῶν φιλία καθεστηκυῖα ἀπροσκορεῖς ἡμᾶς ταύτης εἶναι ποιεῖ. διὸ τὸ μὲν ἡδὺ ἀκραιφνῶς ἡμῖν ἡ ἐπίτασις ἄγει, τὸ δ' ἄλλο ἡ ἄνεσις. ἅπερ τίς τῶν γε νοῦν ἐχόντων σκοπήσας
f. 158r ἀνώτερόν τι εὑρήσει νόημα, εἴτε φιλίᾳ εἴτε γνώσει εἴτε φύσει εἴτε μαθήσει ἀνάξει αὐτό; τὰ δ' ἄλλα δευτέρου λόγου, κἂν καὶ τοῖς ἄλλοις πρῶτα, ἡμῖν εἰσιν, ὡς τὸ κατὰ φύσιν ἀνερευνῶσιν.

---

20 sq. ἀνάξιον et ἀφιλόσοφον inter se locum mutasse dixeris.

VI Argumentum. *'Amicitia nostra neque tempore neque alia causa umquam imminui poterit; neque satietati neque remissioni in ea locus est'.*

VI

AD BALSAMONEM GRAMMATICUM

Τοῦ αὐτοῦ σοφωτάτου βασιλέως κυροῦ Θεοδώρου τοῦ Λάσκαρι πρός τινα γραμματικὸν τὸν Βαλσαμὼν πρὸ τῆς τοῦ μαρκίωνος Βερτόλδου Δε 'Οεμβούργ πρεσβείας πρὸς τὸν μέγαν βασιλέα κυρὸν 'Ιωάννην τὸν Δούκαν. Laur. 59, 35 f. 158r

'Εκ βαλσάμων καὶ τῶν βαλσαμώνων οὐδὲν ἄλλο ἢ εὐοσμία, καὶ ἐκ Βαλσαμὼν καὶ τῆς τούτου γραφῆς οὐδὲν ἄλλο ἢ καλλιέπεια καὶ εὐφράδεια καὶ νοημάτων χαριεστάτη πλοκή. διὰ τοῦτο καὶ τὴν μίξιν ἀρίστην αὐτὰ ἔχοντα, ἐν τῇ λεπτομερείᾳ τε τῇ φυσικῇ διὰ τῶν ἀκουστικῶν πόρων διαδραμόντα, τῇ ἐμῇ ψυχῇ χαρίζουσι τὸ τερψίθυμον, ὡς ἔπη ὄντα τοῦ Βαλσαμών· ἐπεὶ καὶ μύρου πολυτελοῦς λογικοῦ ἕφερον εὐωδίαν τινά, καὶ τὰ ἐκτὸς πρότερον | εὐωδίασαν, καὶ πλείστῃ (CXV) f. 158v *ποικιλίᾳ λόγων τὸ δυσῶδες τῆς λύπης μυρεψικοῖς ῥήμασιν ἀπεδίωξαν, καὶ ἕτεμον τοὺς φραγμούς, καὶ τὰ φυόμενα νοήματα φύεσθαι ἐποίησαν, τῇ θερμότητι δόντα τὴν θάλψιν καὶ τῇ ὑγρότητι τὴν ἀνάβασιν, καὶ τοὺς ἀπεσβεσμένους καὶ πεφραγμένους παρὰ τῆς λύπης τῶν νοημά-*

Tit. 2. *πρὸ*] *πρὸς* F.

Argumentum. *' Tuae doctrinae copia vehementer delectatus falsi sapientis ineptam eruditionem contemno '.*

1. *βαλσαμώνων* scripsi: *βαλσάμων* F. || 2. *βαλσαμὼν* hic et infra (6) F.

τῶν πόρους ἀνακαθάραντα. τί τοίνυν; ἐρήσομαι. πάντα μύρων ὀσμὴν ἐκπέμπει τὰ Βαλσαμών, λόγοι τε καὶ γραφαί, ἔκ τε τῆς ἀντικρυς τοῦ τῶν βαλσάμων ὁποῦ θερμότητος καὶ τῆς ὁμοίας τούτων ὑγρότητος· τῷ γὰρ ὑγρῷ καὶ θερμῷ συμφυῶς καὶ τὸ ζωογόνον ἐστί. διὸ καὶ οἷς πλησιάζειν φέρεται ζωογονεῖ τῇ θερμότητι καὶ ὑγρότητι, εἰ μὴ καὶ τις ἀμβλυοπῶν καὶ παραδόξῳ δόξῃ νομογραφῶν ἀντιβάλλῃ βάλλων πρὸς τὰ λεγόμενα, καὶ ψυχρὸν ἐννοήσῃ δὲ καὶ τὸν ἥλιον παλαιτέρᾳ ἀνδρὸς δόξῃ ἀπατηθείς, καὶ τὰς τοῦ κύκλου ὡσαύτως κατὰ τὸ μέσον ἴσας τομὰς ἐν εὐθείαις γραμμαῖς, τέσσαρες γὰρ διὰ τὴν κέντρου συνάφειαν, οὐ καλέσει ἐν ἑξάδι τετρακτὺν οὖσαν, τῇ τομῇ διόλου τοῦ κύκλου ἑξαχῶς τεμνομένου κατὰ τὴν ἴσην ταὐτότητα, καὶ τετρακτὺν τὴν ἑξάδα ἐπιστημονικῶς ἀποδείξειε (ταῦτα δὲ λέγει οἱονεὶ παίζων, ἀλλ' οὐ σπουδάζων ὡς ἀνεπιστήμων καὶ ἄσοφος) οὕτω καὶ τὸ θερμὸν καὶ ὑγρὸν | οὐ παραδώσει ὁμοίως χώραν ζωογονεῖν. ἐγὼ δὲ τῇ λιπάνσει τοῦ τῶν βαλσάμων ἐν λόγοις ὁποῦ θερμανθεὶς τε καὶ ὑγρανθεὶς καὶ οἱονεὶ τῆς ψυχικῆς λυχνίας τὴν θρυαλλίδα ζωπυρωθεὶς, ζωογόνον δοξάζω τὴν ὑγρότητα καὶ θερμότητα, ἐκ τῆς πρώτης φιλοσοφίας ἔχων τὰ ἀξιώματα. καὶ εἴ τις οἶδεν ὁποῖά ἐστι καὶ οἵᾳ τάξει καὶ ἀριθμῷ ὁ προποδισμὸς τῆς γνώσεως ταύτης γίνεται, γνοίη γε ἂν καὶ τὸ ἐρωτώμενον. τὴν δὲ τῶν Πέντε Φωνῶν ἑρμηνείαν, τὸ διά τί πέντε, ὁμοίως δὲ καὶ διὰ τί φωναὶ λέγονται, ἐγὼ μὲν ταύτῃ διαπεφώνηκα· κοινολεξίᾳ δὲ χρήσομαι ἵνα δείξω τὸ μεγαλεῖον τοῦ πράγματος καὶ τὴν τοῦ ἐξηγητοῦ ἐπιστήμην καὶ δύναμιν. ἀναστολαίαν τῷ ἀναγινώσκοντι ταύτην γραμματικῷ ἐδόξασα τὴν ἐξήγησιν. ἐπεὶ δὲ καὶ ἡ τῶν τριῶν σχημάτων τῇ ὁμοίᾳ παρακεκομμένῃ ἀναστολαίᾳ εἰκόνιζε, τί ἄλλο γέγονεν ἢ, τῆς μιᾶς φιλοσόφου ὕλης ἀφανισθείσης ἐκ τῆς παρατυχούσης ὕλης ἢ καὶ λοιπῆς οὔσης, ἡ τῶν τριῶν σχημάτων γέγονε διασάφησις πάντως δὴ καὶ αὕτη σκαμβή; σκαμβὴ δὲ γεγονυῖα, ἄλλον θέλουσα πλοῦν βαδίσαι, βαδίζει ἕτερον. διὸ καὶ ἐρωτωμένη περὶ τῶν τῆς γεωμετρίας ἀρχῶν, διὰ τί παρὰ τῇ γεωμετρίᾳ οὐκ ἀποδεικνύονται, ἀλλὰ παρ' ἑτέρας ἐπιστήμης ἔχουσι τὴν ἀπόδειξιν, καὶ ποῖα αὕτη ἐστί, περὶ περατοῦ καὶ περατουμένου | ἀνταποκρίνεται. ἡμεῖς δὲ μὴ περάσαι τοὺς ψυχροὺς

f. 159r

f. 159v

12. εἰρήσομαι F. || 14. ὁποῦ corr. ex ὁποῦ, ut. vid., F. || 17. βάλλων F. || 26. ὁποῦ F. || 38. δὴ scripsi: δὲ F. || 39. αὕτη] malim αὐτὴ. || 41. ἑτέρας scripsi: ἑκατέρας F.

καὶ ἀνεπιστήμονας λόγους δυνάμενοι, καταπαύομεν νῦν καὶ τοῦ λόγου
45 ἐπέχομεν τὴν φορὰν πληρουμένου τοῦ χάρτου, πρὸς ὕδωρ καὶ γάρ ἐστι.

45. immo εἰς vel καθ' ὕδωρ: cfr. Diogen. V, 33 (*Corp. Paroem.* I, 267, 4) et Leutschii adnotationem.

VII

AD PHOCAM PHILADELPHIAE METROPOLITAM

Laur. 59, 35 f. 159v

Τοῦ αὐτοῦ βασιλέως κυροῦ Θεοδώρου τοῦ Λάσκαρι πρὸς τὸν πανιερώτατον μητροπολίτην Φιλαδελφείας κυρὸν Φωκᾶν πρὸ τῆς τοῦ μαρκίωνος Βερτόλδου Δε 'Οεμβούργ πρεσβείας.

I. (CXVI)

Πανιερώτατε μητροπολίτα Φιλαδελφείας καὶ ὑπέρτιμε·

Οἶδεν ἡ 'Αγιωσύνη σου, ὅτι ἡ τῆς ὑπεραγίας Θεοτόκου σεβασμία μονὴ ἡ ἐπονομαζομένη τοῦ Κουζηνᾶ διαφερόντως ὑπάρχει τῆς βασιλείας μου, καὶ ὁ μέλλων καθηγήσασθαι ταύτης οὐκ ἄλλως τοῦτο δυνήσεται, εἰ μὴ καὶ ὁρισμῷ καὶ θελήματι τῆς βασιλείας μου. δέον γάρ ἐστι τὰ δεόμενα ὕλης καὶ ἀυλίας ἐκ τῶν ἑκατέρων ἀρχῶν εὐμοιρεῖν τῶν ἀρχῶν. κεκρίκαμεν γοῦν, εἴπερ κτᾶσθαι ταύτην δεῖ ἄυλον, τὴν 'Αγιωσύνην σου· εἰ δὲ καὶ ἡμᾶς κρίνει ἡ 'Αγιωσύνη σου τῶν ἐνύλων ἄρχειν αὐτῆς, στέρξομεν καὶ αὐτό· εἰ δ' οὖν, τὰ παρ' ἑκατέρων δοίημεν τῇ 'Αγιωσύνῃ σου. ἀλλ', οἶδα, στέρξεις τὰ πρότερα· οὐ γὰρ ἕνεκα κτημάτων καὶ χρημάτων ἡ τῶν θείων ἀρχιθυτῶν ἀναλυτικὴ ἐπιστήμη προὔχει πάσης ψυχῆς, τῆς τε ἰδιωτικῆς, τῆς τε ἱερατικῆς, τῆς τε

I. Argumentum. '*Monasterio, quod Cuzena dicitur, praeesse volumus Antonium monachum, teque rogamus ne aliter statuas*'.

1. μρ̃οπολίτα F. ‖ 7. τῶν ἀρχῶν comp. F: malim τῆς ἀρχῆς: an delendum ἀρχῶν ante εὐμοιρεῖν?

μοναχικῆς, τῆς τε ἀρχικῆς, ἀλλ' ἕνεκα τῆς ὄντως ὀντότητος καὶ τῆς
| πρὸς τὰ ἄνω θειότερα ἐκ [τῆς] τῶν χθαμαλῶν καὶ συγχυτικῶν ἀνα- f. 160r
νεύσεως. ταῦτα γοῦν ἐπιστημονικώτερον καὶ ἡ Ἁγιωσύνη σου γινώ-
σκουσα, ἐπειδὴ τοῦ σοῦ ἀξιώματος ὑπάρχει αὐτά, ἀναγκαίως πνευμα-
τικῷ ἀνδρί τε καὶ ἱερῷ τῆς τοῦ Κουζηνᾶ παραχωρήσεις μονῆς προ-
στατεῖν. καὶ μὴ τῶν τοῦ Παρσάτου κερασβόλων ἀκροάσθω φωνῶν ἡ
Ἁγιωσύνη σου· ἀλλὰ τὸν εὐγενῆ τοῦτον ἄνδρα ψυχῇ τε καὶ σώματι,
τὸν τιμιώτατον ἐν μοναχοῖς κυρὸν Ἀντώνιον, συνέργησον καθηγήσα-
σθαι τῆς μονῆς· ἐπεὶ καὶ ἡ βασιλεία μου οὐ μέλλει παραχωρῆσαι ἄλ-
λως γενέσθαι τοῦτο νεύσει τοῦ κρείττονος καὶ τοῦ πρὸς ἡμᾶς κυρίου
τε ὡσαύτως καὶ κρείττονος. εἰς ὅπερ ἔργον θεοπρεπὲς καὶ θεοφιλὲς
συνωθοῦμεν καὶ παροτρύνομεν, καὶ ἀξιοῦμεν καὶ σύμβουλον καὶ συνο-
παδὸν καὶ συνεργάτην καὶ συμμύστορα καὶ συνίστορα καὶ συμπράκτορα
καὶ οἰκονόμον διὰ τὴν ἡμετέραν ἀγάπην γενέσθαι καὶ τὴν σὴν πολλὴν
Ἁγιότητα. καὶ ταῦτα μὲν οὕτως γενήσονται καὶ καθὼς βεβαιούμεθα.
ἡμεῖς δὲ πλανηθέντες τῇ τῶν ἀστέρων ὁδοιπορίᾳ καὶ ἄλλοσ' ὁδεύειν
ἐθέλοντες ἔκ τε τῆς φύσεως, ἔκ τε τῆς προαιρέσεως, ἔκ τε τῆς φιλο-
σοφίας καὶ τῆς μαθήσεως, ἔκ τε τῆς εἰς τὴν Αὐτοσοφίαν καὶ Αὐτο-
αλήθειαν σχέσεως ἄλλοσ' ὁδεύομεν. αἰσθανόμενοι δὲ καθ' ἑκάστην τῆς
γλυκυτάτης | ὑμῶν καὶ μουσικωτάτης συναρμογῆς καὶ τῆς ἐντόνου f. 160v
πλήξεως καὶ ἀκιχήτου περὶ τῶν τοῦ ἀνεξιχνιάστου ἐξερευνήσεων, θελ-
γόμεθα, ὡς εἰκός, τῷ τέως ἐπαλήσμονες γεγονότες τῆς συνελεύσεως·
ἦν καὶ Θεὸς πληρώσειεν ὡς πεποίθαμεν, καὶ ὑμεῖς μὲν φωτίσοιτε τὴν
ὑφήλιον, ὑπὲρ ἥλιον γὰρ τὰ θεῖα δόγματα καθεστήκασιν· ἐμὲ δὲ φω-
τίσοι τὸ φέγγος ὑμῶν καὶ συνετίσοι καὶ ὁδηγήσοι πράττειν τὰ καλά,
εἰ τέως ἔχομεν ὕλην δεκτικὴν τῶν καλῶν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Μικρὰ μὲν ἡ προσαγωγή, ἀγαθοδότης δὲ ὁ ληψόμενος· καὶ τόδε **II.** (CXVII)
εἰς οἷον ἐκ τίνος; ὅσον γὰρ τὸ καταδεὲς τοῦ δόντος διαστέλλεται

14. τῆς delevi. || 18. cfr. ep. XXVIII, 3. || 24 sq. συνοπαδὸν scripsi: συνεπωδὸν F. || 25. immo συμμύστην: συμμυστρα' F. || 28. 31. ἄλλοσ' scripsi: ἄλλως F.

II Argumentum. ' *Parvum Deo donum, carmina conscripsi, quae quamvis nihili sint, Deo tamen accepta fore confido* '.

1. τόδε scripsi: τότε F.

τῷ τοῦ λῃψομένου ὑψώματι, τοσοῦτον καὶ τὸ δόμα τῇ ἀκαταλληλίᾳ τῇ ἐκείνου ὑπεροχῇ οὐχ ἁρμόδιον. ἐπεὶ δὲ καὶ τὰ καθ' ἕκαστα τοῖς σοφοῖς ἀρχαὶ τῶν καθ' ὅλου γινώσκονται, τί ἂν εἴη μακαριώτερον ἐξ ἡμῶν ὡς οἷόν τε προσάγειν Θεῷ, ἢ ταῖς ἀρχαῖς τῶν ἀρχῶν τῆς αὐτοῦ χάριτος ἀπαρχὰς εἰς δόξαν αὐτοῦ; δι' ὧν καταργεῖται καθ' ἑκάστην ἀρχὴ πᾶσα τοῦ σκότους καὶ ἐξουσία, καὶ μαρμαίρει ἡ τῆς ἀληθείας αἴθρια ἀγγέλοις φωτεινοῖς ὑπηρετουμένων καὶ πνεύματος ἐπαλάμ-
f. 161r ψει τούτου λαμπρυνομένων. διό, εἴπερ καὶ ἡμεῖς αὐτῷ τῷ μεγάλῳ | Φωτὶ ἀπαρχάς τινας θρυαλλίδας προσήξαμεν πίστεως, οὔκουν διὰ τὸ εὐτελὲς κατηγορηθῶμεν ἀνοσιότητα· ἀλλὰ μάλα γε τῇ περιφανεῖ ἑστίᾳ τοῦ Βασιλέως ὅτε δεῖ συνεισδράμωμεν, ἀρηγούσης ἡμῖν εἰς αὐτὸ τοῦτο καὶ τῆς σῆς Ἁγιότητος· ἧς αἱ εὐχαὶ χαρισθείησάν μοι περιφανῶς.

Οἱ δὲ κανόνες, ὡς οἶδεν ἡ Ἁγιωσύνη σου, ἐδέοντο καὶ ἄλλης εἰδοποιήσεως καὶ μᾶλλον οὐ τῇ φράσει καὶ τοῖς θεωρήμασιν, ἀλλὰ τῷ τοῦ μέλους ῥυθμῷ· καλῶς δὲ μορφωθέντες ἀπάρτι καὶ αὐθορμήτως ἔλθωσιν. ὑπεραγάμεθα δὲ καὶ περὶ τούτου τὸ τῆς μνήμης σου ἐπιστημονικὸν καὶ ἐπιστατικὸν καὶ τὸ πρὸς ἡμᾶς τῆς ἀγάπης σου γνήσιόν τε καὶ προσφυές.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

III (CXVIII)

Προϋφέστηκε τῆς ἕξεως στέρησις, καὶ τῇ ἕξει μείωσις ἕπεται, καὶ τὸ ἀνάπαλιν κυκλικῶς, ὡς οἱ φιλόσοφοι λέγουσι· τοῦτ' αὐτὸ δὲ καὶ ταῖς συναγωγαῖς τῶν οἰκοδομῶν φιλίας ἐκτός. ὡς γὰρ ἐν ἀέρι τὸ πῦρ, καὶ ἐν τῷ πυρὶ ὁ ἀήρ, καὶ ἐν τοῖς συστοίχοις τὰ σύστοιχα, οὕτω δὴ καὶ ἡ νομιζομένη ὀντότης ἐν τοῖς μὴ οὖσιν ἑκατέρα ἑκατέρων ἔχουσα τὴν φθορὰν ὕπαρξιν καὶ ἡ ἀνυπαρξία τῶν ἑκατέρων ἀντ' ἀλλήλων χορηγοῦσα αὐτοῖς τὴν ὀντότητα. ταῦτα γοῦν, ὡς οἶμαι, καὶ ἡ Ἁγιωσύνη σου διανοησαμένη ἐπιστημόνως τε καὶ καλῶς, τὴν τοῦ ἁγίου Ἀνδρέου μονὴν εἰς κοιμητήριον τοῦ ἀφοδομημένου ξενῶνος

---

17. μορφωθέντες scripsi: μορφωθέντος F.

III Argumentum. *' Recte hospitium coemeterio ditasti; rectius lavacrum adiunxisses. Sardium metropolita, cum redierit, tua facta quaeretur. Ego parum valeo '.*

7. αὐτοῖς scripsi: αὐταῖς comp. F, quod vix rectum (intelligendum foret συναγωγαῖς !)

εἰκότως ἐξητήσω τῇ βασιλείῳ ὑπεροχῇ· ἔδει σε δὲ μηδόλως | παραλειψαι τῆς μονῆς ταύτης τὸ λοετρόν· εἰ γὰρ καὶ τῶν ἀρχῶν ἀμοιρεῖς, ἀλλ' οὐ δὴ καὶ τῆς τελειώσεως. ἐκεῖναι γὰρ οὐχ εὑρίσκονται· εἰ δ' ἴσως καὶ εὑρεθῶσιν, ὡς μὴ οὖσαι σχεδὸν ὑπάρχουσιν. ἐκρεύσαντος γὰρ τοῦ λόγου, αἱ τῶν ἄλλων πάντων ἀρχαὶ ὡς ῥανίδες τῷ κυριωτέρῳ συνηφανίσθησαν. εἰ γοῦν ἔχουσιν οὕτως αὐτά, καὶ διὰ τοῦτο οὐκ εὐμοιρεῖς τῶν ἀρχῶν, ἀλλ' οὐν ὁλοκλήρως ἔδει ἐπαπολαῦσαι τῆς τελειώσεως καὶ μὴ στερηθῆναι τῶν ἀμφοτέρων. διώρισται καὶ γὰρ ἐκ τῶν ὑποκειμένων τὰ τέλη, καὶ εἰ ἀποτυγχάνει τις τῆς ἀρχῆς, δεῖ μὴ ἀποτυγχάνειν καὶ τοῦ τέλους αὐτόν, ἵνα μὴ παντάπασιν ἀτυχῇ· διὸ δὴ καὶ τὸ τοῦ τέλους μέρος τῷ μέρει σύναψον, καὶ τὸ λοετρὸν τῷ κοιμητηρίῳ, καὶ τὸν ξενῶνα ἀπόδειξον μᾶλλον τέλειον ἢ ἀρχόμενον, στερίσκεται γὰρ ἀρχῶν τῆς τελειώσεως σχὼν τὴν λῆψιν ἐκ σοῦ. f. 161v

Καὶ ταῦτα μὲν ἔχει οὕτως. ὁπόταν δὲ ὁ πανιερώτατος μητροπολίτης Σάρδεων ἐκ τῆς Εὐρώπης ἐπανέλθῃ πρὸς τὸ Ἑλληνικόν, καὶ τὴν πρὸς τὴν αὐτοῦ ἐκκλησίαν ἡμετέραν εὐφορίαν ζητήσῃ, οἰδ' ὅτι ἀξίως ἡμῶν καταμέμψεται καὶ τὴν τῆς Ἁγιωσύνης σου ἀδελφότητα οὐκ ἀδελφὰ φρονοῦσαν εὑρήσει. τῶν γὰρ ἀντιδιαστελλομένων τὰ ἄκρα ἀσύναπτα.

Ἐγὼ δὲ πυκνώσει πολλῇ συσχεθεὶς καὶ ὑπὸ τῆς συρροίας εἰς καχεξίαν ἐλθὼν παρὰ τῆς καχεξίας βιάζομαι. ἡ χάρις δὲ τοῦ Χριστοῦ τὸ συμφέρον ἐργάσαιτο καὶ ὅπερ πόρρω τῶν ἀνθρωπίνων ἐστὶ λογισμῶν. γραφέτω οὖν καὶ πάλιν ἡ Ἁγιωσύνη σου περὶ ὧν βούλει τῇ βασιλείᾳ μου.

---

18. ἐκρρεύσαντος sic F. || 14. ῥαννίδες F. || 16. τῶν | τῶν ἀρχῶν F. || 25. εὐφορείαν F. || 27. εὑρήσει scripsi: εὑρήσειε F.

VIII

AD GRAMMATICOS

Laur. 59, 35 f. 162r

Τοῦ αὐτοῦ βασιλέως πρὸς τοὺς αὐτοῦ γραμματικοὺς τοὺς Φάικας μικρόν τι ἀποσκιρτήσαντας πρὸ τῆς τοῦ μαρκίωνος πρεσβείας.

I. (CXIX)

Ἡ μὲν ἐπιστήμη ἀπαιτεῖ τὴν σχολήν, ἡ δὲ φύσις καὶ τὸν περίπατον· ὁπόταν δὲ συνέλευσις τούτων γένηται, ἀρκεῖ καὶ τοῖς ἀμφοτέροις πρὸς τὸ κατάλληλον. περάσαντες γοῦν ὑμεῖς τὴν σχολὴν ἠράσθητε τοῦ περιπάτου, ἐν ἐμοὶ δὲ τοῦτον εὑρόντες ἤδη πάλιν ἐρᾶσθε σχολῆς. ἐμοὶ δὲ δοκεῖ, ἐν ἐμοὶ τῶν ἀμφοτέρων εὕρατε τὰ οἰκεῖα, εἰ μή πως ὑμᾶς αὐτοῦ τούτου ἡ λήθη ἐπελεῖσθαι ἐποίησε. διασαφήσατε γοῦν ἡμῖν ἀρτίως· ἐρᾶσθαι πάλιν μέλλετε τοῦ περιπάτου ἢ κατάκρως συνεζεύχθητε τῇ σχολῇ; ἀρεστὸν γὰρ ἔχω τοῦτο μαθεῖν. ἐγὼ γὰρ οὐκ ἐπιλήσμων τισὶ γενήσομαι πώποτε.

I. Argumentum. *' Post scholam vagari vobis placuit, deinde ad scholam rediistis: placet igitur iterum vagari, an potius a schola divelli iam non vultis ? '*

8. *περάσαντες* scripsi: *πειράσαντες* F. ‖ 5. *τῶν* scripsi: *τὰ* F.

τοῦ αὐτοῦ πρὸς τοὺς αὐτούς

II (CXX) Τὰς τῶν ἀδελφῶν καὶ πως ὁμοφρόνων ἐπιστολὰς ἀποδέχομαι· καὶ ἡ ἀρέσκεια κατὰ γραφήν ἐστι καὶ τέχνην καὶ εὔνοιαν. ὁμολογῶ δὲ καὶ αὐτὸς τὰ ὁμολογηθέντα, τὰ καταργούμενα κατήργηκα, τὰ τῆς μετανοίας μεταγινώσκω σὺν ἐντολαῖς, τῶν τῆς αἰσχύνης οὐ μέμνημαι, τὰ τῶν ἐπαίνων κρίνω ὡς οὐκ ὄντα θελήματος, τὰ πάντα στέργω ὡς ἔχουσι φύσεως. εἰ δὲ καὶ τὸ τέλος οὐ δέδωκα, τέως ἔλαβον τὴν ἀρχήν· λαβὼν δὲ καὶ δώσω, δοὺς δὲ συνάξω καὶ τὸ συμπέρασμα· ἐγὼ γὰρ οὐκ ἐπιλήσμων τισὶ φανήσομαι πώποτε.

τοῦ αὐτοῦ πρὸς τοὺς αὐτούς f. 162v

III (CXXI) Ἄχαρις ἐγὼ ταῖς γραφαῖς, ἀνεπιτήδειος τοῖς νοήμασι· καὶ τοῦτο, ὅτι τῇ τῶν πολλῶν οὐ συγκατατίθεμαι γνώμῃ· ὀκνῶ μὲν ἀναγράφειν τὰ τῆς ἐμῆς ἀνωφελείας χαρακτηρίσματα, ὠθοῦμαι δὲ βιασθείς, ὁποῖα καὶ ὁπόσα ἔχω, λέξαι τὰ σφάλματα. ὑπάρχω γὰρ θηριώδης τὰ μάλιστα καὶ ἀπροσαύδητος καὶ ἀκοινώνητος· ὡς γὰρ ἔχω τὸ δωροδοκητόν, οὐκ ἔχω τὸ μεταδιδόναι· ὡς τῷ σμικροπρεπεῖ συνουσιοῦμαι, οὕτως καὶ τῷ ἀκάμπτῳ ἀνακέκραμαι· ὡς τὸ τιμᾶν ἀγνοῶ, οὕτως ἐκφεύγω καὶ τὸ εὐθές. ὅλος τοίνυν τῶν ἐπιλησίμων ἐγώ· εἰ γὰρ ὁποίαν τινὰ καὶ δρᾶσαι βουληθῶ ἀρετήν, ἀντωθεῖ με ἡ ἀλογία· ὅταν δὲ σιγῇ συνοικήσαι < καὶ > ταπεινώσει, αἴρωμαι ταῖς τῶν ἀκρατῶν ἵππων ὁρμαῖς, ἐπ-

---

II Argumentum. *' Omnia ita esse ut dixistis credo, et quae mihi facienda sunt, facere non praetermittam '.*

1. *καὶ πῶς* F. || 3. *κεκατήργηκα* F.

III Argumentum. *' Ut ego mobilis, et incertus vivo nec quiescere possum, ita vos philosophiae bonis et otio laetissime frui credo. Sed quid agatis ex vobis ipsis scire cupio. '*

3. *ἀνωφελείας* scripsi: *ἀφελείας* F. || 7. *ἀκάμπτῳ* scripsi: *ἀκάμπω* F. || 8. *ὁποίαν* scripsi: *ὅποι* F. || 10. *καὶ* addidi (*συνοικήσαι* in extrema linea F.).

θυμίας τε καὶ θυμοῦ, πρὸς ἐπάρσεις πολλάς· καίτοι γε μὴ καθὸ φιλόσοφον γινώσκοντα ἐμαυτὸν ἔδει ταπεινοῦσθαί με. ἐγὼ δὲ μᾶλλον καὶ μᾶλλον, οὗς οὐ δεῖ με, τόπους διέρχομαι, πόθεν ἄρα τὸ ἰατρεῖον ζητῶν, τὸν ἔφορον νοῦν, ἵν' ἐκεῖθεν τὰ τῆς ἰάσεως λάβω φάρμακα, κατειδήσω δὲ καὶ τῶν ἀλοιφῶν αὐτοῦ τὴν συνείδησιν, κἀκ τῆς τῶν φαρμάκων ἰσχύος καθαριεύσω αὐτόν, κἀκ τῶν μαλαγμάτων ἀπαλείψω τοὺς μώλωπας τῆς ψυχῆς; ἐκπέμπει με πρὸς τὴν τῆς φιλοσοφίας σχολήν, διὰ ταύτης τε πρὸς θεραπείαν ἰτέον μοι διαμαρτύρεται. πο-
f. 163r ρευόμενος δὲ καὶ τὸ 'Μηδεὶς | εἰσίτω ἀγεωμέτρητος' ἐγκεκολαμμένον ἔχων ἐν τῇ ψυχῇ οὐκ ἔχω τί τοῦτο ποιήσαι· αὖθίς τε πάλιν αὐτὸν ἐρωτῶν, ὠθεῖ με πρὸς τὰ ἀνάκτορα κατὰ δεύτερον λόγον πολὺ τοῦ προτέρου, ἐκεῖνα δ' αὖ τὴν ὠφέλειαν ὑπισχνεῖται, βαδίζων δὲ εἰσελθεῖν ἀντιπράττει μοι τὸ νωθρὸν ὑπομμνήσκον μοι κόπους καὶ ἕτερ' ἄττα πολλά, ἐπειδὴ καὶ πολύτροπος ἡ διαγωγὴ τῶν ἐν βασιλείοις περιπατούντων, συγκεκροτημένη πάντοθεν καὶ ἀπὸ διαφόρων ἐθῶν συνειλεγμένη καλῶς. διὰ τοῦτο καὶ δυσκατορθώτους <ὁ> ἐν αὐτῇ ἀθλῶν ἔχει τοὺς στεφάνους. τοιοῦτον ἐμαυτὸν γοῦν ἐγὼ μὴ γινώσκων ἀπορῶ τί ποιήσαι. ἕλκει με δὲ καὶ πρὸς ἄλλην ὁδὸν ἡσυχίας καὶ ἠρεμίας μυρί' ἄττα δεικνύων μοι ἀγαθά· φυγὴν κόσμου, ἀγγέλων διὰ τοῦτο συμβίωσιν, ἀρετῆς περιφάνειαν, θορύβων ἀπαλλαγήν, καὶ τὸ τελικώτατον τέλος, σωτηρίαν ψυχῆς· ἐγὼ δὲ ἐπίγειος ὢν καὶ γηίνως φρονῶν οὐκ ἀναπτερύσσειν τὸν νοῦν ἰσχύω καὶ ἰδεῖν τὸ τηλικοῦτον καλόν. βαβαὶ τῆς ἀναισθησίας· πόσον τὸ τὴν ἐμὴν ψυχὴν συσκιάζον κακίας νέφος ἐστίν· ὄντως ἀπειρότερον τοῦ ἀπείρου. τί χρή με παθεῖν μηδοπωσοῦν βιοτεύειν γινώσκοντα; ἐρωτῶ δὲ πρὸς τούτοις καὶ περὶ τῶν ὑμῶν, καὶ μὴ τοῦ λόγου μεμφθῶ παρ' ὑμῶν, ὡς πρὸ μικροῦ ὀρθοδοξαστικῶς τὸ εἰδέναι πάντα ἐξ ὑμῶν φιλοτιμηθείς. ἐρωτῷ γὰρ καὶ Θεὸς
f. 163v τὸν Ἰώβ, καὶ τὸ καινότατον ὅτι οὐ περὶ αὐτοῦ, | ἀλλὰ περὶ τῆς οἰκείας γεννήσεως τρόπῳ θειοτέρας οἰκονομίας. πῶς τὰ τῆς φιλοσοφίας διέρχεσθε; μερικῶς, ἢ ὅλοις καθολικῶς; ἐγὼ γὰρ μόνον ὑμέτερον ἐντρύφημα ταύτην ἔγνωκα ἐκπαλαι. εἰσάγει ὑμᾶς εἰς τὴν περιφανῆ ταύτης ἑστίαν, (ἥσπερ ἐμὲ ἀποκρούεται) ἢ οὔ; ὃ μὴ γένοιτο πώποτε. ἐγὼ

---

12. γινώσκοντα scripsi: γινώσκων τὸν F. || 13. ἄρα F. || 16. αὐτόν (= ἐμαυτόν) scripsi: αὐτὸν F. || 23 sq. ἕτεράττα F. || 26. < ὁ > addidit Treu. || 27. ἐγὼ scripsi: ἐμὲ F. || 29. μυρίαττα F. || 36. μεμφθῶ scripsi: μεμφῶ F. || 38. Iob. XXXVII, 8 sqq. || 40. ὅλοις] num ὅλης (sc. φιλοσοφίας)? || 42. ἢ οὔ ante ἥσπερ F; traieci ego.

δ' εἶδον ὅτι ἀρχῆθεν ὑμᾶς φιλήσασα καὶ τὰ νῦν περιπλέκεται. μακάριον δέ, εἰ καὶ ἡμεῖς ταύτης ἐκοινωνοῦμεν· ὅπερ καὶ ὑμεῖς ἠθέλετε, πέποιθα. τί δὲ περὶ τὴν ῥητορικὴν διασκέπτεσθε; πῶς δὲ τοὺς μακροῦφάντους λόγους ὑφαίνετε; τὰ γὰρ τῶν ἐπιστολῶν ὁρῶ καὶ πάλαι μεμύημαι. πῶς τὰ περὶ τῆς ἀρετῆς τῆς ἀσκήσεως, τῆς ἐμπράκτου θεωρίας, τῆς θεωρικωτέρας πράξεως βιοτεύετε; πῶς ἐν δόρπῳ εὐφραίνεσθε καὶ δείπνῳ ἀκροθιγῶς ἡδύνεσθε καὶ ἀρίστῳ πλουσίῳ κατατρυφᾶτε; οἶμαι δὴ πάντως, ἢ μᾶλλον εὔχομαι, πολυτελῶς. τίνες οἱ ὑμῶν κοινωνοὶ τῶν ζώντων; κατὰ τὸν Φίλωνα μὲν καλῶς οἶδα πολλοί· αἱ εἰκόνες γὰρ τῶν πάλαι γεγενημένων καὶ τὰ ἐμφιλόσοφα σὺν ἀρεταῖς λόγια ἐνδοξοί εἰσι καὶ περιώνυμοι κοινωνοί. πῶς καὶ παρὰ τίνος διαιτητοῦ διεξάγονται τὰ ὑμῶν ἀσκητικώτερα ὄντα, ὡς εἶδον πρόσθεν καὶ ἔγνωκα; πῶς ἠνέγκετε | καὶ τὴν τῶν συνήθων στέ- f. 164r
ρησιν; ἢ ἀνδρικῶς καὶ γενναίως ὡς οἶμαι; πῶς τὰ πρόσω οἰκονομεῖτε, τῇ ἀργείᾳ χρώμενοι συνεργῷ; πῶς τὸ λυσιτελὲς ἑτοιμάζετε, τὸ ἀνενδεὲς συσκευάζετε, τὸ ἔντιμον προχειροῦσθε, τὸ ἐλεύθερον πραγματεύεσθε, τὸ παρρησιαστικώτερον κτᾶσθε, τὸ περιώνυμον ἕλκετε, ταῦτα δὲ διὰ τοῦ νηφαλίου ὑμῶν καὶ σπουδαίου; εἰ μὲν ὡς φίλοι καὶ Θεῷ καὶ φιλοσοφίᾳ, λίαν εὐφραίνομαι· εἰ δὲ καὶ πάλιν ἐκστροβοῦσι τὰ τῆς εἱμαρμένης, λυποῦμαι χάριν ὑμῶν καὶ λύπην οὐχὶ χειμάρρῳ ῥέοντι καιρῷ ὁμοίαν, ἀλλ' αὐθιγενεῖ ποταμῷ ἐξομοιουμένην. τὰ γὰρ τῶν οἰκείων οὐ τῶν συμβεβηκότων οὐδὲ καιροῦ, ἀλλ' ἀΐδια κατά γε τὸν τῆς ἀνθρωπίνης φύσεως ὅλαυλον καὶ φυσικὰ διὰ τὴν προαίρεσιν. τί χρή με παθεῖν τούτων ἀκούοντα περὶ ὑμῶν; λύπῃ τιτρώσκομαι τῇ ὅτι πολλῇ, ὅτι τῆς ἡμετέρας ξυναυλίας οὐκ ἐπατυγχάνω, μετακαλεῖσθαι δὲ θέλων, αἱ ὑμῶν γραφαὶ τὴν γλῶτταν διαστρεβλοῦσιν· ὅταν δὲ θεραπεύειν καὶ τὸ ἐν αὐταῖς ἐμποδὼν βουληθῶ, τὰ τῶν ἀγράφων λόγων ἐπέχει φάρμακα κακοήθη, καὶ τότε ἐξ οἰκείων ὑμῶν οἷον ἁρμαρίων ὑπάρχοντα. δότε μοι τῷ ἀγροίκῳ τὴν γνώμην, ἀνακαλύψατέ μοι τὸ βούλευμα· ἀρήξω, μὴ δείσητε. τοῦ γὰρ Θεοῦ ὑπάρχω κἀγώ, εἰ καὶ μὴ πάγκαλος | ὤν, ἀλλ' ἐν τρόπῳ σωφρονικώτατος. ταῦτα μὲν ἐρωτῶ f. 164v
ἰδιωτικῶς καὶ κοινῶς. εἰ γοῦν λύσετε, διὰ γραφῆς ὡς εἰκὸς ἀνταποκριθῶ καὶ ὡς ἐστι τὸ καλόν· εἰ δ' οὖν, διὰ τὴν αἰδῶ πρὸς τὸν διδάσκαλον λέξατε, ἵνα ἐκείνῳ ἀναθήσω, τὴν ὡς εἰκὸς λέγω λύσιν. ἀνε-

48. βιωτεύετε F. || 50. πολυτελῶς εὔχομαι F: traieci ego. || 55. ἠνέγκετε scripsi: ἐνέγκετε F. || 69. ἐμποδὸν F. || 73. πάγκαλλ̄ F. || 76. λοσιν F.

ῥυθμιάστως καὶ γὰρ ἐγὼ τοῖς πᾶσιν ἀνακαλύπτω καὶ ξένοις καὶ οἰκείοις καὶ πᾶσι τὰ λόγια, εἰ καὶ βαρὺς ὑπάρχω διὰ τοῦτο τοῖς πλείοσιν ὡς τέλεον ἀφιλόσοφος.

τοῦ αὐτοῦ πρὸς τοὺς αὐτούς

IV. (CXXI) Τοῖς πρόσθεν λόγοις συνάδω, οὐκ ἀπάδω δὲ τοῖς λεχθεῖσιν· ὑπισχνεῖσθαι δὲ δεῖ με ὡς χρή. ἃ μὲν εἴχετε, ἔξετε· ἃ δὲ ζητεῖτε, φρονήσει σὺν ὑπολήψει ἀθροίσετε. τὰ δ' ἄλλα τί χρή με λέγειν; ἐπειδὴ ' οὐκ ἐπιλήσμων τισὶ φανήσομαι ' ἔλεξα.

τοῦ αὐτοῦ πρὸς τοὺς αὐτούς

V. (CXXII) Περιπατητικοὶ οἱ σχολαστικοί, ὀξεῖς οἱ βραδεῖς, ὀλιγόψυχοι οἱ ὀλίγωροι, καὶ οἱ ἄγαν ἐνάρετοι φίλοι ἐξαπίνης τῶν μὴ τοιούτων, καὶ πάλιν τοὺς ἀβροδιαίτους ἀσπάζονται οἱ λιτόβιοι· τοῦτο δὲ καὶ τεράστιον καὶ ἐξαίσιον. ἱστόρηται γὰρ καὶ Κάλανον τὸν κυνικόν ποτε τῷ Ἀλεξάνδρῳ κοινωνῆσαι. νυνὶ δὲ οὐ Μακεδόνι ἡμιθέῳ κοινωνοῦσιν αὐτοί, ἀλλὰ χθαμαλωτέρῳ ἀνέρι πάντων ἀνδρῶν κατά γε τὴν ἀρετήν. τοῦτο τῆς ἄκρας συγκαταβάσεως. ἐν ἐκείνοις γὰρ καὶ τι κατάλληλον
f. 165r ἦν· ἐπεὶ ὁ μὲν καὶ βασιλεὺς | καὶ φιλόσοφος, ὁ δὲ καὶ φιλόσοφος καὶ βασιλεὺς τῶν παθῶν, ἐπεὶ καὶ φιλόσοφος. ἐν ὑμῖν δὲ οὐδεμία ἡ προσφυΐα. ποία γὰρ κοινωνία σοφῶν καὶ ἀσόφου, βασιλέων παθῶν καὶ δούλου τῶν ἡδονῶν, θεωρικωτέρων ἀνδρῶν καὶ γεωδεστέρου φρονήματος; οὐδεμία γὰρ ἦν, ἐπειδὴ καὶ φῶς τῷ σκότει οὐ συνοικεῖ. ὦ

IV Argumentum. ' *Quae vultis habebitis* '.

3. ἀθροίσητε F. ‖ 4. cfr. epist. CXVIII, 8 sq. et CXIX, 8.

V Argumentum. ' *Quod vestram benignitatem in hominem tam nequam contulistis, id mihi permirum est; utinam ergo semper ea dignus ille esse possit.* '

8. βασιλ' F. ‖ 10. ποῖα F. ‖ 12. cfr. Paul. ad Cor. II 6, 14.

τῆς ἀλλοιώσεως, ὦ τῆς μεταβολῆς· εἶθε εἰπεῖν δὲ ἡμῖν καὶ ‘ὦ τῆς στάσεως’ <εἰη>· εἰ δὲ καὶ πάλιν ‘ὦ τῆς τροπῆς’ ἀναγκασθῶμεν εἰπεῖν, οἶμαι τάχ’ ἂν τις εἴποι, ὅτι χειμὼν ἐπεισφρήσει δεινότατος μὴ λήγων ἔαρι πώποτε, ἀλλὰ πρὸς ἀρχὰς μετοπώρου στρεφόμενος. ὦ τοῦ παγετοῦ, ὦ τῆς ὀρμύτητος, ὦ τῆς ξηρότητος· ὧν ῥυσθείη πᾶσα ψυχή, κἂν οἴηται τῶν οὐρανίων ἀντύγων ἐπαναβαίνειν.

14. εἰη inserui.

IX

AD ANDRONICUM SARDIUM METROPOLITAM

Laur. 59, 35 f. 165r

Τοῦ αὐτοῦ σοφωτάτου βασιλέως κυροῦ Θεοδώρου Δούκα τοῦ Λάσκαρι πρὸς τὸν μητροπολίτην Σάρδεων κυρὸν Ἀνδρόνικον πρὸ τῆς τοῦ μαρκίωνος πρεσβείας.

I. (CXXIII)

Πολλοὶ τῶν φιλοσόφων τὸ τῆς φιλοσοφίας ὄνομα πολλαχῶς διελόντες ὡρίσαντο· οἱ μὲν ἐκ τῶν καθ' ἡμᾶς, οἱ δὲ ὑπὲρ τὰ καθ' ἡμᾶς, καὶ οἱ πάντες ἁρδὴν εἰς τὸ θεῖον καὶ πρῶτον τοῦτο ἀνήγαγον. εἰ γὰρ καί τινες ἐκ τῶν καθ' ἡμᾶς σχόντες πραγμάτων τὰς ἀφορμὰς καὶ κεκληκότες τοῦτο δι' αὐτῶν δὴ τῶν ἀφορμῶν, ἀλλ' οὖν καὶ οὗτοι ὑστάτως ἀνέδραμον εἰς τὸ τῆς ὑπεροχῆς ὕψος καὶ τὸ τῆς φιλίας ἀξίωμα
f. 165v *αὐτῷ προσήρμοσαν. ἅπαντες δὲ ἑξαχῶς | αὐτὸ διεῖλον ἀρίστως τε καὶ πρεπόντως· τῇ γὰρ τελείᾳ πασῶν τῶν ἐν κόσμῳ ἐπιστημῶν καὶ τεχνῶν εἰκότως τῷ τελείῳ ἑξαχεῖ αὐτὴν ἀριθμῷ κεκλήκασιν. οἱ μὲν οὖν τέσσαρες αὐτῆς ὅροι τοῦ ὀνόματος ἐξ ὑποκειμένου εἰσὶ καὶ τέλους, ὁ δ' ἄλλος ἐκ τῆς ὑπεροχῆς, ὁ δ' ὕστατος ἐξ ἐτυμολογίας. ὁ γοῦν ἐξ ὑπεροχῆς οὕτως ταύτην ὡρίσατο, τέχνην εἶναι τεχνῶν καὶ ἐπιστήμην ἐπιστημῶν. ἔοικε γὰρ βασιλεῖ διὰ τὸ τέχνην εἶναι τεχνῶν καθὰ καὶ*

I. Argumentum. '*Philosophiam recte definiendam et ornandam curavi, quo ineptorum et iniquorum de ea stultos sermones ad nihilum redigerem et me illius beneficiis dignum praestarem*'.

1 sq. cfr. Ammon. in Porph. Introd. p. 2, 17 Busse. || 9 sqq. cfr. Ammon. ib. 2, 19 sqq. || 11. *ἑτομολογίας* F. || 12. cfr. Ammon. ib. 6, 25 sqq. || 13. *τέχνην* scripsi: *τέχνη* F.

ἀρχόντων ὁ βασιλεύς, ἐπιστήμην δὲ ἐπιστημῶν, ἐπειδὴ βασιλέων ἁπάντων βασιλεὺς ὁ Θεός. ὡς γοῦν τέχνη τεχνῶν εἰκασται βασιλεῖ, ὡς δὲ ἐπιστημῶν ἐπιστήμη εἰκασται Θεῷ. καὶ ταῦτα μὲν τὰ τῆς ὑπεροχῆς ἀξιώματα. ἐπειδὴ δὲ τῇ ὑπεροχῇ ἁρμοζόντως ἕπεται καὶ τὸ σέβεσθαι ταύτην παρὰ πολλῶν, ἤδη καὶ ἡ ἐμὴ διάγνωσις προστίθησι ταύτῃ ἕβδομόν τινα ὁρισμόν, ἵν' ἐξ ἀνάγκης τὸ ὕψωμα τῆς ὑπεροχῆς αὐτῆς πρεπόντως ἑλκύσῃ καὶ τὸ σεβάσμιον, ὡς ἂν αὐτὴν πάντες δικαίως σέβωνται. φιλοσοφία γοῦν ἐστιν οἱονεί τις σεπτάς, ἐπειδὴ κυρία πάντων ἐστὶ διὰ τὸ ἔχειν τὰ πάντα ἐκ ταύτης λόγους τοὺς ἐντελεῖς. οὕτω γοῦν ἐγὼ ταύτην, τολμητίας ὥσπερ τις φανείς, κέκληκα· | οἶδα δ' ὅτι f. 166r
οὐκ ἂν σοφός τις τοῦ λόγου τούτου καταμωκήσηται ποτε, ἀλλὰ πάντες οἱ μὴ σοφοί. διὰ τοῦτο καὶ τοῖς ὡσὶ δυσφήμων ἐπῶν ἑσμὸν ἀκροώμενος ἐκπαταγούντων κενοψόφως τὸν ἀέρα ἐβαρύνθην κατὰ πολύ, ἐπειδὴ τὸ ταύτης ὄνομα ἠκροώμην παρὰ τούτων καπηλευόμενον· βαρυνθεὶς δὲ τῇ ψυχῇ χθαμαλευομένην αὐτὴν καὶ εὐτελιζομένην ὁρῶν, τοῦτον δὴ τὸν ὁρισμὸν εἰς ἀποτροπὴν καὶ ἀποδιοπομπισμὸν τῶν λαλούντων προσέθηκα, ἁρμοδιώτατον αὐτὸν καί γε ὄντα αὐτῇ. εἰ γοῦν καὶ τοῖς ἄλλοις φανῇ ὁ ὅρος οὗτος τοῦ ταύτης ἀξιώματος καὶ ὑψώματος ἄξιος, ἐκ δούλου ἔσχε γέρας οὐτιδανόν· εἰ δ' οὖν, οἱ ταύτης τρόφιμοι, εἴπερ οὐ προσαρμόσουσιν ὡς ἀνάξιον ταύτῃ αὐτόν· ἀλλ' οὖν καὶ οὕτως ὑπηρετήσω ταύτῃ ἐν ἄλλοις πράγμασιν, ὡς ταύτης ὢν εὐτελὲς οἰκειακόν τι δουλίδιον, ἵν' ἐξ αὐτῆς παμπληθῶς τοὺς ῥύακας τῶν εὐεργετημάτων αὐτῆς ἐπιδέχωμαι, οἵ τινες οὐδέποτέ μοι ἐξ ἁπαλῶν ὀνύχων διέλειψαν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

II. (CXXIV)

Πολλοὶ μὲν πολλάκις τὰ μὴ ὄντα ἐθαύμασαν· οἱ δὲ θαυμάσαντες τὰ μὴ ὄντα τὰ ὄντα ἐθαύμασαν· οἱ δὲ τὰ ὄντα θαυμάσαντες οὐκ ἐθαύμασαν τὰ μὴ ὄντα, ὅτι τὰ ὄντα ἐθαύμασαν. πολυώνυμον τὸ

14. ἐπιστήμην scripsi: ἐπιστήμη F. || 25. ἑσμόν F. || 26. ἐκπατταγούντων F.

II Argumentum. *'Si quid in me boni inveneris, non me sed eam, unde haec omnia duxi, philosophiam laudabis et miraberis. Ego tamen tibi gratus sum et ero'.*

f. 166v λεχθέν, | φιλόσοφος ἡ διαίρεσις, ἀναγκαῖον τὸ τέλος, χρήσιμος ὁ σκοπὸς καὶ τοῖς νοῦν ἔχουσιν ἡ γνῶσις διὰ φιλοσοφίας ῥᾴστη. σὺ δέ, δέσποτα, μὴ τὰ ἡμῶν θαυμάσῃς ἐν τῇ τῆς φιλοσοφίας μεγαλειότητι· ἀλλὰ θαύμασον τὴν πηγήν, ἐξ ἧς ἄρδεται πᾶσα πηγὴ λογική· ἐκείνῃ γὰρ ἁρμόζει καὶ τὸ θαυμάζεσθαι. εἰ δὲ καὶ τὴν καταρχὴν τῆς γραφῆς ταύτης ἐπιστημονικώτερον ἐπισκέψῃ, θαυμάσῃς καὶ οὕτως πάλιν αὐτήν. αὐτὴ γὰρ καὶ ταύτην δέδωκε καὶ ἐκίνησεν. ἅπαντα δὲ τὰ ἡμῶν εἴτε θαυμάσεις, εἴτε ὑπερεξαρεῖς διὰ τὴν διάθεσιν, ἀντιδοθήσεταί σοι χάρις ἐκ τῶν ἡμῶν, καίτοι γε ὑπερηρμένην ταύτην, ὡς ἔγνωμεν, ἕλκεις ἀεί.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

III (CXXV) Τὴν ἐαρινὴν χελιδόνα μετοπωρινὸν ἐρωδιόν σοι ἀντιστρέφομεν οὐχ ἧττον εὔλαλον ὄντα τῆς πρὶν χελιδόνος, ἧς εἴπομεν. ταὐτὰ γὰρ ἄμφω βοᾷ τὸ πτηνόν, κἂν ἀπὸ τοῦ καιροῦ ταῖς κλήσεσι μεταλλάττηται· φίλου γὰρ πρὸς ἡμᾶς τότε τὸ ὑγιὲς διεπόρθμευσε καὶ φίλου πάνυ καὶ λίαν γνησιωτάτου, νυνὶ δὲ ταὐτὰ διαπορθμεύει πρὸς σὲ τὸν ἐμόν, f. 167r δι' ἐμὲ ὑγείαν Χριστοῦ χάριτι, τὸ μέγα χρῆμα, | καὶ σὺν ταύτῃ εἴ τι καλόν. ἔχει δὲ καὶ ᾠδὰς λόγων, πρὸς ἅσπερ εἰρηκε πρίν, οὐ παλινῳδίαν βοώσας, ἀλλὰ καὶ μᾶλλον ταύταις συνᾳδούσας. ἃ γοῦν εἰρήσεταί σοι, ὦ φίλτατέ μοι, τὰ μάλιστα πίστευσον. οὗτος γὰρ καὶ περὶ τοῦ τεθρυλλημένου μαρκίωνος εἰπῇ σοι, πλὴν τὰ ἐκτὸς τῆς γραφῆς. ἐπέφθακει γὰρ πρὸς ἡμᾶς ὁ ἀνὴρ τοὺς οἰκείους ἐπαίνους πιστούμενος· νηφάλιος γὰρ καὶ ἀγχίνους, εὐγλωττός τε καὶ εὔστροφος, εὔστοχος λέγειν καὶ ὀξὺς ἀποκρίνεσθαι, τῇ Ἰταλικῇ παιδείᾳ πεπαιδευμένος, ψαύων δὲ καὶ τῆς Ἑλληνικῆς, ἁπλοῦς τε καὶ μὴ εὐήθης, νοήμων τε καὶ μνημονικός, προσηνὴς καὶ προσήγορος, ὁτὲ μὲν πλείονα λέγων, ὁτὲ δὲ καὶ τῶν, ὧν λέγει, νοῶν ὑπερέκεινα, ἐξεταστικός τε καὶ οὐ φιλόνεικος

---

11. ὑπερεξαρεῖς scripsi: ὑπερεξαίρεις F.

III Argumentum. ' *Doctrina et prudentia facile vincimus legatos qui cum Marchione huc advenerunt. Te ex Europa redeuntem quando aspicere et amplecti potero? Cetera ex nuntio cognosces* '.

2. 5. ταὐτὰ scripsi: ταυτα utrobique F.

(εἰ δὲ καὶ τοῦτο, ἠρέμα καὶ οὐ διόλου), ἀστεῖος καὶ ἀστείζειν ποθῶν, πολυΐστωρ καὶ χαρίεις, φιλόλογος καὶ φιλολόγιος, εἶπω δὲ καὶ λόγου οὐκ ἄμοιρος, ἔχων μεθ' ἑαυτοῦ λογίους καὶ ἰατρούς, καὶ τούτους ἐνάβρυνομένους φιλοσοφίᾳ. ὃν ἰδόντες καὶ χαρᾷ καταχυθέντες διὰ τὴν αὐτοῦ ἀρετήν, ὡμιλήσαμέν τε καὶ ὁμιλοῦμεν· ὑπισχνουμένων τῶν σὺν αὐτῷ φιλοσόφων δὲ γεωμετρίαν εἰδέναι καὶ ἀστρονομίαν, ἀριθμητικὴν καὶ μουσικήν, ὀργανικὴν καὶ φυσιολογικὴν | καὶ τὴν ὑπερκειμένην τούτων Ἑλλήνων θεολογίαν, τά τε κατὰ μέρος ἠθικὰ καὶ πολιτικά, ῥητορικήν τε καὶ ὅσα λόγου καὶ περὶ λόγου, ἃ μάταιόν ἐστιν ὀνομάζειν ἡμᾶς, οὕσπερ οἶδας ἀκριβῶς τὴν τῶν ὅλων ἐπιστήμην ἔχοντας (παρρησιασμένως τοῦτο δὴ λέγω), εἰσήλθομεν εἰς τὸ στάδιον, καὶ οἱ ἀγῶνες καὶ τὰ βραβεῖα παρέστησαν. οἱ δὲ πολλὰ τῷ λόγῳ θροήσαντες τῷ Ῥήνῳ προσπελάσαντες ποταμῷ, ὄντινα δή σε τοῦτον ὑποληπτέον, κάρτα ἐξαπελέγχονται· προσπελάσαντες γὰρ αὐτῷ τὰ μὴ γνήσια ἐποτίζοντο. κἀντεῦθεν γὰρ ἀριθμητικὴ δραπετεύει καὶ μουσικῆς χορδαὶ διαρρήγνυνται, ἐκ τῶν ἐπιπέδων σαθροῦται γεωμετρία καὶ στερεωμετρία τέλεον λύεται, ἀστρονομία δέ γε παρυποκρύπτεται μόνην ἀστρολογίαν ἀπολιποῦσα καὶ ταύτην πλημμελῶς τε καὶ οὐχ ὡς δεῖ· τὸ μετεωρολογεῖν κάτω τίθεται καὶ φυσιολογικὴ νοσηλεύεται· τὰ ἠθικὰ κινοῦνται παρὰ κανόνας καὶ τὰ πολιτικὰ οὐδὲ μνημονεύονται· ῥητορικὴ τε πτερὰ λαβοῦσα πόρρω που διαβαίνει καὶ ὀργανικὴ ἐπιστήμη τὰ μάλιστα πλημμελεῖ. μέγα δραμα τοῖς ὁρῶσι καὶ δόξα πολλὴ τοῖς Ἕλλησιν. ὁρῶν γοῦν ὁ μαρκίων ταῦτα διέκρινεν ὡς εἰκός· ἀρωγὸς δὲ καὶ ὁτὲ | ἐγί- f. 168r
νετο, ὁτὲ καὶ τὸ πτῶμα ἐπηύξανεν. ἐκεῖθεν ῥήσεις καὶ ἀντιρρήσεις, δόγματα φιλοσοφίας καὶ λύσεις, προβλήματα καὶ κατασκευαί, θεωρήματά τε καὶ ἀπορήματα, ἐπιστήμης ἀγῶνες καὶ πάντα ἐξαίρετα. τεθαύμακεν ὁ πολὺς ὥσπερ εἷς τῶν πολλῶν· ζητεῖ λαβεῖν καὶ λαμβάνει, ὑπὲρ λίθους καὶ μαργάρους οἰόμενος τὰ δωρήματα. εἰ μή τι συμβῇ τὸ 'ἐκδέδοται μέν, οὐκ ἐκδέδοται δέ', ταῦτα οὕτως πραχθέντα τε καὶ πραττόμενα δόξαν ἦξαν τοῖς Αὔσοσί τε καὶ ἄξουσι.

Περὶ δὲ τῶν πραγματικῶν καὶ πρεσβευτικῶν λόγων οὐχ ἧττον ἀκούει ὧν λέγει ὁ θαυμαστός, εἰ δὲ καὶ πλείω καὶ ὅσων τῷ εὐστόχῳ ῥεπόντων, διάκρινε ὁ σοφώτατος. ἔχεις τοίνυν οἶδα χαράν, ἐπειδὴ κα-

---

17. ἠρέμα F. || 28. δὲ πολλὰ scripsi: πολλ$^{\gamma}$δε F. || 31. ἐποτίζοντο scripsi: ἐποντίζοντο F. || 39. 40. ὅτε utrobique F. || 49. ῥεπόντων scripsi: ῥεπτόντων F.

λῶς ξυνίης τὸν οὕτως φιλοσοφήσαντα καὶ τὸ τῆς νίκης κῦρος τοῖς Ἕλλησι χορηγήσαντα.

Σὺ δὲ πότ' ἂν ἐκ τῆς Εὐρώπης ἀνέλθῃς ἐπὶ τὴν Ἑλλάδα; πότ' ἂν δὲ καὶ τὴν Θράκην διελθὼν τὸν Ἑλλήσποντον διαπεράσῃς καὶ τὴν ἔσω Ἀσίαν κατίδῃς; ἐν ᾗ καὶ ἡμᾶς κατόψει, φιλούμενε, γλιχομένους προσομιλεῖν σοι τὰ συνήθη καὶ φιλικά, εἰ μή τι παρὰ τοῦ ἀέρος καὶ τῆς τοῦ κλίματος διαφορᾶς παρηλλάχθης καὶ Ἰταλικῶς διαλέγῃ καὶ ἀσυνήθως, καὶ ὁτὲ μὲν γλώσσαις βοᾷς, ὁτὲ δὲ διερμηνεύεις, τούτου
f. 168v γὰρ αὐτόθι, δοκῶ, πεπείρασαι, | ὁτὲ δὲ καὶ τὰ τῶν ἀγγέλων ἐξαγγέλλεις μυστήρια, τὰ πόρρω τῆς ἀνθρώπων ὄντα οὐσίας. ἀλλ' εἴπερ καὶ οὕτως ὁμίλεις μεθ' ἡμῶν, στέξομέν σου τὰ βάρη. οὐ γὰρ δήπου ἀγγέλων ἐπιλαμβανόμεθ', ἀλλὰ σπέρματος Ἀβραὰμ ἐπιλαμβανόμεθ' ὁμοιοπαθεῖς ὄντες τῆς Ἀβραὰμ ἀσθενείας ἢ τῆς ἀγγελικῆς σύνοικοι πτώσεως. ἀλλ' ἰδομέν σε τάχιστα πολλοὺς ἡδονῆς λόγους ὁμιλήσοντες ὡς τὸ σύνηθες· οὐδὲν γὰρ εὐφραίνει ψυχὰς λόγῳ πεπαιδευμένας ὡς φίλων μυστήρια θειά τε καὶ ὑψηλὰ καὶ πόρρω τῆς ὕλης ὄντα καὶ τῆς παχύτητος.

Ἃ δὲ κλαγγῇ σοι τὸ πτηνὸν μελῳδήσει, πίστευσον ἀσφαλῶς, καὶ τὰς εὐχὰς συνήθως τῷ Θεῷ φέρε ὑπὲρ ἡμῶν.

---

58. δοκῶ scripsi; δοκα F. || 58 sq. ἐξαγγέλεις F. || 60. immo ὁμιλεῖς? || 61. ἐπαλαμβάνομεν utrobique F.; ἐπαλαμβανόμεθ' scripsi, cl. Paul. Hebr. II, 16.

X

AD XIPHILINUM ET ARGYROPULUM

Τοῦ αὐτοῦ σοφωτάτου βασιλέως κυροῦ Θεοδώρου Δούκα τοῦ Λάσκαρι πρὸς τοὺς πατριαρχικοὺς ἄρχοντας, τόν τε Ξιφιλῖνον καὶ τὸν Ἀργυρόπουλον πρὸ τῆς τῆς βασιλείας ἐντελεχείας. Laur. 59, 35 f. 168v

Περὶ τοῦ μὴ ὄντος οὐδείς μοι λόγος ὄντως καθέστηκε· περὶ δὲ I (CXXVI)
τοῦ ὄντως ὄντος, ὄντως λόγου ἐστὶ φροντίς. σπεύδειν δεῖ ἐν παντὶ
τὰ τῶν ὄντων τοῖς οὖσι· τοῖς δὲ μὴ οὖσιν, εἰ καὶ τῷ δοκεῖν ἐνυπάρ-
χουσιν, ἀλλ' οὖν οὐ | περὶ τούτου ἴδῃ τις τὰ λεγόμενα. καὶ γὰρ διὰ f. 169r
τῆς ὁλότητος πεισθῶσι τοῖς μέρεσι καὶ αἱ ἐπιδιαιρέσεις, τῇ δὲ ξυμ-
πνοίᾳ τῆς ἁρμονίας δεσμὸς ἀμυδρὸς πεισθεὶς ἀκων συνδέδεται· καὶ ὁ
τῇ διαρτίᾳ ἀμυδρόν, πλεῖστον ἔχει ὕψωμα τοῖς ὁμοιομερέσι καὶ ἀμυ-
δροῖς, τὸ δὲ περιττευόμενον οὔκουν δώσει ἀρχὴν τῆς ἀρχῆς, καίπερ,
[εἰ καὶ] τοῖς ὁμοιομερέσιν ἐλλείπει τὸ τῆς ὁλοκλήρου διαρτίας ἁρμόδιον.
ὁ δὲ κατὰ ἀνάγκην ἐκπληροῖ τὴν διάρθρωσιν, τῇ ὀντότητι τὰ μὴ ὄντα
κερδανεῖ· οὗ δὲ κατὰ χάριν εὐμοιρεῖ, εἰκονίζει τῷ προϋπάρχοντι· ὁ δὲ
ἀεὶ ἐκκλίνει μᾶλλον, οὕτως οὐκ ἐκκλίνει τῷ μέρει ἐν τῷ τὸ ὅλον ἔχειν
ὡς ἀπαρέγκλιτον· οἷς δὲ τὸ ἀμφιρρεπές, καταλλήλως τῷ ὅλῳ ἀνά-

---

I Argumentum. ' *Quae sunt, non quae videntur, sapienti quaerenda sunt, et ex notis rebus ad minus notas ratione et via progredi oportet* '.

2. τοῦ ὄντος (ος corr. ex ω), ὄντως ὄντος λόγου F. || 9. *εἰ καὶ* delevi tamquam vocis *καίπερ* glossema. || 13. *ἀμφιρεπὲς* F.

γονται, ὅτι καὶ στάσις ῥεμβομένων τὸ ὅλον ἐστίν· οὗ δὲ τὸ στερεὸν ἑδράζεται, ἀσφαλῶς τὸ ἐπίπεδον ἐξ αὐτοῦ στηριχθήσεται, καὶ ὃ μέρει συνάγεται λόγῳ μέρεσι φθείρεται, ὃ δὲ ἔργοις φυλάττει σῴζει ὄντως τὰς ἀπαρχάς. ταῦτα πάντα ἐναργῶς δηλοῦσι τὰ προλεγόμενα.

τοῦ αὐτοῦ πρὸς τοὺς αὐτούς

II. (CXXVII) f. 169v

Τοὺς διακόνους ἀσπάζομαι καὶ φιλίως αὐτούς, εἰ καὶ ἀπών, περιπλέκομαι καὶ οἷον σωματικῶς | τούτους ὁρῶ. πέφυκε γὰρ ἐπὶ τοῖς φίλοις τοιαῦτα γίνεσθαι τὰ παθήματα, καθὰ καὶ ἐπὶ τοῖς ἀνομοίοις, εἰ ἴσως καὶ τύχωσι συνδιάγειν, θατέρους μὴ ὁρᾶν οἱ αὐτοί. ἡ γὰρ σχέσις φέρει πρὸς ἀλληλουχίαν, εἰ καὶ πόρρω, τὰ συγγενῆ, διστᾷ δὲ ἡ ἀκαταλληλία τὰ γειτνιάζοντα φυσικῶς. διόπερ τοῦ πρώτου ὄντες ἡμεῖς τῇ σχέσει ἑπόμεθα· ὀρεγνύμεθα ὡς συγγενεῖς κατὰ γνώμην, τὸ ἀπροσφυὲς σὺν τοῖς ἐκείνου πόρρωθεν βάλλοντες. ἐπεὶ δὲ καὶ λόγοι παριστῶσι τὸν νοῦν καὶ νοῦς τὴν διάθεσιν τῆς ψυχῆς, τάχ' ἂν τις εἴποι, ὁρῶμεν ἡμεῖς τὴν ὑμετέραν ψυχὴν ἐκ τῶν λόγων ὑμῶν καὶ ὁρῶμεν αὐτὴν ὡραίαν ἐκτὸς τῆς παχύτητος, καθαρὰν ἐκ τοῦ σαρκικοῦ συσκιάσματος, τέλεον εἰλικρινεστάτην, ὡς ἄνθος φέρουσαν τὴν φιλίαν ὑμῶν ὡς ἐν χερσί, καὶ τὴν εὔνοιαν ὡς ἀγροῦ κρίνον, καὶ τὴν προαίρεσιν ὡς καλλίδρεπτον βάλσαμον, καὶ ὅλην αὐτὴν ὥσπερ τι ἀγαθὸν ἀνάθημα. ἡμεῖς δὲ πρὸς ταῦτα τί ἀντιδώσομεν; οὔποτ' ἂν ἄλλο ἢ τὰ ὅμοια, ὡς εἰκός, οἷς ἔψονται καὶ τὰ πάντα. ταῦτα γοῦν ἐκ τῆς ὑμετέρας ἐπιστολῆς παρακινηθέντες γεγράφαμεν, εἰ καὶ ἀτέχνως ὡς μὴ φιλόσοφοι.

II Argumentum. *'Vestras litteras legens vos ipsos tamquam praesentes amplecti videor: vestram in me benevolentiam grato animo accipio, vosque amo'.*

8. ἀνομ,οις' F. ‖ 5 sq. ἀκαταλληλία scripsi: καταλληλία F. ‖ 7. ὀρεγνύμεθα scripsi: ὡς σύγνυ'μεθα sic F, sed ὡς συ deleta. ‖ 13. κρινον F. ‖ 14. αὐτὴν scripsi: αὐτὴν F.

τοῦ αὐτοῦ πρὸς τοὺς αὐτούς f. 170r

III (CXXVIII)

Τὰς ὑμῶν ἐπιστολὰς διττῶς ἀποδέχομαι, ὅτι φίλων καὶ ὅτι αὐχοῦσι τὸ χάριεν, νυνὶ δὲ εἶπερ ποτέ, τῶν τοῦ στρογγυλοφιλοσοφογραμματογράφου ἐν αὐταῖς ἀκούσας στομφασμάτων· ἐπαινῶ δὲ καὶ τοὺς διττοὺς φιλοσόφους, τὸν πρῶτον μετὰ τοῦ πρώτου καὶ <τὸν> ὕστατον μετὰ τοῦ ὑστάτου· ἔχουσι γὰρ ἀμφότεροι πρὸς ἀλλήλους κοινὴν τὴν τοῦ πρώτου καὶ ὑστάτου διαφοράν· ἅμα γὰρ καὶ κατηγοροῦνται τοῦ πρώτου τε καὶ ὑστάτου, οὓς εἶδος καὶ ὕλην τις εἴπῃ, καὶ τὸν πρῶτον ὡς διανοητικώτερον εἶδος, τὸν δεύτερον ὡς ὑποκείμενον ὕλην. ἐπεὶ δὲ ἡ ὕλη ἐν εἴδει καὶ τὸ εἶδος ἐν ὕλῃ, τάχ' ἂν τις εἴποι τούτους ἐναλλὰξ ὕλην καὶ εἶδος. ἁρμόσει δὲ τοῖς δυσὶ τοῦτο, ἐπειδὴ ὁ μὲν τοὺς ἐν βορβόρῳ διδάσκει ὕλῃ, ὁ δὲ τὰς ταύτης ἀπορροίας ὡς ἑπόμενος τῷ πρώτῳ δέχεται. ἀμφότεροι γὰρ τῶν ὑψισταρίων διδάσκαλοι, κἂν ἀληθῶς ὑπὸ τῶν ἐξ Ἰουδαίων χριστωνυμηθέντων ἢ ἐκ τοῦ Χριστιανισμοῦ ἰουδαΐσάντων, οὓς τις σφαιρικώτερον ὑπολάβῃ*** Θεὸν καθὼς καὶ τὸ τοῦ πρώτου σχῆμα δηλοῖ· οὓς καὶ παίζοντες στρέφονται καὶ μὴ παίζοντες δυνάμει εὐστρόφως βαδίζουσιν· ἔχουσι γὰρ ταῦτα θέσει καὶ ψυχῇ καὶ φωνῇ. ἐρρέτωσαν πόρρω οἱ τῶν Διοσκόρων καὶ Ἐπικούρων μανέντων τε καὶ Πυρρωνείων ἀπόγονοι | ἅμφω τὸ μίγμα λαβόντες f. 170v πρώτῃ συμπήξει τῶν αἱρέσει παρ' ἑκατέρων φιλοσόφων καὶ θεολόγων, ὅπως εἰρηνικῶς βιῶσιν οἱ ἄνθρωποι. περὶ αὐτῶν ἡμεῖς γοῦν ἀκούσαντες πρὶν ἐτέρφθημεν, νῦν δὲ περὶ τῆς τοῦ ἡμῶν λύχνου λύπης ἀκούσαντες, λύπῃ κατεσχέθημεν ὅτι πλείστῃ. διό, εἰ ἦν δυνατόν, αὐτοὶ ἡμεῖς παρηγορήσασθαι τοῦτον ἤλθομεν ἄν· ἀδυνατοῦντες δὲ τοῦτο λόγοις εὐλόγοις τοὺς δι' ἐπιστολῆς ἡμῶν λόγους ἐστείλαμεν, ἵν' ὡς αὐτοὺς ὁ ἡμέτερος δεσπότης δεξάμενος ἀνακωχὴν δέξηται τῆς ὀδύνης, μικρὸν ἐξ αὐτῶν παραμυθηθείς. ὃ μαθόντες δόξαν τῷ Χριστῷ ἀναπέμψομεν.

In tit. αὐτούς evan. F.

III. Argumentum. *' Quae de studiis vestris ad me scripsistis laeto animo accepi. Dolui contra casum magistri vestri, quem utinam verbis praesens consolari possem '.*

4. τὸν addidi. ‖ 14. lacunam statui: διδαχθῶσι vel tale quid excidisse videtur; cfr. Greg. Naz. or. XVIII, p. 992 A Migne. ‖ 18. πυρρωνείων scripsi: πυρρωνίων F.

τοῦ αὐτοῦ πρὸς τοὺς αὐτούς

IV (CXXIX) Φίλων οὐδὲν ἡδύτερον καὶ γνησίων οὐδὲν προσηνέστερον· διὰ τοῦτο ὑμεῖς τὸ ἐμὸν ἡδύ τε καὶ προσηνές, ὅτι καὶ γνησιώτατοι. ἐπεὶ δὲ καὶ φίλοι φιλοσοφίας, ἐνδίκως φίλοι ἐμοί, κἂν καί τις τὸν λόγον οὐκ ἀρεσθῇ· καὶ φιλοσοφίας οὐ τῆς κάτω καὶ ἀνθρωπάνης μονοειδῶς, ἀλλὰ τῆς ἄνω καὶ θείας καὶ τῶν θείων δογμάτων αὐτῆς ὑπουργοί ὄντως ὑμεῖς ἔμφρονες, ὄντως ἀειπρεπεῖς. ὁ γὰρ ἐκείνῃ συνομιλῶν
f. 171r γινώσκει τά τ' ἐόντα τά τ' ἐσσόμενα πρό τ' ἐόντα· | διὰ τοῦτό ἐστι καὶ ἀειπρεπέστατος, ἐπίσταται γὰρ λόγων στροφὰς καὶ νοημάτων δυσλύτων λύσεις, ὡς πρὸς ταύτης μεμαθήκαμεν. ὑπέρευγε τῆς ὑμετέρας φιλοσοφίας, ὦ καλλίστη μοι ξυνωρίς. τὴν ἡμετέραν δὲ τίς ἂν θαυμάσῃ μὴ διαφανῆ οὖσαν οὐδὲ θειοτέραν; τέως δέ, ἵνα μὴ πάντῃ ἐσμὲν ἄσοφοι, τῆς πρώτης λειπόμενοι συνῳκήσαμεν τῇ δευτέρᾳ, θελήσει πλήν γε καὶ προνοίᾳ τῆς πρώτης. ἐκ γοῦν τῶν λημμάτων, ὧν ἔχομεν ἐξ αὐτῆς, εὐτελές τι προσήξαμεν τῷ ψυχικῷ ἡμῶν προστάτῃ τε καὶ δεσπότῃ, ὥσπερ τριχῶν δυάδα τινὰ ἢ ἄλλο τι εὐτελέστερον, καὶ τοῦτ' οὐ διὰ τὴν προαίρεσιν. ὅση δύναμις δὲ καὶ ὑμᾶς ἐθέλομεν ἀρῆξαι εἰς τὴν τοῦ λήμματος σαφήνειαν· ἐπιτηδείως γὰρ ἔχετε πρὸς αὐτὴν καὶ πρὸς πάντα, ὡς οἴδαμεν.

IV. Argumentum. *'Amicitia vestra mihi pergrata est propter vestrum philosophiae studium. Quem ego fructum quamvis tenuem studiorum meorum ad magistrum nostrum mitto, vos inspiciatis et curetis velim'.*

7. Hom. *A* 70; ἐσόμενα et πρώ τ' F. ‖ 16. τοῦτ' οὐ scripsi: τοῦτο F.

XI

AD GERMANUM ADRIANOPOLIS METROPOLITAM

Laur. 59, 35
f. 171r

Τοῦ αὐτοῦ πρὸς τὸν μητροπολίτην Ἀδριανουπόλεως κυρὸν Γερμανὸν πρὸ τῆς τοῦ μαρκίωνος Δε Ὀεμβοὺργ πρεσβείας.

I
(CXXX)

Εὐκλείδει μὲν τῷ σοφῷ λόγος περὶ ὄρου γινόμενος τά τινων πέρατα εἶναι αὐτὸν διωρίσατο ἀντιστρόφως ὁρίσας τῷ φιλοσόφῳ καὶ
f. 171v
δαμονίῳ· | περὶ ποιότητος γὰρ καὶ φύσεως ἐκεῖνος ὁρίσας, οὗτος περὶ ποσότητος εἶπε καὶ σχήματος, εἰ καὶ κατ' οὐδὲν διενηνόχασι θάτερα, ἑνὶ δὲ σκοπῷ ἀφορᾶν εὑρεθήσονται, εἴπερ ἐξεταστικὸς ἀνὴρ ἐρευνήσει αὐτά. Σωκράτης δὲ τὸ 'Γνῶθι σαυτόν' λέξας ἐν ὀλίγῳ τὸ πᾶν ὡρίσατο. πείθομαι γοῦν τῷ τρίτῳ καὶ τοῖς προτέροις, καὶ διὰ τοῦτο οὐκ εἰς φῶς προσφέρω τὰ ἐμὰ σκοτεινώδη νοὸς γεννήματα, ἀλλ' ἑκὼν κρύπτω καὶ κρύπτων αἰσχύνομαι, ὁ γὰρ αἰσχυνόμενος ἀληθῶς κρύπτει ἀεί. ποῦ τοίνυν ἐν ἐμοὶ παρρησία; ποῦ δὲ λόγου περιουσία; ποῦ δὲ φιλοσοφίας ἀπέραντος νοῦς; ποῦ δέ γε φύσις ἀπροσδιόριστος; ἀληθεύουσι γὰρ ὄντως οἱ ὁρισμοὶ ἐν ἐμοί· περατὰ γάρ μοι πάντα καὶ ἀσθενῆ καὶ αἱ ποιότητες σὺν τῇ φύσει μεμέτρηνται. ἐπεὶ

Tit. 2. πρὸς τῆς F.

I. Argumentum. *' Parvi sunt quos ad te mitto ingenii mei fructus; sed quoniam iussisti, tuae voluntati mihi obtemperandum fuit. Tu contra precibus tuis mihi faveas '.*

1. Eucl. I, def. 13: unde hic fort. scribendum τό τινος πέρας. ‖ 2. τῷ φιλ. h. e. Aristoteli (cfr. Metaph. Δ 17, 1022 a 4 sqq.)

καὶ κατὰ λόγους ἁρμονικοὺς ἡ ποσότης τῇ ποιότητι μιχθεῖσα καὶ ἡ ὕλη τῷ εἴδει, τετρὰς συνήρμοσται, δι' ὧν τὸ πᾶν ἐν παντὶ καὶ τὸ ὅλον ἐν μέρει γνωρίζεται. πάντα τοίνυν περατά τε καὶ γινωσκόμενα καθεστήκασι· διὰ τοῦτο τοιοῦτος ὑπάρχων κἀγὼ εὐδήλως πεπερασμένος καὶ γινώσκων αὐτό, σιωπῶ τῇ ταπεινώσει τὰ μάλιστα, προνοησαμένης
f. 172r μοι τοῦτ' αὐτὸ τῆς δυνάμεως τοῦ Χριστοῦ. ἔχω | λέγειν καὶ ἕτερον. βασιλεία καὶ ἱεραρχία, ψυχὴ καὶ σῶμα, ὕλη καὶ αὐλία, πάντως ταῦτα ἑξάς, διττὴ δὲ ἀρχὴ καὶ τριάδες δύο εἰσίν· ᾧ γοῦν διαφέρει λόγῳ ψυχὴ σώματος, τῆς ὕλης αὐλία· ᾧ δὲ λόγῳ αὐλία τῆς ὕλης, ἱεραρχία τῆς βασιλείας. τοσαῦτα γοῦν ἀναλογισάμενοι ἐν διορισμῷ ποσῷ καὶ ἀπαριθμήσαντες κατὰ φύσιν τὰ πράγματα εὕρομεν βασιλεῖς παρὰ τῶν ἱερέων συνετιζομένους καὶ ὁρμῶντας πρὸς τὰ καλά. οὔκουν δεῖ ἐκ βασιλέων λόγους σοφίας αἰτεῖσθαι τοὺς ἱερεῖς· ἐπεὶ καὶ ἀπὸ τῆς ψυχῆς λαμβάνει τὸ σῶμα <τὰ> στάσεως καὶ ἐκ τῆς ἀπαθείας καὶ αὐλίας ἡ ὕλη πρὸς καιρὸν τὸ ἀπαθές τε καὶ μόνιμον· καὶ ἐξ ἱερέων ἑπομένως καὶ ἀκολούθως οἱ βασιλεῖς τὰ συνέσεως. ὅπου γὰρ λόγος, βάσις ἐστὶ τῶν ὑπ' αὐτόν· ὅπου δὲ βάσις τῶν κινουμένων, ἐξ ἀνάγκης στερρότης ἐστὶ καὶ τοῦ κινήσαντος. πᾶν καὶ γὰρ τὸ κινούμενον ἔν τινι στερεμνίῳ καὶ ἀκινήτῳ κινεῖται, ὥς φησιν ὁ ἀπὸ Σταγείρας φιλόσοφος. ἐν ἱερεῦσιν ἄρα λόγος ὁ τῆς σοφίας καὶ λόγος ὁ τοῦ Πατρός, Θεοῦ τε αὐτοῦ καὶ πατρός, ἡ ἀληθινὴ Αὐτοσοφία τε καὶ Ἀλήθεια ἐγκατοικεῖ· ὁ μὲν ἵνα φωτίζῃ καὶ σοφίζῃ καὶ συνετίζῃ αὐτούς, ὁ δὲ πρὸς αὐτοὺς δεδωρημένος, πλὴν ἐξ αὐτοῦ, ἵνα διέπωσιν ἐν λόγῳ σοφίας τὴν Ἐκκλησίαν
f. 172v αὐτοῦ, ἣν οὐκ ἐπ' ἀργυρίῳ | ἀλλ' αἵματι τῷ τῆς προληφθείσης αὐτῷ σαρκὸς ἠγόρασε. διὰ ταῦτα νέμουσι λόγους οἱ ἱερεῖς πρὸς τοὺς βασιλεῖς, ἀντιλαμβανομένων ἐκείνων ἐξ ἐκείνων τὰ γεωδέστερα καὶ ἃ βασιλεῦσι προσήκει φέρειν τοῖς ἱερεῦσιν. ἐπεὶ δ' ἔστιν ἀγαθόν τι ἔργον ὑπακοὴ ἔν τε βασιλεῦσιν ἔν τε ἱερεῦσι καὶ πανταχοῦ, πεισθῆναι δεῖ με τῷ ἱερεῖ, πλὴν ὑφειμένως, ἀλλά γε οὐ κατ' ἀπείθειαν, οὔτε μὴν κατ' ἐποχὴν τοῦ καλοῦ, <ἀλλ'> αἰδοῖ τε καὶ ταπεινώσει. καὶ τὰ ἐμὰ μὲν γεννήματα δεῖ φέρειν τούτῳ ὅτε καιρός, ἀντιλαμβάνειν δὲ ἀπειράκις εἰς ἄπειρον ἐξ αὐτοῦ τὰς εὐχάς. ἔστι γάρ, ἔστιν ἡ ἀληθὴς ἐντελέχεια, ὁπόταν εἰς ταὐτὸ συνδράμειε τὰ διῃρημένα καὶ μίξις γένηται καὶ ἐν τῷ μέρει

---

18. αὐτό scripsi: αὐτὸν F.: num αὐτόν? || 23. διωρισμῷ F. || 25. δεῖ scripsi: δὲ F. || 27. τὰ supplevi coll. 29; om. F. in fine versus. || 32. cfr. v. g. Metaph. Γ 8, 1012 b 31. || 36. αὐτοῦ scripsi; αὐτοῦ F. || 43. ἀλλ' supplevi.

πέσῃ τὸ μέρος καὶ ἐν τῇ ποιότητι ἡ ποιότης καὶ ἐν τῇ ποσότητι ἡ ποσότης, καὶ διόλου γεννηθῇ τῶν ἑνωθησομένων ἀνάκρασις· καθὰ καὶ ὁ ἰατρὸς εἴρηκε μίαν τοῦ σώματος ξύρροιαν διὰ τὴν ἀλληλουχίαν καὶ τὴν τῶν ποιοτήτων πρὸς ἀλλήλας ἀλλήλων διάβασιν. εὐχαὶ γὰρ ἀντὶ λόγων διδόμεναι ἐντελῆ πρὸς λόγον καὶ ἀρετὴν ποιοῦσι τὸν τοῦ λόγου γεννήτορα. διὸ δὴ καλὴν κἀγαθὴν γνόντες ἡμεῖς ταύτην τὴν ἐμποριαν, ἀρχόμεθα φέρειν τοὺς ἡμῶν λόγους πρὸς σὲ καὶ ἀνθέλκειν σοῦ τὰς εὐχάς. δέχου τοίνυν τὴν καταρχὴν ἐκ τῆς ἀρτίως ἐπιστολῆς, | καὶ πλη- f. 173r
θύνεσθαι ταύτας ποίησον σαῖς εὐχαῖς, ἵν' ἐξ ἀνάγκης τῷ τῶν λόγων πλήθει καὶ τῶν εὐχῶν μένωμεν ἐν εἰρήνῃ μέσον ὅτι πολλῇ διὰ τῆς ἀπειροδυνάμου δυνάμεως τῆς ὑπερεχούσης εἰρήνης ἅπαντα νοῦν.

τοῦ αὐτοῦ μεγάλου βασιλέως πρὸς τὸν μητροπολίτην Ἀδριανουπόλεως κυρὸν Γερμανὸν μετὰ τὴν τῆς βασιλείας ἐντελέχειαν. Vind. 321 f. 69r

II. (CXXXI)

Οἱ τῶν ἐπιστημόνων μεγάλοι περὶ τὰ λεπτὰ τῶν ἐπιστημῶν οὐ καταγίνονται παντελῶς, διότι τὰ ἄκρα ἀφορῶσι περὶ τὰς πράξεις, καὶ τὸ πρακτικὸν τῆς θεωρητικῆς ἐπιστημοσύνης ἀλλοῖον κατά γε τὴν νοερότητα· ἐπιστήμας δὲ λέγω ἀριθμητικήν, γεωμετρίαν, στερεομετρίαν, ἁρμονικήν τε καὶ μουσικὴν καὶ τὴν ὑπερκειμένην τούτων ἀστρονομίαν, ἐπιστήμονας δὲ ὡς ἐν βραχυλογίᾳ λέγω τοὺς ἐπιστημόνως μετερχομένους αὐτάς. εἰ τοίνυν τοιοῦτοι, τῶν τοιούτων τὰ τέλη παντελῶς, ὡς ἔφην, οὐκ ἐπισκέπτονται, οὐ κατὰ λόγον ὀλιγωρίας οὔτε κατὰ κατοχὴν ἀγνοίας τῆς πρὸς αὐτ<ά>, οὔτε μὴν κατ' ὄκνον ἢ παιδεύσεως ἀτυχίαν ἢ συμβάματός τιν' ἀσθένειαν ἢ λόγον λογικῆς πενίας καὶ ἐμπορεύσεως, ἀλλὰ μᾶλλον ἐπιστημόνως, ὅτι τὰ τέλη τούτων πρὸς τὸ σφαλερὸν ἀποβλέπουσι προσλήψεως θειοτέρας περικατοχῇ τε καὶ κατοχῇ. καὶ τοῦτο δὴ λέγω· γεωμετρικῶν παρορῶσι τὰ πλεῖστα τὰ μὴ πρὸς τὰς μεγάλας νοήσεις τῆς τῶν ἐπιστημῶν θειότητος ἀπο-

48. γενεθῇ F. || 49. cfr. Ps. Hippocratis lib. περὶ τροφῆς 23.

II. Argumentum. ' *Deo nobis favente vera doctrina freti astrologorum ineptias ridemus et mala malorum omina irrita fore confidimus* '.

9. αὐτ//// V. || 10. συμβάματός τιν' scripsi: συμβάματος τὴν V. || 13 sq. γεωμετρικῶν scripsi: γεωμετρικῶς V.

βλέποντα, καὶ γινώσκουσι μέν, οὐ γινώσκουσι δέ, καὶ ἐπίστανται μέν, οὐκ ἐπίστανται δέ, καὶ πρᾶξαι δύνανται μέν, οὐ πράττουσι δέ, ταῦτα δὲ πάντα ἐπιστημόνως ἐθελοντί. τί λέγω ζῳδίων προτυπώσεις καὶ προμαντεύσεις; τίνες εἰσίν, ἢ τίς δὴ ταύτας πεποίηκεν; εἰσὶ δὲ φιλο-
f. 69v σοφίας καὶ φιλόσοφοι | αὐτὰς ἐτελεσιούργησαν, καὶ λύονται μὲν φιλοσόφως, ἐτάζονται δὲ κατ' ἐπιστήμην καὶ γινώσκονται τοῖς ἐπιστήμοσι τῶν ἀνεπιστημόνων ἐπιστημῶν τὰ τεχνάσματα ληρωδήματα παντελῶς καὶ φλυαρίας μεγάλα κυήματα. ἀλλὰ τί πάθωμεν πρὸς αὐτὰ μηδὲν ἡμεῖς ὁρῶντες, οἱ μετελθόντες τὰ τῆς φιλοσοφίας ἄρρητα παντελῶς; παιδευθῶμεν ἢ <ἐπ>τιμηθῶμεν; εἰ μὲν οὐκ ἔγνωμεν μαντείας καὶ γοητείας καὶ χρησμῶν ἐπῳδαῖς περὶ ἐνδεδυμένων μυσταγωγίας καὶ κληδόνων καὶ κλήρων τὰς βομβολάλους ψευδεῖς ἀγριότητας, τάχα ἂν ἐμέμφθημεν παρὰ τῶν σοφῶν, ὡς τὰ τέλη τῆς φιλοσοφίας μὴ ἐγνωκότες. εἰ δὲ τούτων ἁπάντων κατ' ἐπιστήμην τὴν γνῶσιν ἐπισταμένως γνόντες κατεγελάσαμεν, τοῦ ἀφορῶντος πρὸς τὸ πρακτικὸν ἄλλον ἔχοντες νοῦν, ὑψοποιὸν πρὸς τὸν ὑψοποιὸν Θεὸν ἐνορῶντα ἀεὶ κἀκεῖθεν τό τε νοερὸν καὶ τὸ θεῖον καὶ τὸ πρακτικὸν ἐξαιτούμενον ὡς τὸ σύνηθες, οὐ μέμψις ἡμῖν ὅτι τὰς τῶν βαρβάρων γελῶμεν ἀναστηλώσεις. Λόγου γὰρ ἡμεῖς τε καὶ λόγιοι, καὶ τῷ Λόγῳ διὰ τοῦ λόγου δουλεύομεν ἐπασκεπόμενοι τῇ τούτου μητρὶ ἐπασκέψει τῇ θεομήτορι. οὐ συνθλάσομεν τὰ ἰνδάλματα, ὁ γὰρ ἀκρογωνιαῖος λίθος ἅπαξ ταῦτα συνέθλασεν καὶ ὡρίσατο πρὸ τῆς γενέσεως. καὶ τί τῶν δυσχερῶν παρεμποδίσει τοῦ μὴ θλασθῆναι παρ' ἡμῶν τὰ τῶν ἀσεβούντων σκιάσματα; λόγος γὰρ οὗτος· καὶ τὸ Λόγῳ κριθέν, τῇ αὐτοῦ μητρί τε βεβαιωθέν, οἷον βαβυλώνειον εἴδωλον ἢ μυσαρὸς καὶ βδελυρὸς ἀνδριὰς τῇ ἀνορθώσει παρεμποδίσει ἢ τῇ καταβλήσει οὐ συνεργήσει; ἀπεξένωνται ταῦτα τοῦ ἐμοῦ νοός, θεοείκελε δέσποτα. ἀντιστρέφω γάρ σοι τὴν χάριν ὁμηρικῶς ῥίζῃ μιᾷ ἑνὶ φυτουργῷ συντρεφόμενος συναύξων τε καὶ συνθάλλων ἀεί. ἐντεῦθεν καὶ ἡ ἐλπὶς ἀκαταίσχυντος καὶ τὰ τῶν ἐπάλξεων εἴδωλα τῇ καταπτώσει τῶν πρωτοτύπων λικμηθῆναι πεποίθαμεν. καὶ ἡμεῖς ἐν ἐλευθέρᾳ ψυχῇ παρὰ τῆς ἐπισκέψεως φυλαττόμενοι πρὸς τὴν

16. πράξαι V. || 18. δὴ scripsi: δὲ V. || 24. τιμηθῶμεν in marg. corr. ex παιδευθῶμεν, ut vid., V.; supplevi ego. || 26. scripserim ἀχρειότητας. || 30. τό τε scripsi: τὲ τὸ V. || 32. ἀναστειλώσεις V. || 35. cfr. Hesai. XXVIII, 16. ἀκρογωνιαιος V. || 36. καὶ ὡρίσατο scripsi: ὡρίσατο καὶ V. || 40. ἀπεξαίνωνται V.

καθ' ὕλην σκέπην ταύτης εἰσέλθωμεν, τῆς δύλου καὶ νοερᾶς καὶ θείας καὶ ἀκαταμαχήτου ταύτης δυνάμεως ἱλαστηρίου αὐτῆς προσκυνήσαντες, τὰς δυνάμεις τὰς χάριτας τὰς εὐεργεσίας ληψόμενοι καὶ τῶν σῶν εὐχῶν τὰς ὑπὲρ ἡμῶν ὑπερμαχήσεις καὶ προμαχήσεις, αἷς τὸν Θεὸν ἐξιλεώσαις ἡμῖν, ἱερώτατε.

10. ἐξιλεώσαις scripsi: ἐξιλεοῦσαι V.

XII

AD ACACIUM MONACHUM

Laur. 59, 35 f. 178r

Τοῦ αὐτοῦ βασιλέως πρός τινα μοναχὸν Ἀκάκιον πρὸ τῆς τῆς βασιλείας ἐντελεχείας.

I (CXXXII)

Τὰ μὲν πρῶτα τοῦ λόγου διασκεδασθῆναι τὴν λύπην οἰκονομεῖ, τὰ δ' ὕστατα ἐγείρει τὸ λογικὸν τῆς ψυχῆς λέγειν διὰ λόγου προφορικοῦ τὸ ' ἔστιν ' ἢ τὸ ' οὐκ ἔστι '. διὸ τὴν μὲν ἡ καρδιακὴ ζέσις λυθῆναι οὐδόλως παραχωρεῖ, ἐπεὶ καὶ αὕτη συνδιελύθη τῇ λύσει τῆς, δι' ἣν διαλυθῆναι καὶ τὸ λειφθὲν αὐτῆς κατεπείγεται, τὰ δὲ οὐκ ἔστι μοι λέγειν οἷς οὐκ ἔξεστι φιλαλήθει ἀνδρί· ἐπεὶ δικαιοσύνη καὶ ἀλήθεια πορεύεται πρὸ προσώπου Θεοῦ, ἀδικία δέ γε καὶ ψεῦδος τοῦ ἀντικειμένου γεννήματα, καὶ ὅτι ὁ πρῶτος ἡμῶν ἀδελφὸς ἀλήθειαν αὐτὸν κατωνόμασεν, ὃς ὑπὲρ ἡμῶν ἐν ἀληθείᾳ καθ' ἑκάστην ἐντυγχάνει τῷ ἰδίῳ πατρί. διὰ τοῦτο ἐξομοιούμενοι πρὸς τὸν ὄντως ἀληθέστατον Κύριον, καθὼς ἡμῖν ἐστι δυνατόν, ταῦτα λέγομεν. λέλεκται μὲν οὖν

Tit. 1. πρὸ] πρὸς F.

I. Argumentum. ' *Dolorem meum tuis verbis levare frustra conatus es; neque philosophiam hoc tempore colere iuvat; sed coelestia tantum intueri et a Deo salutem sperare volo* '.

5. λειφθὲν scripsi: ληφθὲν F. ‖ 6. οἷς] num ὡς? ‖ 6 sq. cfr. Psalm. LXXXIV, 12–14. ‖ 8. αὐτὸν scripsi: αὐτὸν F: cfr. Ev. Ioh. XIV, 6.

περὶ σοῦ, οὐ καθὼς δ' εἰρηκας, ἀλλ' ὡς ὁ καιρὸς ἐδίδου· οἶμαι δὲ
οὐκ ἄλλως ἢ ἀγαθῶς. εἰ δὲ καὶ τὸ τῆς ἐμῆς ὄψεως βλοσυρώτερον
ἔδοξε, | πάμπαν ἐστὶ καινὸν εἰ τοῦτο τὴν ὑπόνοιαν ἔφερεν· ἐπεὶ σὴς f. 173v
ὀστέων εὐπαθὴς καρδία ἐστί· καὶ γὰρ οἷος σὴς τὰ ἐμὰ τοῦ προσ-
ώπου προθέματα ἐς τόσον κατεδαπάνησε καὶ τὸ χρῶμα ἠλλοίωσε
καὶ πρὸς δεινότητα τὸν λύχνον τοῦ σώματος μετεποίησεν, οὐδεὶς ἄλλος
ἐστὶν ἢ περὶ οὗ τὰ πρῶτα θρηνητικῶς τῷ σῷ κώδικι διελάμβανες, τὸ
τῆς λύπης δριμύτατον, τὸ τοῦ πάθους βαρύτατον, τὸ τοῦ ψυχικοῦ
ἄλγους ἀνιαρόν. οὗτος ὁ σὴς τὴν σκυθρωπότητα ἔφερεν, οὗτος τὴν
ἀχροιαν, οὗτος τὸ δεινόν, οὗτος τὸ βλοσυρὸν καὶ εἴ τι ἄλλο ἀπευκ-
ταῖον ἐνόμισας. ἐγὼ δὲ καὶ τὴν σὴν τεθαύμακα διάκρισιν, εἰ ὅλως οἷς
γέγραφας ἔστερξας. ἀλλ' ἴδομέν σε τάχιστα καὶ τοῦ ἁγιωτάτου ἀν-
δρὸς τοὺς λόγους διευκρινήσωμεν, ἵνα μὴ <οἱ> φῶς φάσκοντες ὑπὸ τοῦ
ψεύδους συσκιάζωνται. ἀλλ' ἔγωγε ἔγνων ὅτι πρεπόντως ἐλάλησε καὶ
ὡς φίλον Θεῷ, ὃ καὶ διασαφήσωμεν ἐν ἀληθείᾳ. περὶ δὲ τοῦ φιλοσο-
φεῖν με, οὐκ οἶδ' ὅ τι καὶ λέξω, ἐπεὶ θρήνων μᾶλλόν ἐστι καιρὸς καὶ
οὐ δεῖ με φιλοσοφεῖν· τὸ γὰρ φιλοσοφεῖν λύπης πόρρω ἐστί, διότι
καὶ φιλοσοφίαν ἀρχικωτάτην τὴν τῶν πραγμάτων καταφρόνησιν ἐνο-
μογράφησαν οἱ σοφοί. διὰ τοῦτο κἀγὼ σήμερον ὑπὸ τῆς λύπης παρα-
κινούμενος μετακεντρίσαι | ταύτην ἐπιτηδεύομαι ἐξ ἀγριελαίας f. 174r
λύπης σωματικῆς εἰς σωτηρίας ψυχικῆς καλλιέλαιον. ὦ καλὴ λύπη,
εἴπερ ταύτης καταξιωθείημεν καὶ ὑπεράνω πάντων πατήσαιμεν καὶ
Θεῷ συγγινοίμεθα καὶ φιλοσοφήσαιμεν τὰ σωτήρια. ταύτην ἄρτι τὴν
φιλοσοφίαν ἐξασκῆσαι βούλομαι· τὰς δὲ τῆς ὑλικῆς φιλοσοφίας δι-
αιρέσεις καὶ ἀποδείξεις τὰ νῦν μὲν ἀργῶ, εἰ καὶ μήπω τούτων ἡψάμην.
ἐς δὲ τὸ ἔμπροσθεν πρὸς τὸ συμφέρον ποιήσει ὁ Κύριος, καὶ ὃ οὔπω
δὴ εἰς ἀγαθὸν ῥέπει, μήπως εἰς κακὸν καὶ δοκεῖν ἀγαθόν. αὐτὸς
γοῦν ὁ Κύριος καὶ Θεὸς καὶ μόνος σοφὸς καὶ ἡμᾶς σοφίσοι εἰς δόξαν
τῆς ὑπερουσίου αὐτοῦ θεότητος.

---

13. βλοσσυρότερον F. || 14 sq. Prov. XIV, 30, ubi αἰσθητική pro verbo εὐπαθής. || 18. διελάμβαν in extrema linea F. || 21. βλοσσυρόν F. || 24. οἱ addidi. || 25. συσκιάζονται F. || 31 sq. cfr. Paul. Rom. XI, 24. || 36. μή'πω (sic) et ἡψάμην F. || 37 sq. ὃ οὔπω δὲ μήπως εἰς ἀγαθὸν ῥέπει, εἰς κακὸν F.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

II. (CXXXIII) Περιέστη μὲν οὖν τὸ πᾶν εἰς λογικὸν καὶ ἄλογον καὶ αἰσθητικὸν καὶ ἀναίσθητον παρὰ τῆς πρώτης χειρὸς τῆς θείας καὶ δημιουργικῆς· τὸ δὲ λογικὸν δίχα φρονέει ἀρετῇ καὶ κακίᾳ καὶ ἀγαθῷ καὶ αἰσχρῷ· ἀντιπεπόνθασι γὰρ αἱ ἀρχαὶ τῇ διχονοίᾳ ταύτῃ καὶ οὔποτ' ἂν ὁλοσχερῶς εἰς ἓν ὁρμῶσι διὰ τὸ δέχεσθαι ταύτας τὴν ἐναντιότητα. διὸ καὶ οἱ τοῦ αὐτοφυοῦς ἀγαθοῦ ψαύειν βουλόμενοι πεπονθότων ἐκείνων πεπόνθασι τῆς ὁλοκληρίας ἀποτυγχάνοντες. ποῦ γὰρ ἀρετή, εἰ τὸ λίχνον
f. 174v ἐνδιατρίβει; | ποῦ δὲ κακία, εἰ ψαύομεν ἀρετῆς; ὄντως οὐδέτερον ἕξει τούτων τὴν τοῦ σκοποῦ ἐντελέχειαν, ἀλλὰ μενοῦσιν ἀεὶ τυρβαζόμενα. τούτῳ δὲ τῷ τρόπῳ καὶ ἡμεῖς ἀρεταίνειν βουλόμενοι, κακίαις δὲ συχνάκις ἐγκυλινδούμενοι, ὃ μὴ ὤμεν νομίζομεν καὶ ὅπερ ἐσμὲν παραβλέπομεν, ἀμφοτέρωθεν βοθύνῳ ἁμαρτημάτων ῥιπτούμενοι. οὕτως γοῦν κακίστως διάγοντες κατὰ πάντων ἔχειν δοκῶμεν ὑπεροχήν· τὰ γὰρ ἐξ ἐναντίας διακείμενα τὴν δόκησιν ἔχουσιν. ἐπειδὴ γοῦν ἐν μέρεσιν αἱ ἀκρότητες, τὰ δὲ ἐν μέρει ἄκρα ἀντιδιαστέλλονται, τί πράξομεν; οὐθὲν ἄλλο ἢ τοῦ Κυρίου δεηθῶμεν ἐν συνειδότι συντετριμμένῳ, ὅπως ἐν ἡμῖν ἄξῃ τὴν λυσιτέλειαν. ταῦτα γοῦν τὰ ἡμῶν.

Τὸ δὲ γράμμα τὸ σόν, ὦ κάλλιστε φίλων ἡμῶν, διακομισθὲν πολλήν μοι ἔφερεν εὐθυμίαν· μικρὸν γοῦν ἐκ τούτου καιρὸν ἀνανεύσαντες ἐκ τῆς ἀθυμίας, πάλιν σὺν αὐτῇ βιοτεύομεν. ἃ δὲ περὶ τὰ τέλη γέγραφας ὑλικωτέρῳ σκοπῷ διακείμενα δι' ἑτέρας ἀπολογοῦμαι γραφῆς. ὁ τῶν σοφῶν δὲ διορθωτὴς σοφίσοι πάντας τοὺς ἐπικαλουμένους ἐν ἀληθείᾳ τοῦτον ὅτι πολλῇ.

II Argumentum. *' Humanae naturae imbecillitas efficit ut a virtutis perfectione nonnihil abesse debeamus. Tuae litterae dolorem meum levarunt aliquantum. De tuis negotiis alteram epistulam scribam '.*

8. ἀρετῇ ex ἀρετὴ F. ‖ 8. οὐδέτερον scripsi: οὐ δεύτερον F. ‖ 19 sq. fort. ἀναπνεύσαντες.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

III. (CXXXIV) f. 175r

Τὸ μὲν γράμμα τὸ σὸν ἐφάνη μοι ποθεινόν, τὸ δ' ἀντι|τυραννῆσαι τῷ γράψαντι ἡ τυραννὶς ἡ κεφαλικὴ τέλεον διεκώλυσεν. οὐκ ἤδειν δὲ εἰ διὰ τὸ τυραννεῖσθαί με παρὰ σοῦ τοῦτο ἐποίησεν, ἢ τυραννηθεῖσα παρὰ τοῦ ἄλγους τὸ τυραννῆσαι κατέλιπε. τὸ μὲν αἴτιον τοιοῦτον ἢ τοιοῦτόν ἐστι· τὸ δὲ τυραννεῖσθαί με παρὰ σοῦ, ποθεινόν μοί ἐστι. τυράννει γοῦν τυραννούμενος· τὸ μὲν δι' ἀγάπης δηλονότι εἰλικρινοῦς, τὸ δὲ διὰ τὸ καὶ σὲ τυραννῆσειν ἐν καιρῷ τῇ ὁμοίᾳ τῆς τυραννίδος ἀντιστροφῇ. ἐγὼ δὲ τῇ κεφαλαλγίᾳ τυραννούμενος πληρῶ τοῦτο δὴ τὸ γραμμάτιον.

Ἃ δὲ ὁ ἀδελφὸς εἰρηκεν οἱ οἰκονόμοι οἱ ἐμοὶ περατώσουσιν.

III Argumentum. *'Capitis dolor impedimento fuit quominus ad te, ut voluissem, scriberem. Quae frater (a te missus) ad nos rettulit per ministros meos fient'.*

8. *εἰ* (= *πότερον*) scripsi: *ἢ* F. || 7. *τυραννῆσειν* scripsi: *τυραννήσει* F.

XIII

AD CALLISTUM GRAMMATICUM

Laur. 59, 35 f. 175r

Τοῦ αὐτοῦ πρός τινα γραμματικὸν τὸν Κάλλιστον πρὸ τῆς τῆς βασιλείας ἐντελεχείας.

(CXXXV) *Τῷ Καλλίστῳ διὰ λόγου προσφθέγγομαι, ἐπεὶ καὶ λόγος ἐστὶ χρῆμα τὸ κάλλιστον. εἰ γοῦν λόγος χρῆμα τῶν κατὰ κόσμον ἐστὶ τὸ κάλλιστον καὶ ἐν φίλοις ἐμοῖς ἄριστος ὁ Κάλλιστος τέτακται, τάχ' ἂν τις εἴποι ἐμὸν πεφιλημένον χρῆμα εἶναι τὸν Κάλλιστον, ὅτι καὶ λόγον πάντων ἄλλων ἐγὼ προτετίμηκα ὡς κάλλιστόν τε τοῦτον χρῆμα καὶ ἀξιέραστον. τοιοῦτον γοῦν ἐστι τὸ λεχθησόμενον. ἤδη σεβάσμιος τῶν ἐν ἀριθμοῖς ἀριθμὸς διεξέρρευσε τήμερον, ἐξ ὅτου σε κατοψόμε-*

f. 175v *θα, | καὶ τὴν ὄψιν ὅστις εἶ οὐ γινώσκομεν· τῷ γὰρ γλίσχρῳ καὶ παχυτέρῳ θυμῷ τὴν τῶν ὀφθαλμῶν διάκρισιν προσεγγίσαντες τὰ τῶν σωληνοειδῶν ἀγγεῖα, ἐξ ὧν τὸ πνεῦμα ἐξακοντίζεται τὸ τῆς ὄψεως, ἐναρκώθη μοι. ἔδει μὲν ἡμᾶς καὶ γὰρ μάλα μᾶλλον τὴν ὄψιν καθαριεύσασθαι τῷ σῷ τεταρταίῳ προσατενίσοντας, διότι καὶ ἡ τετάρτη οὐ τυραννική, ἀλλὰ κριτική. ἐπεὶ δὲ τῶν διττῶν ἀριθμουμένων καιρῶν,*

Tit. 1 sq. *πρὸ τῆς τῆς ἐντελεχείας βασιλείας ἐντελεχείας* (sic) F.

Argumentum. *'Si iam quartana febri, ut spero, liberatus es, descende aliquantum a montis vertice et te refice, et mihi te amplexandum praebe'.*

4. *πεφιλμένον* F. || 12. *προσατενίσοντας* scripsi: *προσατενίσαντα* F.

φθινοπώρου τέ φημι καὶ χειμῶνος καὶ συντιθεμένων τούτων τῷ τε-
ταρταίῳ ἑξὰς γεγένηνται τὰ ἀμφότερα, ἡ ἕκτη δὲ παρὰ μὲν τοῖς
τοῦ Ἀσκληποῦ σοφοῖς διαδόχοις οὐ κρίνει βασιλικῶς, ἀλλὰ μάλα τυραν-
νικῶς, διότι καὶ τέλειος ἀριθμὸς καὶ οὐ φύσει ἡ ἕκτη τέτακται Πυθα-
γορικοῖς, τὰ δὲ θέσει βιαστὰ καὶ τυραννικά, διὰ τοῦτο ἕως ἄρτι καὶ
ἡμεῖς τυραννούμεθα ἐκ τῆς ὄψεως. ἀλλ' ἀνάτειλον ὡς ἥλιος, ἐπεὶ καὶ
πρὸς κονοειδῆ τόπον τὴν κατοικίαν ἠρετίσω, τρισέραστε. ἀλλ' οἶμαι,
εἴπερ καὶ τὰς ζώνας ἀλλάξειας, γενήσεταί σοι ὡς χρήσιμον, οὐ κατὰ
τὸ 'ἄλλος σε ζώσει καὶ οἴσει ὅπου οὐ θέλεις'. οὐ μὲν οὖν· καὶ
γὰρ οὐδέποτ' ἂν τῇ σῇ διαρτίᾳ ἐπεύξομαι τοῦτο γενήσεσθαι πώποτε,
ὅτι οὐδὲ μαρτυρίας ἐστὶ καιρός· | ἀλλ' ἐκ τόπου λευκάνσεως τεταρ- f. 176r
τοποιοῦ, ὅτι καὶ λευκὸς ὁ φλεγματικώτερός ἐστι χυμός, πρὸς πώγω-
να τὸν βαρὺν ὡς δρόσος Ἑρμῶν κριτικοῖς ἱδρῶσι σοῖς συγκατά-
βηθι, ἵνα καὶ τὴν ᾠὰν τοῦ ἐνδύματος ἐναλλάξῃς, μή πως τοῦ
ἐκκριθέντος ἱδρῶτος παλιννοστήσαντος τοὺς πόρους μέν σου πυκνώσῃ,
σοὶ δὲ πρὸς συνεχὲς τὸ ἐκ διαλείμματος ἀπεργάσηται· καὶ γὰρ τὰ
ῥᾳθύμως ῥᾳστωνήσαντα φιλυπόστροφα. ταῦτά σοί ἐστιν ἅπερ προὐ-
θέμην εἰπεῖν. ἡ πνευματικὴ δὲ χάρις ζωπυρήσασα τὸν χυμὸν εὐκινη-
τότερον ἀπεργάσαιτο, δρόσῳ δὲ τῇ αὐτῆς καταθραύσαι τὸν πυρετὸν
καὶ δεῖξαι σε ἀκλινῆ πρὸς τὰ τῆς φύσεως οἰδήματα ἴδια.

---

20. ἠρετίσω F. || 22. Ev. Ioh. XXI, 18. οὐμενουν F. || 25 sqq. cfr. Psalm. CXXXII, 2 sq. || 29. διαλείμ^{ος} ἀπεργάσεται F. || 32. αὐτῆς scripsi: αὐτῆς F.

XIV

AD NILUM ABBATEM

Laur. 59, 25 f. 176r

Τοῦ αὐτοῦ πρός τινα ἱερομόναχον Νεῖλον καὶ καθηγούμενον τοῦ Στύλου πρὸ τῆς τῆς βασιλείας ἐντελεχείας καὶ τῆς τοῦ μαρκίωνος πρεσβείας.

(CXXXVI) *Τεθαυμάκαμεν τὴν ἐν τῇ βραχυλογίᾳ τῇ σῇ ἐνοῦσαν γνῶσιν πολλὴν καὶ κεκρίκαμεν αὐτὴν προσφυῆ καὶ ἀρτίαν κατὰ ἀλήθειαν τῆς νεαζούσης τῶν ἄρτων σου εὐλογίας. ἀρτία γὰρ καὶ ὁλοκληρεστάτη τροφὴ αὕτη ἐστίν, ἡ λογική τε καὶ ὑλική, ἡ συγκρατοῦσα τὸ συναμφότερον. ἐπειδὴ καὶ τὸν ἐπὶ τὴν οὐσίαν ἄρτον αἰτεῖν ἡμᾶς ἐκ* 5
τοῦ πατρὸς ἐδίδαξεν ὁ Χριστός, ἤγουν σὺν τῷ ὑλικῷ καὶ τὸν λογι-
f. 176v *κόν, | καθὼς καὶ σὺ ἔγνωκας. ἐπεὶ δὲ καὶ Γεωργίου ἀγαθοῦ καὶ μεγαλομάρτυρος ὁ καρπός, καὶ ὁ ἄρτος ἐκ Στειρωνίτου στηρικτικός, καὶ ἡ προσηγορία λογικὴ καὶ πευματική, ἀνάγκη πᾶσα ὅτι πολλαπλῆν ἡ εὐλογία τὴν ὠφέλειαν προξενήσει ἡμῖν. ἀόκνως γοῦν διὰ τοῦτο λογι-* 10
κῶς προσομίλει ἡμῖν· οἱ γὰρ ἔγγραφοι καὶ εὐπρόσδεκτοι λόγοι τῶν ἄλλων μονιμώτεροί εἰσι καὶ στερκτότεροι.

Argumentum. ' *Preces quas ad panis benedictionem scripsisti laudamus, ob easque tibi gratias agimus, teque rogamus ut ad nos scribas* '.

6 sq. Ev. Matth. VI, 11. || 10. *προσαγορία* et *πολλαπλῆν* F. || 12. *προσωμίλει* F.

XV

AD MANICAITAM GRAMMATICUM

Τοῦ αὐτοῦ πρός τινα γραμματικὸν τὸν Μανικαΐτην πρὸ τῆς τῆς βασιλείας ἐντελεχείας καὶ τῆς τοῦ μαρκίωνος πρεσβείας. Laur. 59, 35 f. 176v

Καὶ τὸ μὴ συναγόμενον δύναται συνάγειν ὁ συνάγειν νοῶν καὶ αὖθις λύειν τὸ φύσει συνακτόν. ἐπὰν δὲ ὁ δήσων ἢ λύσων οὐκ ἔχει πεῖραν, οὔτε ὃ συμπεραίνει συνάγει, οὔτε ὃ συνάγει συμπεραίνει· καὶ τὸ λύειν κατὰ ταὐτό. σὺ δέ, ὦ κάλλιστε φίλε, καὶ μὴ συνάγων συνεπέρανας καὶ λύων ἔπλεξας. καὶ τοῦτο, ὡς ἐμοὶ δοκεῖ, μουσικωτέρας θεωρίας μέρος ἐστίν· αἱ γὰρ τῶν προτέρων χορδῶν, ὡς ἐπίστασαι καὶ πείθομαι ἐκ τῆς ἐπιστολῆς σου αὐτό, λύσεις συνιστῶσι τὸν σκοπὸν τῶν δευτέρων, εἶτ' οὖν τὸ τέλος, καὶ αὖθις αἱ τῶν δευτέρων στάσεις, εἶτ' οὖν δήσεις, συνδέουσι τῶν προτέρων τὰς λύσεις, καὶ τοῦτο ἀεί. τεθαύμακα γοῦν τὴν σὴν ἐπιστολὴν ἀκατασκευάστως κατασκευάζουσαν καὶ συμπεραίνουσαν ἀσυμπεράστως. | ἐρευνῶν δὲ πῶς ἐστιν αὐτό, γινώσκων σε καλῶς ἠσκημένον τὴν συλλογιστικήν, εὗρον ὅτι μουσικώτερον ταύτην ἔπλεξας καὶ μᾶλλον ἐκ τούτου τοῦ θεωρήματος, ὃ καὶ (CXXXVII) f. 177r

Argumentum. *' Tuam epistulam mirabilem iudicamus. Quae postulasti exsequi conabimur '.*

τεθαύμακα. ἀλλ' ὦ γλυκύτης, ὦ φράσις, ὦ νοήματα, ὦ ἁρμογή, ὦ πάντα τὰ ταύτης. ὑπεραγάμεθά σε τῆς εὐφραδείας καὶ τῆς τοσαύτης σὺν οἰκονομίᾳ πυκνότητος.

Περὶ ὧν δέ μοι γέγραφας ὑποσχόμεθα συμπεραίνειν ἡμεῖς οἱ τέλεον ἀφιλόσοφοι.

---

17. immo ὑπισχόμεθα.

XVI

AD COSTOMYRAM GRAMMATICUM

Τοῦ αὐτοῦ πρός τινα γραμματικὸν τὸν Κοστομύρην. Laur. 59, 35 f. 177r

Οἷς σὺ κοινωνός, ὁ Καλόθετος μᾶλλον οὐ κοινωνεῖ. δν οὐκ (CXXXVIII)
ἀφρονέστατον μὴ διαφέροντα γνοὺς προσάρμοττε τοῖς ὁμοίοις. ἔστι
δὲ καὶ ταῦτα μέρος γραμματικῆς, εἰς ὃ παίζοντες οἱ παῖδες καὶ οἱ δι-
δάσκαλοι ματαίως παρέρχονται τὸν καιρόν. ὦ Ἥφαιστε Γανυμήδους
5 *διάδοχε, κυλλοποδίων, πελεκοφόρε, Διὸς ὀδύνης θεραπευτά, θείας*
Ἥρας ἀκεσίθυμον φάρμακον, Κακοθέτου κέντρον περὶ τὰς πράξεις,
τετιμωρημένε παρὰ Ταντάλου καὶ ἐμοὶ προσηνὲς σκαμβόπου, ὑπερκό-
ρυφε θειοέραστε, τὰ δ' ἄλλα ἔγκλυτε καὶ κλεινέ.

Argumentum. '*Cum a Calotheti moribus tantum discrepes, tamen illi morem gerere debes; es enim grammaticus idemque pedibus Volcano simillimus!*'

4. *γαν|νυμήδους* F. ‖ 6. *ἥρας ἀκεσόθυμον* F. *Κακοθέτου* pro *Καλοθέτου* non sine acerba irrisione; cfr. epistulam sequentem. ‖ 8. *ἔγκλιτε κ. κλινέ* F.

XVII

AD CALOTHETUM DOMESTICUM SCHOLARUM

Laur. 59, 35 f. 177r

Τοῦ αὐτοῦ πρὸς τὸν Καλόθετον καὶ δομέστικον τῶν σχολῶν.

(CXXXIX) f. 177v

Σοὶ μὲν πρὸς τοὺς σοὺς λόγους κατακαγχάστους ἡ ἀντέκτισις ἁρμοδία, ἐμοὶ δὲ τὸ πρᾶον προσφυέστατον· διὸ κατάλληλα τιμὰς καὶ πάθη τοῖς ἑκατέροις ἡ δίκη δώσει, ἧς μάλα γε νιφάδες τὴν συνοδσάν σοι ἀδράστειαν καὶ εὐήθειαν ὑγρανοῦσι· καὶ ἐξ ὑγρότητος ξυνέψεται δὴ ταύταις ἐκ τούτων καὶ τομὴ τῆς ἀπαιδευσίας, ὧ τὰ πάντα καλῶς ἠσκημένε καὶ ἀρίστως συντεθειμένε, μεγαλεπίβολε Καλόθετε εὐηθέστατε.

Argumentum. *' Ob tuas irrisiones par pari tibi redderem, ni mea clementia aliud suaderet. Utinam igitur stultitia et imprudentia tua liberari possis '.*

3. δώσειεν et *νηφάδες* F. ‖ 4. immo *ἀδράνειαν? ὑγρανῶσι* F. ‖ 5. δὴ scripsi: δὲ F.

XVIII

AD DEMETRIUM IATROPULUM

Τοῦ αὐτοῦ πρὸς τὸν προκαθήμενον Φιλαδελφείας Δημήτριον τὸν Ἰατρόπουλον. Laur. 59, 35 f. 177v

Τῷ κανόνι ἴδιον τὸ εὐθὲς ὑπὲρ ἄλλο τι καὶ ἀκλινές, τῷ ποιητῇ δὲ (CXL)
ἡ τὶς λέξις, τὸ ἱστορικόν, ἡ τῶν μύθων εἴτ' οὖν τῶν καινῶν λόγων
ἀλληγορία, τὸ ἡρωικὸν μέτρον, προσκείσθω δὲ καὶ τὸ καινὸν καὶ ἡ
εὐφράδεια. πάντα γοῦν ἐν τῷ σῷ κανόνι ἑώρακα, τό τε ἀκλινὲς τῇ
ἐννοίᾳ καὶ τὸ εὐθὲς ἐν τοῖς δόγμασι, ταῖς λέξεσι τὴν ἐκμίμησιν καὶ
ταῖς ἱστορίαις τὸ ἀρχαῖον, τὴν τῶν μύθων ἀλληγορίαν ἐκ τῶν αἰσχρῶν
εἰς τὰ θεῖα. λειπόμενον δὲ μόνον τυῦτον εὗρον τοῦ ἡρωικοῦ μέτρου,
καὶ τοῦτο ὅτι οὕτως ἀπῄτει· ἐν αὐτῷ δὲ εἶδον ἥρωα νοῦν τὸν | ἐν f. 178r
αὐτῷ βαδίζοντα τούτου γεννήτορα. ὦ τοῦ καινοῦ τῶν θεωρημάτων,
ὦ τῆς εὐφραδείας τοῦ μελισταγοῦς. γράφε τοίνυν, μὴ κατοκνήσῃ, λειψις
γὰρ ἡμῖν γελώτων ἐστίν, ἵνα διὰ τῶν σῶν ἀρίστων γραφῶν τὸν τοῦ
καιροῦ καύσωνα διαφεύγωμεν. ὑπὲρ γὰρ τοὺς ἐξ ἀέρος παγετοὺς τῇ
γῇ γινομένους ἐν ταῖς τροπαῖς ἡμᾶς αἱ σαὶ γραφαὶ καταψύχουσιν ὀδυ-
νωμένους ἐν τῇ φλογὶ ταύτῃ τῆς εὐφραδείας, ἣν παύσαις στρατηγίαν
καὶ κρίσιν ἀναζωσάμενος σὺν τῇ συνούσῃ σοι εὐηθείᾳ, Δημήτριε Ἰα-
τρόπουλε.

Argumentum. *' Tuum canona valde mirati sumus, sed versus heroicus tibi adhibendus est; scribe, quaeso, ut risum nobis praebeas et in tanto aestu nos aliquantum refrigeres '.*

10. *κατοκνήσῃ* scripsi: *κατοκνῆς* F.

XIX

AD CLIDAM CYZICI METROPOLITAM

Vind. 321 f. 68r Τοῦ αὐτοῦ πρὸς τὸν μητροπολίτην Κυζίκου τὸν Κλειδᾶν μετὰ τὴν τῆς βασιλείας ἐντελέχειαν.

(CXLI) Προθυμία καὶ ζῆλος, τὸ μὲν τῶν ἐγκωμαστῶν, τὸ δὲ προαιρέσεως καὶ συν<ει>δήσεως ἔνδειξις. ἀλλ' ἐκ τῶν σοφωτάτων τε καὶ θείων ἀνδρῶν, ὧν ἡ φήμη τε καὶ τὸ κλέος περὶ πᾶσαν χθόνα διεξεχύθη, καὶ τὸ τῆς σοφίας ἀκλινὲς πρὸς τὰ χείριστα καὶ πᾶν, ὅπερ ἐστὶ σοφὸν ἐν καλῷ καὶ καλὸν ἐν σοφῷ διὰ τὸ ἀντίστροφον. τίς πρὸς ἡμᾶς λόγους ὀψέ που ῥητορικοῖς καὶ φιλοσόφοις ὅπως δήποτε κεκαλλωπισμένους τοῖς θεωρήμασι μητρὸς ὑπεράγνου Θεοῦ, τοῦ μόνου καὶ τῶν ἀσόφων διορθωτοῦ κατὰ σοφίαν τὴν ἀνωτάτω, ἐπῄνεσε, καὶ ἐπαίνους ἡρῴου ἀνδρὸς ἡρῴᾳ συγκρίσει πρός τινος ἡρῷον λογικὸν παραβάλλων ἡμᾶς;
f. 68v ὦ μέγα κάρα λόγῳ Θεοῦ, τί ἂν σοι αἱ δουλίδες | μαθηματικὴ καὶ φιλοσοφία πρὸς τὴν γῆν ἐξεπέμφθησαν; μήτοι γε τοῖς μὴ τοῖς αὐτῶν ἐντεθραμμένοις λήμμασι βοηθεῖν; οὐκ ἔστι. καὶ τί ἄρα ὁ Κυζίκου πολλά

---

* Argumentum. ' *Laudes meas cum irrisione episcopi miscuisti, quem hercle mirandum duco propter multifariam calliditatem et lucri cupidam doctrinam!* '

2. lacunam explevi; cfr. quae adnotavi ad epist. XLII, 21. ‖ 6. πῶς δέποτε V. ‖ 9. ἥρωον V.

μοι λέγει; συγκρίνει γὰρ τὰ μὴ δεχόμενα σύγκρισιν. βάσκανε γλῶττα, τί λέγεις; ψέγεις τὸν ἱερέα; οὐκ οἶδας, ὅτι οὗτος θεῖος καὶ ἱερός; οὐκ οἶδας, ὅτι γε τοῖς θείοις σοφός; οὐκ οἶδας, ὅτι γε θεοπρεπής; οὐκ οἶδας, ὅτι πολιτικός; οὐχ, ὅτι καὶ οἰκονομικός; καίτοιγε καὶ κοινωνικός, εἴπερ τε καὶ συμβουλευτικός, ὡς δεῖ, καὶ δημηγορικός, οὐράνιός <τε> καὶ ἐπάγειος, βύθιος καὶ μεσαίτατος, ὅλος δι' ὅλου καὶ περὶ τὸν ἀέρατε καὶ τὴν χθόνα, πάντα ἐν πᾶσι καὶ πάντων ἐκμαγεῖον· οὔτε μὴν κατ' ἄρσιν καὶ θέσιν, οὔτε δὲ καθ' ὑπόκρισιν· ἀλλὰ πρὸς τούτοις ἐστὶ καὶ ῥήτωρ, ῥήτωρ γλυκοεπής, ῥήτωρ ὁ εὐφραδέστατος, ῥήτωρ πολύχους, ῥήτωρ τοῦ ἤθους, τῆς γοργότητος, τῆς σεμνότητος, καὶ τί λέγω; ῥήτωρ Ἑρμογένους ἰσόρροπος. ἀλλὰ δὴ καὶ ὀργανικός· φέρει γὰρ ἐν μίξεσι τὰς ἀντιστροφὰς τῶν συλλογισμῶν καὶ ποικίλλει τὰ σχήματα καὶ ἀλλάσσει τὰς προτάσεις ἐν ταῖς στροφαῖς καὶ συνάγει τὰ συμπεράσματα. ἐντεῦθεν καὶ γεωμέτρης φιλοσοφώτατος· αἴρει γὰρ τὰς γραμμὰς καὶ τίθησι τὰ σχήματα πρὸς τὰς γνώμας καὶ ἐξισάζει τὰς ἐπιστήμας, καὶ κατὰ τὴν τῶν ἐπιστημῶν ἕξιν ποιεῖται καὶ τὰς συγκρίσεις. μουσικὸς δὲ οἷος· ὡς οὗτος καλῶς ἠχεῖ τὰς φωνὰς τὰς λογικωτάτας· ἐν γὰρ τῷ τῆς γνώσεως διατονίῳ τὸν τῆς ἀγνωσίας τόνον ἰσάζει καὶ ἀντιστρόφως τῆς Ἀριστοξένου καὶ Πυθαγόρου ἴσα κατὰ τὸν τῆς διαιρέσεως λόγον τὰ ἕνδεκα τοῖς δέκα ποιεῖ τῷ πρώτῳ ἐντόνῳ διατονίῳ δωρούμενος τὸ ἀνάλογον. ἔστι δὲ καὶ τὰ μάλιστα ἀστρονομικός· ἔχει γὰρ τὸν θρόνον παρὰ τὴν θάλασσαν κ<αὶ> τὰς ναυτιλίας ὁρᾷ καὶ τὰς ὁδοὺς τῶν νηῶν προορᾷ καὶ τὰς ὑψώσεις τῶν ἀστέρων καὶ ταπεινώσεις καὶ τὰς ἐν τοῖς ζῳδίοις προσφυεῖς καταλήξεις, καὶ διὰ ταῦτα σοφῶς καὶ σαφῶς τῆς τέχνης ταύτης κρατεῖ. ἀλλ' ἀριθμεῖ γε πῶς δεῖ καὶ τοὺς ὀβολοὺς καὶ τοὺς πρὸς τέτρασιν ἑκατὸν τῆς λαχούσης αὐτῷ πρὸς δὶς ἑκατὸν μετατίθησιν ἄριστα καὶ αἰτήσεις αἰτεῖ, ἃς δὴ συναγωγῆς γεννήματα τοῦ καλλίστου χρυσοῦ ἐμοιγε ἔδοξεν εἶναι· καὶ τοῦτο δὴ διὰ τὸν τῆς Ἐκκλησίας κόσμον θειότατον. ποιητικεύεται δὲ πῶς ἂν εἴπω; ὥς πού τις Ὀρφεὺς ἢ καὶ Πίνδαρος λυρικός, καὶ τοῦτο ἐν μέσῳ τῆς συνόδου διὰ τὴν ἔξοδον· καὶ ἰατρικῶς τοὺς λόγους | προχέει ἀνιμώμενος τὸ βαρὺ τῆς ὕλης ἐκ τῶν ἐχόντων. γραμματικός, καὶ τίς ἂν εἴπῃ τὰς ἐθελοντὶ μεταπτώσεις αὐτοῦ; οὐ χρὴ γὰρ λέγειν f. 69r

17. τε om., sed οὐράνιός ita V. || 24 sq. ποικίλει et ἀλάσσει V. || 34. περὶ et ναυτιλείας V. || 34 sq. τοὺς ὁδοὺς V. || 36. προσφυοῖς V. || 37. πῶς] malim ὡς: cfr. 17. || 43. τὸ ἔξοδον V.

τὰς παρὰ θέλησιν· καὶ νόμων ὑπερμαχεῖ καὶ πάντων πᾶσιν ὑπεραπολογεῖται κατὰ προαίρεσιν· ἐντεῦθεν ἐπαινετὸς ὁ τοιοῦτος, ὅτι καὶ τὰς συγκρίσεις ἀρίστως ἡμῖν ἐφιλοτιμήσατο τοὺς ἡμῶν λόγους παραβάλλων πρὸς τοὺς τοῦ Γερμανοῦ, καὶ τοῦτο διὰ τὴν συνοῦσαν τούτῳ ἁπλότητα. ἀλλ' ὦ καλοκἀγαθίας ἀνερ μεστέ, σὺ μὲν σκοτοδινιάσεις ἀναγνούς μου τὸ γράμμα, τοὺς ἐμοὺς δὲ νοεροὺς καὶ σωματικοὺς ὀφθαλμοὺς ἡ τῆς Θεομήτορος χάρις κινηθεῖσα τῷ λόγῳ, ὃν δὴ πρὸς αὐτὴν ἐκ καρδίας ἀνεγραψάμην, χαριτώσει νῷ καὶ ψυχῇ καὶ πᾶσι τοῖς κατ' αἴσθησιν κατὰ πνεῦμα διάνοιαν, λογιότητα, νοερότητα καὶ θειότητα. τούτων οὕτως ἐχόντων, τὴν κρίσιν καὶ γνῶσιν τῶν λόγων καὶ κρῖνε καὶ στέργε καὶ τὰς συγκρίσεις τῇ καταλλήλῳ φύσει τὸ συγκρινόμενον συγκρίνων καὶ σύγκρινον.

XIX

AD ALEXANDRUM IV PAPAM

Τοῦ αὐτοῦ ἐπιστολὴ πρὸς τὸν κυρὸν Ἀλέξανδρον Δ' πάπαν Ῥώμης μετὰ τὴν < τῆς > βασιλείας ἐντελέχειαν· Vind. 321 f. 70r

Τῶν αἰτημάτων ἡ χάρις πρὸς τοὺς τελοῦντας ταῦτα διαβιβάζεται καὶ ἡ ἀντιστροφὴ ἡ τῶν ἀντιδόσεων πρὸς τοὺς ἀποπληροῦντας ἐκ τῶν αἰτούντων περαίνεται· καὶ ταῦτα σαφέστατα. καὶ φυτοῦ δὲ ῥίζα καὶ κλάδοι καὶ στέλεχοι σοφωτάτῳ φυτηκομούμενοι γεωργῷ ἐν καιρῷ τοὺς καρποὺς ἀντιμίσθωμα τούτῳ φέρουσι, καὶ παντὶ δὲ τῷ κατὰ τὸ συμφέρον ἐργαζομένῳ τὸ ἀγαθὸν αἱ ἀνταμείψεις ἐκ τῶν ἀμειβομένων ἀντανακλῶνται· καὶ τοῦτο τῆς χάριτος. ἀλλὰ τίς ἂν τὴν χάριν ἀπονέμῃ πρὸς ἄψυχα ἢ γε πρὸς ἀρχὰς καὶ πρὸς ἐξουσίας ἀνθρώπινον ἀνθελκόμενος δοξασμόν, καὶ οὐ ταῦτα μὲν παραθεωρήσει, τὴν χάριν δὲ διαβιβάσει πρὸς τὴν ὑπεροχήν; ὑπεροχὴν δὲ λέγω τὴν ὑπεροχὴν τῆς σῆς πολλῆς Ἁγιότητος. εἰ δὲ καὶ βασιλεὺς ὁ τὰς χάριτας ἐκτελῶν, ἁρμοδιώτατον αὐτῷ τὸ ἐκτελεῖν αὐτὰς ἐπὶ σοί. εἰ δὲ καὶ λόγου μέτοχος μάλιστα <ὁ> πρὸς σὲ προσνέμων ταύτας, ἀπὸ σοῦ τοὺς ἐπαίνους I (CXLII)

Tit. 2. *τῆς* addidi; om. V.

I. Argumentum. '*Te intercedente libentissime captivum in libertatem vindicavimus; cuius rei mercedem tuas ad Deum pro nobis preces grato animo feremus*'.

10. *διαβιβάσει* scripsi: *διαβάσει* V. || 13. ὁ addidi.

εὕρῃ τὰ μάλιστα, ἀνταμείψεις ὁπόσας, εὐχὰς ὦ οἵας καί, τὸ μεῖζον, υἱικὴν καὶ πατρικὴν γνησιότητα. ταῦτα καλῶς εἰδότες καὶ μεμαθηκότες ἕξει τῆς ἐπιστήμης ἡμῶν, τῶν σῶν αἰτημάτων τὰ τέλη ἐπερατώσαμεν, τὸν δεῖνα πρὸς τὰ ἴδια στείλαντες, τῆς σῆς εὐχῆς τὸ λύτρον λαβόμενοι κατ' ἐνσάρκων καὶ ἀσάρκων ἐχθρῶν ἀμυντήριον, ἱερώτατον δόμα, ἀνάθημα πατρικόν, εὐχῆς ἀρίστης ταινίωμα καὶ πάντων τῶν κατ' αἴσθησιν ἄμαχον καὶ ἀκράδαντον φυλακτήριον. τὰ δ' ἄλλα τί χρὴ λέγειν; αἰτήσαις ὁ ἁγιώτατος ἀφ' ἡμῶν ἀεὶ μὲν αὐτός, ἡμᾶς δὲ τελεῖν εὔχου αὐτὰ καὶ τὰς ἀντιμισθίας τῶν ἑκατέρων μερῶν, ἃς δὴ λέγω πατρικάς τε καὶ υἱικάς, ἐπισφραγίζεσθαι θείῳ πρὸς Θεὸν ἱλάσκοις τῷ πνεύματι· τοῦτο γὰρ ἡμῖν ἐν λόγοις, ἐν ἔργοις, ἐν πράξεσι σφραγὶς τοῦ πρωτοτύπου ἀμετακίνητος.

f. 70v *Τοῦ αὐτοῦ πρὸς τὸν αὐτὸν ἁγιώτατον πάπαν Ῥώμης κυρὸν Ἀλέξανδρον μετὰ τὴν τῆς βασιλείας ἐντελέχειαν.*

11 (CXLIII) *Τῷ ἁγιωτάτῳ τιμιωτάτῳ μακαριωτάτῳ πάπᾳ τῆς πρεσβυτέρας Ῥώμης κυρῷ Ἀλεξάνδρῳ τῷ μεγάλῳ ἀρχιερεῖ τοῦ ἀποστολικοῦ θρόνου Θεόδωρος ἐν Χριστῷ τῷ Θεῷ πιστὸς βασιλεὺς καὶ αὐτοκράτωρ Ῥωμαίων Δούκας ὁ Λάσκαρις χαιρετισμὸν καὶ εὐχῶν αἰτησιν.*

Ἔστιν ἐν τισί τι, ὅπερ ἐν τινι οὔ. ἐν ἡμῖν γὰρ ποικιλία πολλὴ καὶ διαιρεσις ἰδιότησι καὶ μερισμοὶ καὶ ἤθη καὶ πράγματα καὶ θελημάτων περιέχεια, καὶ ταῦτα πάντα τῷ μικτῷ καὶ τῷ οὐ μικτῷ· πάντες γὰρ μικτοὶ τῇ φύσει καὶ τοῖς ἰδιώμασιν ἀπ' ἀλλήλων κεχωρισμένοι. οἷον ἆρ' ἐπισκεπτέον τὸ ἑνοῦν, ἢ καὶ μή. ἐκεῖνο τοίνυν εἰρήνης· καὶ τίς οὐ ταύτης διὰ τὴν εἰρήνην, Χριστόν; ἐγὼ γὰρ ὑπεραναβὰς τῆς αἰσθήσεως, Τριάδος ὁρῶ τὴν εἰρήνην, ὅτι οὐκ ἔστιν ἐν τῇ Τριάδι εἰρήνη· οὕτω γάρ ἐστιν,

---

17. ἴδι°/ V.

II. Argumentum. ' *Pacis magna spes nobis et magnum desiderium est. Oportet tamen huc veniant viri a Deo afflati qui differentias et bene cernant et apte componant. Tu igitur, qua es doctrina et sanctitate, cura ut haec fiant* '.

2. ἀλ,εω' pro ἀλεξάνδρῳ V. ‖ 6. ἔν τισι τί V. ‖ 8. ante pr. μικτῷ del. οὐ V.

ὅτι οὐκ ἔστιν. εἰ γὰρ ἐστιν, οὐκ ἔστιν· ὅτι δὲ οὐκ ἔστιν, ἐστίν. ἐν τῇ Τριάδι ἄρα εἰρήνη, ὅτι οὐκ ἔστιν εἰρήνη. ἐκεῖθεν δὲ πρὸς τοὺς ἐκ τῆς εἰρήνης διὰ τῆς εἰρήνης ὄντας εἰρήνη οὐκ ἔστιν, ὅτι ἔστιν εἰρήνη. ὅρα τοίνυν ὁ τῆς εἰρήνης μαθητής, ἀγιώτατε, ὅτι ἔστιν ἔν τινί τι· οὐ γὰρ διαφορὰ τοῦ ἔστιν ἀλλὰ τοῦ ἔν τινι. εἰρήνη κοινόν· | εἰ δὲ πρὸς τὰ μέρη f. 71r
τῆς ὕλης καὶ τὸ διάφορον, οὐ τῆς ἀνωτάτω εἰρήνης ταὐτό. ἡ γὰρ ἰδιότης ἀλληλουχουμένη ταῖς κατ' οὐσίαν ἐπιτηδειότησι τὸ ἔν τινι κοινὸν ἔν τισι διαστέλλει καὶ δίδωσι κατὰ φύσιν τὸ ἔστι τι ἔν τινι, τοῦτο γὰρ διαστέλλει· ἐντεῦθεν καὶ ἡ γνῶσις τῶν τινῶν πρός τι τῇ ἰδιότητι φαίνεται. σὴ ἰδιότης εἰρήνης καρπός, καὶ ἔστιν ἔν τισι διάφορος. ὁ γὰρ ἐμὸς πατριάρχης εἰρήνην διδάσκει, ὅτι τῆς εἰρήνης ἐστί. σὺ γὰρ ἄρχεις πολλῶν πατέρων· ἐγὼ δὲ τοῖς πατράσι κατὰ θειότητα ἕπομαι. ὁ γὰρ οἰκουμενικὸς ἐν ἐμοί, καὶ διδάσκει με τὴν εἰρήνην· καὶ πῶς οὐκ ἀκούσομαι; χεῖρας αἴρει ὁσίας τὰ διεστῶτα συνάψαι, καὶ σπεύδω τούτου ἐν τῷ θελήματι, ὅτι τὴν εἰρήνην εὐαγγελίζεται. τοὺς λύχνους ὑμᾶς τῆς Ἐκκλησίας Χριστοῦ προσκαλοῦμαι τῇ συνδρομῇ, τὴν χάριν τῆς χάριτος καὶ τὸ στερέμνιον τὸ τῆς διδαχῆς, τοὺς ἰσορρόπους Πέτρῳ καὶ Ἰωάννῃ· γονυκλινῶ πρὸς τοὺς ἑκατέρους· τὸν οἰκτον αἰτῶ, τὸ φιλόκαλον προσκαλοῦμαι. τοὺς τῆς Ἐκκλησίας γοργούς τε κλύζοντας, ὑμᾶς, ὀφθαλμοὺς τὴν ἀληθινὴν φαῦσιν ἐνοπτρισθῆναι αἰτῶ. ἑτοίμως ἔχω πρὸς τὴν ἀλήθειαν· δοθήτω μὲν ἡ κρίσις τῇ κρίσει, τῇ ἀληθείᾳ τὸ ἀληθές, ἡ πρᾶξις τῷ ἐν λόγῳ τῆς πράξεως, ἡ θεωρίᾳ τῇ πατρικῇ εὐγενείᾳ. εἰσαχθήτω νόμος κοινός, γραμμῆς τὸ εὐθές, ἰσότης τῶν μὴ ταὐτόν, τὸ ἔν τινί τι, τὸ κατάλληλον νεμηθήτω, ἡ δύναμις ἐπερχέσθω, ἡ κρίσις τῷ διακρίνειν εἰδότι, τὸ κοινὸν τεθήτω τοῖς ἄρχουσι καὶ τὸ φανερὸν ἐκλαμψάτω, καὶ τὸ σκοτεινὸν ἐξοστρακιζέσθω. φρίκη θαλάσσης δείκνυσι χρῶμα σελήνης ὑπὸ τῶν νεφελῶν ὑποκρυπτομένης σκιᾷ, ὑπὸ τῆς πυκνότητος τῶν ἐπιπεσουσῶν νεφελῶν χρωματικοὶ κύκλοι ταὐτὸν φαίνονται, ἐρίων πόκοι δηλοῦσιν ἀνέμους, ὁτὲ δὲ χειμῶνας, ξηρότητας αἱ λειότητες, τοῦ ἐλλιμνάζοντος οἱ ἀτμοί, καθὼς ἐφιλοσόφησαν οἱ φιλόσοφοι, αἰθρία δὲ φωσφόρου αὐγάσματος ἐκεῖνα μὲν λύει, ἐκεῖνα δὲ ἐνθερμαίνει, σκεδάζει τινά, διασπείρει τὰ ἑκάτερα τὴν ζεφύρου χάριν εἰσάγουσα. εἰσαχθήτω τοίνυν ἡμῖν ἡ τοῦ ἀληθινοῦ ἡλίου Χριστοῦ λαμπηδὼν ἡ ἀείζωος. ἐκ τῆς ἀνατολῆς ἡ αὐγή· ὁ γὰρ

16. ἔν τινι τί V. || 32. sc. ὀφθαλμοὺς τὴν ἀλ. φαῦσιν κλύζοντας. || 36. ἔν τινι τί V.

κοσμικὸς γίγας τὰς ἀκτῖνας ἐξαποστέλλει, καὶ τίς οὐκ ὄψεται; ἐγὼ δὲ ἐν Πνεύματι Ἁγίῳ τὴν ἐλπίδα λαβὼν μεσεμβολῶ τῇ πείρᾳ εἰρηνεῦσαι τὰ διεστῶτα, οὐ πολὺ γὰρ τὸ μέσον, εἴπερ ἰσχυρογνώμων τῶν θεωρημάτων σταλῇ. ἕκαστος τῶν γνωμόνων καὶ γὰρ τῷ δεδομένῳ | 50
f. 71v κινεῖται, Εὐκλείδης ἐξέθετο. σὺ τοίνυν πρὸς τοὺς λόγους, ἁγιώτατε, σοφώτατε, ἀξιεύφημε, ἀξιέραστε, πολύκλειτε, πολύζηλε, παμμέγιστε, ὡς ἀκρότης τε καὶ μεσότης τῆς ἀρετῆς, οἰκονόμησον.

ποστέ
47. ἐξανατέλλει V. ‖ 48. πειρα V.

XX

AD RICHARDUM CARDINALEM

Τοῦ αὐτοῦ πρὸς τὸν καρδινάλιον Ῥικάρδον Vind. 321 f. 70r

Τὸ γράμμα βραχύ, ἡ δὲ τοῦ πνεύματος ζέσις ζέει τὰ μάλιστα καὶ I
διὰ ταῦτα κινήσασα τὴν φιλίαν ἐξ ἡμῶν τὰς αἰτήσεις ἀνιμᾶσθαι συν- (CXLIV)
εφειλκύσατο φυσικῶς, εἰδυῖα καλῶς ἐκ τῶν καταλλήλων μετ' ἀλλήλων,
ἐπεί τοί γε γεηρὸς ὁ βροτός, τὰς δυνάμεις ἐπαναφέρειν. ἀλλ' ἐξ ἡμῶν
τί ἂν ἠτήσω, σοφώτατε; πάντως τόν, ὃν δὴ κατὰ γεηρὰν ἐνασχολού-
μενον ἀχρηστίαν | πρὸς εἱρκτὴν ἀχρήστως ἐγκείμενον. πολέμου γὰρ f. 70v
αὐτὸς παρανάλωμα, οὐχ ὑπὲρ τῆς πατρίδος ἀγωνιζόμενος, οὐχὶ τῆς
ἀσεβείας ἀντιμαχόμενος, οὐ περὶ τῆς ἀληθείας ἐκπολεμίζων, οὐδὲ περὶ
τῆς εἰρήνης σφαττόμενος, ἐχθρας δὲ προϊστάμενος καὶ ἀμίλλης μυ-
σαρᾶς βδελυρᾶς. ἀλλὰ τίνι τρόπῳ ἐκείνου μὲν τὸν τρόπον προσήξα-
μεν, τοῦ δὲ αἰτοῦντος αὐτὸν τὴν χάριν ἐκρύψαμεν; ἀνόμοιον πρὸς
ὑμᾶς, ὅτι τῆς φιλοσοφίας ἡμεῖς, ἀλλά γε φιλόσοφοι πέλοντες, τὸν μὲν
τῆς εἱρκτῆς ἀδέσμευτον πεποιήκαμεν, τὴν δὲ χάριν σοι προσενείμαμεν

Tit. καδδινάλιον V, quod amplius non adnotabo; nusquam enim aliter in hoc codice hoc verbum scriptum inveni.

I. Argumentum. *' Tuis precibus victi captivum ex vinculis liberavimus quamvis nostra clementia parum ille sit dignus '.*

3. ἀλλήλων scripsi: ἄλλων V. ‖ 5. ἠτήσω corr. ex ἠτήσω V. ‖ 10. βδελυρᾶς bis exhibet V. ‖ 13. προσένειμαμεν (sic) V.

καὶ τοῦτο διὰ τὸ ἱερατεῖον τὸ σόν· ἐξ οὗπερ τὰς εὐχὰς ὡς ἀνταμείψεις δεχόμενοι πρὸς τὸν θυμὸν τὴν εὐθυμίαν διαβιβάζομεν, ἄριστε, δεξιώτατε, ἀξιοθαύμαστε, σεβασμιώτατε καρδινάλιε.

f. 311r

τοῦ αὐτοῦ πρὸς τὸν καρδινάλιον Ῥικάρδον

II. (CXLV)

Ἑκάστη τῶν ἐπιστημῶν ἰδίαν ἔχει ἀρχήν, δι' ἧς ἀνάγει πρὸς τὸν σκοπὸν τῶν λόγων τὴν δύναμιν, καὶ διὰ τῶν ἐπαγομένων ἐν τῇ ἀρχῇ εἰς θειότητος ἄλλης μετάγει δύναμιν· καὶ ταῦτα τοῦ πρωτουργοῦ σοφίας ἁπάσης, εἴ γε καὶ συντάξαντος ἐπιστήμας, τεχνάσματα. ἡ μὲν γὰρ τῶν ἐπιστημῶν τὸ μέτοχον ἔχει δύναμιν πλατυσμοῦ, καὶ συνάγει τῇ στάσει τὰ ἐν τῇ πολιτείᾳ πρὸς τὸ κριτήριον διατετορευμέναις λέξεσι τῶν ἐνθυμημάτων τὴν καλλιέπειαν ἀπαρτίζουσα· ἑτέρα τὰς ἐν τῇ φύσει ἀρχὰς εἰς ἑαυτὴν συνίστησιν ὡς ἀρχάς, τὸ κοινὸν τῆς ὁλότητος περιέχουσα τῇ τῶν μερικῶν παραβλέψει καὶ διὰ τῆς ἐμμέσου θέσεως τῶν γνωμῶν φυσικευομένη τὰ ἐν τῇ φύσει πρὸς ἀξίωσιν ἄγουσα τοὺς
f. 311v τῶν θεωρημάτων τέχνης καὶ ἐπιστήμης ἁπάσης λόγους ἐντέχνως | καὶ ἐπιστημονικῶς εἰς ἑαυτὴν ἀναφέρουσα· ἄλλη τῷ ποσῷ ἑαυτὴν καὶ ἄλλην συνίστησι, διαλλήλως ὡς ἐκείνην ἐκείνῳ, διὰ ταύτης ἐκείνῳ, ἧς ἄτερ οὐ θεωρία τοῖς συνισταμένοις γενήσεται, θατέρα τῷ πρὸς λέξιν κεκινημένῳ ποσῷ ἢ μᾶλλον τὸ θεώρημα κινούμενον ἔχουσα ἀρχὴν ἀληθῶς ἐγγιστά πως ἐργάζεται τὰ μυστήρια τῆς ἀληθείας θεοειδῶς, θατέρα τεχνολογεῖ διὰ τῆς εὑρέσεως τὸν λογισμόν· ἄλλη τὴν φυσικὴν λαμβάνουσα περαίνει προγνώσει, διαίτῃ, θεραπείᾳ, τομικῇ καὶ πλείοσι πολύ. ἑξῆς ἑτέρα τὴν μᾶλλον ὁρμὴν τῆς φύσεως ἔχουσα ἐκ ταύτης νομοθετεῖ. πρὸς ταῦτα καὶ ἡ γραμματικὴ τὴν συνήθειαν ἑκάστη πασῶν τῇ ἰδίᾳ ἀρχῇ τὸ ἑδραῖον ἀπολαμβάνουσα, πᾶσαι τῇ ἀρχῇ ἀναφέρονται· ἡ γὰρ ἀρχὴ ἑκάστης αὐτῶν αὐταῖς τὴν δύναμιν δίδωσιν. ὅθεν ἄρα πᾶς ὁ ἐπιστήμων ὁρμᾷ; ὅθεν δίδωσιν ἡ ἀρχή, ἢ ὅθεν οὐ δίδωσι; τὸ δεύτερον μάταιον· ἀλλ' ἐπιστήμονος τὸ σοφὸν καὶ τοῦ ἀτέχνου τὸ μὴ

---

15. δεχόμενοι] δεξ inchoaverat, inde litteras εξ delevit, ε supra scripsit librarius codicis V.

II. Argumentum. ' *Unde theologicae doctrinae principium sumendum?* '

9. θέσεως corr. ex θῶσεως, ut vid., V. || 18. προγνώσει corr. ex πρὸς γνώσει V.

τῆς ἐπιστήμης ἐστὶ καὶ ὅσον τῆς ἀνωτάτω πρὸς τὸν σκοπόν, καὶ ὅσον πρὸς τὴν ἕξιν καὶ τὰ ἕξης. τίς ἄρα διὰ ταῦτα τὸ γλαφυρὸν τῆς θεολογίας κοινώσει ἁπλῶς καὶ θήσει τὰς ἀνευρέτους ἀρχὰς εἰς τὸ ῥᾴδιον καὶ θεολογήσει κοινῶς; εἴπερ ἐπιστήμης ἐστί, τοῦτο γὰρ τοῦ ἀδυνάτου ἐγγύς· εἰ μὲν γὰρ ἑλληνικῶς, οὐ θεολογεῖ, ὅτι αἱ ἀρχαὶ σαθραὶ καὶ ἀνίσχυροι. εἰ δὲ θείως, μὴ πειράζῃ θεολογῶν· Θεὸς γὰρ ἀπείραστος κατὰ φύσιν· καὶ τίς ἡ ἐξέτασις; ἀρχὴ τοίνυν τὸ λέγειν περὶ Θεοῦ τὸ ἀπείραστον, καὶ τὸ μὴ οὐκ ἀρχή. πῶς γὰρ ἴδῃ τις ὅπερ οὐ θεωρεῖ; γνώσει; καὶ πῶς ἡ γνῶσις ἐν ὕλῃ τὸν μὴ ἐν ὕλῃ κοινὸν ὄντα; οὐ γὰρ ὡς κοινὸς ἐν τῇ ὕλῃ Θεός, ἀλλ' ὡς ἄλλος ἐν ἄλλῃ δεσποτικῶς. ἔστι γὰρ ὅτε τὸ *A* τῷ *B*, ἔστι δὲ καὶ ἀεὶ τὸ *A* τῷ *B*· πότερον οὕτως ὡς τὸ πρῶτον ἐν ὕλῃ Θεός; ἄτοπον. τὸ γὰρ ὅτε τὸ *A* τῷ *B* θεωρηθήσεται, ἐπεί τοί γε ὅτε· τὸ δὲ ἀεὶ οὔ. ὥστε ἔστι μὲν ὡς, ἔστι δ' ὡς οὔ. ἐγὼ δὲ πῶς ἴδω τὸν ὂν ἀεὶ ἐν τῇ ὕλῃ μὴ ἔν τινι θεωρῶν. ἔστι γὰρ καὶ οὐκ ἔστιν ὅτι παρ' ἐκείνῳ, ἀλλ' οὐ παρ' ἐμοὶ τὸ ἔστι κέκτηται. ἐμοὶ δὲ μόνον ἐδόθη γνῶσις νοεῖν, ὅτι ἔστιν ἀεὶ διὰ τῶν διόλου ἐν ὅλοις καὶ συνεχῶς. καὶ ἔστιν ὡς οὐκ οἶδεν ὁ δοῦλος τὰ τοῦ δεσπότου. ἆρα τὸ τῆς θεολογίας κεφάλαιον πάντων τῶν ἄλλων μυστηρίων ἀσύγκριτον, ὅπερ δὴ καὶ ἀσύναπτον ἄλλοις κρίμασι· διὰ τοῦτο καὶ ἀνευρέτους κέκτηται τὰς ἀρχάς, θεῖον ὂν καὶ ὑπὲρ τὸ θεῖον ἁγίων ὑπεράγιον οὐρανίων ὑπερουράνιον ὑπερφυὲς ὑπερούσιον ἄγνωστον καὶ γνωστόν, ἀκατάληπτον καὶ ληπτόν, ἐκ μέρους καὶ τῆς ὁλότητος πόρρωθεν. πῶς ἄρα διὰ ταῦτα θεολογήσει τις, εἴπερ γε . . . .

30. ἀνίσχυραι V. || 44. ἀνευρέτους scripsi: ἀνερέτους V. || 47. cetera desunt.

XXI

AD OCTAVIANUM CARDINALEM

Vind. 321 f. 70v

Τοῦ αὐτοῦ πρὸς τὸν καρδινάλιον 'Οτταβιανον ἐπι<στολή>

(CXLVI) *Σὺ μὲν ἠτήσω· ἐμοὶ δὲ τί ἂν ἐγεγόνει τὸ γεγονός; πάντως δὴ τῶν σῶν αἰτημάτων ἡ ἐκπεράτωσις. ἐκτετελέκαμεν τὸ γραφέν, πρὸς τέλος ἤξαμεν τὸ ῥηθέν. τοῦ δεσμοῦ τὸν δεσμώτην ἀπεδεσμήσαμεν διὰ σέ, καὶ τοῦτο αὐτὸ διὰ τὴν σὴν ἀγάπην καὶ τὸν λόγον τὸ γεγονός. ὅταν δὲ διὰ Θεὸν καὶ πρὸς τὸν Θεὸν καὶ παρὰ Θεοῦ πρὸς ἡμᾶς αἰτήσῃ, κατὰ τὸν ἴσον κανόνα τοῦτο γενήσεται. καὶ θάρρει τῷ λόγῳ καὶ μὴ ὑποστέλλου ἐν ταῖς αἰτήσεσι, σοφὸς πέλων καὶ ἐκ σοφοῦ βασιλέως δόματα διὰ Θεοῦ ἐκζητῶν, ἐνάρετε, τιμιώτατε, εὐπρεπέστατε καρδινάλιε.*

Argumentum. *'Captivum ex vinculis emisimus te rogante. Si quid vis, confidenter a me pete'.*

5 sq. *αἰτήσεις* V.

XXII

AD PETRUM CARDINALEM

Τοῦ αὐτοῦ πρὸς τὸν καρδινάλιον κυρὸν Πέτρον τὸν Καποῦτζον

Vind. 321 f. 71v

(CXLVII) *Γράφουσιν οἱ τῆς χειροσκοπικῆς πραγματείας τὰς προγνώσεις διὰ γραμμῶν, τὸ ἄδηλον ἀδήλως ἐμφαίνοντες, καὶ οἱ τῆς ὀδοσκοπίας ἐκ τῶν ἐν τῇ ὁδῷ συμβαινόντων ἐμψύχων, ἀλόγων καὶ ἐλλόγων κοινῶς, καὶ τοῦτο κατ' αὐτὸ τῷ τραχεῖ καὶ λείῳ. οἱ μὲν γὰρ τὴν ἰσχὺν ὑπάρχειν τῆς ἐπιστήμης ἐκθέμενοι, οἱ δὲ τῇ τοῦ ὁδεύοντος ὥρᾳ τῆς πρώτης κινήσεως καὶ τῶν συναντημάτων τῷ διαφόρῳ τελοῦσι τὰ τέλη, ἐπιστήμῃ μᾶλλον μεμαθηκότες λατρεύειν ἢ γε δόξῃ Θεοῦ· ἡμῖν δὲ Κλωθὼ καὶ Τύχη καὶ Εἱμαρμένη καὶ Ἄτροπος, ἀτρακτός τε καὶ νήματα, Ἀάχεσίς τε καὶ Νέμεσις οὐ λατρεύεται, ἀλλὰ τὰ πάντα ἐκ τῆς ὑπερουσίου Τριάδος εἶναι γινώσκεται. καὶ ὁρμὴ δὲ διαφόρως ὁρίζεται, τοῖς φυσικοῖς λέγω τοῖς μαθηματικοῖς τε καὶ τοῖς λοιποῖς· καὶ ταῦτα ἀνθρώπινα· ἡ δὲ νῦν ὁρμὴ οὐκ ἀνθρώπινον οὔτε τῇ χειροσκοπίᾳ ἔγνωσται, οὔτε τῇ οἰκοσκοπίᾳ σεσημείωται. κίνησις γὰρ ψυχῆς εὐγενοῦς κινηθείσης τῷ Πνεύματι παρεισάγει τὰς ἀφορμάς, ἀφορμὰς τὰς*

Argumentum. *' Paci et Ecclesiae prosperitati summo fervore studemus. Tu nos hac in re sapienter adiuva '.*

2. ὀδοσκοπίας V; malim ὀδοσκοπικῆς. || 3. *ἐμψύχων, ἀλόγων* scripsi: *ἀλόγων, ἐμψύχων* V. || 4. *λείῳ* scripsi: *λύῳ* V. || 5. *μᾶλλον* ante *ἐκθέμενοι* V, quod ego ante *μεμαθηκότες* (l. 7) traieci.

θειοτάτας, καὶ ὑποδέχονται ἀρχιερεῖ τῷ μεγάλῳ. καὶ ὑμῖν τοῖς ὑφέ- 15
δροις τούτου τὰ λόγια οὐ Κάλχας μαντεύεται, ἀλλ' ἡ τοῦ Ἡσαΐου
φωνὴ περαίνεται διὰ τῆς τελειώσεως ὑμῶν, ὦ σοφώτατε. ἀνθραξ γὰρ
ὁ νοητὸς ἐν ἡμῖν ἐξάπτει τὸν πόθον καὶ κινεῖται τῆς εἰρήνης τὰ λό-
για καὶ συνδρομῇ προσκαλεῖται ὑψηλοτέρᾳ πρὸς τὰς κατασκευάς, ἵν'
ἐξ ἀνάγκης τὸ τῆς εἰρήνης δόμημα τελεσθῇ ἰσχυρόν. ἐκεῖνο γὰρ τὸ 20
πολλαῖς ἐξετασθὲν ταῖς ἐπιμελείαις τὴν ἰσχὺν καὶ ῥίζαν εὑρίσκει τοῦ
λεγομένου. διὰ τοῦτο σκοπὸν ἐγειραντες ἐξετάσεως οὐ ζητοῦμεν τὸ
ἀτελές, ἐν γὰρ τῷ ἀτελεῖ τὸ στερρὸν οὐχ ὑπάρχει, μᾶλλον δὲ τὸ τε-
λικώτατον τέλειον. τέλειον δὲ τοῖς λεγομένοις ἡ ἔτασις μετὰ τῆς σπου-
δῆς. οὔτε γὰρ ἀμελοῦντες σιωπῶμεν (πῶς γὰρ ἐξετάζομεν ὅτι;), οὔτε 25
μὴν ἀσκόπως ποθοῦμεν πράττειν, καὶ μάλιστα ἐν τοῖς θείοις λόγοις
καὶ πράγμασι. Τραιανὸς εἰρήσθω ὅτι γυναικὸς κρίσει λόγων τῇ ταύτης
κρίσει τὴν ἰδίαν μεταθέμενος τῶν λόγων αὐτοῦ κρίσιν προσέμεινεν ὡς
ἐκεῖνο τετέλεκεν** ἢ τὴν τοῦ πολέμου σπουδήν. καὶ καλῶς παραθήγεις
f. 311r ἡμᾶς τοῖς χρηστοῖς | ἐν τῷ παραδείγματι. ἡμῖν δὲ τὸ σύνολον οὐκ 30
ἀναμονή, ἔρως δ' ἀκίνητος μᾶλλον καὶ ζῆλος προσαναπτόμενος κινή-
σει ψυχικῇ διὰ Πνεύματος. διὰ τοῦτο καὶ τὰς ἐξετάσεις οὐκ ἀναμονῆς
ποιούμεθα τρόπῳ, οὔτε νάρκῃ τὸ χρηστὸν τουτοὶ παραβλέπομεν ἔργον,
ἀλλὰ τοῖς ἐοικόσιν ἐτάζομεν λόγοις τὴν στερρότητα ζητοῦντες εὑρεῖν.
εἰ γὰρ καὶ Τραιανὸς κρίσει δικαίᾳ, βασιλικῇ ἐξουσίᾳ, δυναστείᾳ, πε- 35
ριουσίᾳ, πόλεων μεγίσταις οἰκοδομαῖς, πολλαὶ γὰρ ἐν ἡμῖν ἐκείνου
πόλεις θαυμασιώταται, φιλίᾳ προσώπων τινῶν, ἀρίστῃ διαγωγῇ τοσοῦ-
τον ὑπερεύρηκε κλέος, ὥστε κατὰ τὴν ἐμὴν κρίσιν ἢ καὶ τῶν πλει-
όνων τῶν τοῦ κόσμου πάντων βασιλέων εἶναι σεμνοπρεπέστερον, πό-
σην οἱ τὴν θεῖαν ταύτην ἀνοικοδομὴν τῶν δογμάτων ζητοῦντες τῆς 40
Ἐκκλησίας Χριστοῦ εὑρήσουσιν ὑπερηρμένης τιμῆς καὶ ὕψους μεγα-
λειότητα; κατάμαθον τὸ διάφορον, πόσον τὸ κάτω καὶ πόσον τὸ ἄνω
ὑπερανῴκισται, καὶ τὴν σπουδὴν μὴ κρίνῃς ἀναμονήν· σπουδὴ γὰρ
ἔχει ἡμᾶς ζήλου θείου μὴ τελεῖν τὰ θεῖα παρὰ τὸ πρέπον, ἢ τῆς εὐ-
σεβείας ὑπάρχει γέννημα· ἡ γὰρ ἀναμονὴ μετ' ἐτάσεως εἰρηνικωτάτους 45
ποιεῖ τοὺς καρπούς, καὶ τὸ ἄκαρπον τῆς ἀνεξετάστου σπουδῆς. σπεύ-
δομεν ἄρα ἐτάσει καὶ τῇ σπουδῇ, ἵνα τὸ φυτὸν τῆς εἰρήνης Χριστοῦ,

25. ὅτι = ὁτιοῦν. || 27. εἰρήσθω scripsi: εἰρήσω V. || 29. lacunam statui; μᾶλλον e. g. excidisse conicias: ceterum notissima est narratio de Traiano et vidua iustitiam implorante. || 38. καὶ V.

ὁ καλῶς ἐφυτεύθη τῇ αὐτοῦ διδαχῇ τε καὶ τοῖς παθήμασι καὶ ἐκλαδεύθη τοῖς ἀποστόλοις καὶ ἐξήνθησε τοῖς πατράσι, τῆς ἀρχαίας ἀπολαύσειε χλοερότητος καὶ τοὺς καρποὺς κυπρίσαι ὡραιοτάτους. διὰ τοῦτο σὺ θειότατος ὢν σπεῦσον ἐν τοῖς καλοῖς καθὰ καὶ τῆς βασιλείας μου ἄριστος φίλος καὶ περὶ ὧν ἐθέλεις ἐξ ἡμῶν ἀνερυθριάστως αἴτου, κύριε Πέτρε Καποῦτζε, ἀξιώτατε καρδινάλιε.

50. κυπρίσοι an κυπρίσῃ ex correctione incertum V.

XXIII

AD PHILIPPUM

Vind. 321
f. 72r

I. (CXLVIII) *. . . ἐρωμένην ὡς ἐραστής· ἐπεί τοί γε τὸ κατασκευαζόμενον σοφίας οἶκος γενήσεται, σὲ κατέχων ἐντὸς καὶ τοὺς συνηθροισμένους διὰ σέ τε καὶ διὰ σοῦ πρὸς τὴν τῆς ἀνωτάτω ἁρμονίας πλοκὴν τὴν ὑπερκειμένην φιλοσόφοις τοῖς ἀξιώμασιν.*

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

II. (CXLIX) *Ἡ δυὰς ἐκ τετράδος διαιρεθεῖσα σημαίνει, οὐκ ἀναιρεῖ τὴν τετράδα, καὶ τὸ κατὰ βραχὺ γενόμενον ἡδύτητα ἔχει, τὸ δὲ ἅπαξ κόρον καὶ ὀλιγον. ἐντεῦθεν διὰ ταῦτα ἡ διαίρεσις τῆς τετράδος. ἡ ἡμῶν δὲ δυὰς φιλίᾳ καὶ νίκῃ συνδεδεμένη τὴν τετράδα οὐ λύει τῶν ἀρετῶν, κύκλῳ δὲ μᾶλλον ἀλληλενδέτῳ τοῖς ψυχικοῖς μέρεσιν ἀνοικοδομεῖ τὴν συναρμολογήν. διὰ τοῦτο τὸ μὲν λεῖμμα τοῦ λήμματος τῇ δώσει ἐπανασώζεται, ὁ δὲ σαρκικὸς σὸς ἀδελφὸς τὰ πρὸς τὴν χρείαν εὑρήσει κατὰ*

I. Fragmentum epistulae, qua, si conicere licet, de monasterio aedificando agebatur.

II. Argumentum. *' Distantia loci minime amor noster ninuitur. Quae desideras, fratri tuo cras praesto erunt '.*

οὐκ ἀν

1. *οὐ διαιρεῖ* V. ‖ 4. *νίκῃ*] immo *νείκει*, sed confusa haec sunt etiam aliis locis, ut vix de scribae errore ambigi possit. ‖ 7. *χρειαν* V.

τὴν αὔριον ἕτοιμα. χαῖρε τοίνυν ἐν τούτοις καὶ τὰ πρὸς ὄνησιν ἡμετέραν ἐργάζου, καὶ τὰ περὶ ὧν ἔλεξας πρὸς ἡμᾶς σοφῶς οἰκονομηθήσονται. ἡμῖν γὰρ κατασκευὴ ἡ ἀλήθεια καὶ πρᾶξις τὸ ἀληθές, καὶ οἱ τὸν τόπον ἔχοντες τοῦ μεγάλου ἀρχιερέως ζητοῦσι, τελοῦσιν, ἐργάζονται τὰ τῆς ἀληθείας σοφῶς. σὺ δέ, φίλτατε Φίλιππε, ἐπαγάλλου τῇ συντρόφῳ σοφίᾳ καὶ τῶν ταύτης καρπῶν ἐντρύφα ἐν πνεύματι.

---

10 sq. *καὶ οἱ* scripsi: *οἱ καὶ* V.

XXIV

AD GEORGIUM MUZALONEM

Laur. 627 f. 1r

Ἐπιστολαὶ αὐτοκράτορος κυροῦ Θεοδώρου Δούκα τοῦ Λάσκαρι πρὸς τὸν αὐτάδελφον αὐτοῦ πρωτοσεβαστὸν καὶ πρωτοβεστιάριον καὶ μέγαν στρατοπεδάρχην κυρὸν Γεώργιον τὸν Μουζάλωνα πρὸ τῆς τῆς βασιλείας ἐντελεχείας.

I. (CL)

Γλυκύτατέ μοι Μουζάλων, ποθεινέ μου υἱέ, τῶν ὀφθαλμῶν μου τὸ γλύκιον, τῆς ψυχῆς μου ἐντρύφημα, τὸ κάλλιστον ἐμοὶ παρηγόρημα, εἴθε καλῶς κἀγαθῶς σε ὀδεύειν ἀκούομι ἐν χαρᾷ τῆς καρδίας, κἂν ἀθυμῶ, ἐν εὐρωστίᾳ σώματος, κἂν χαλαρώτερον βαίνω, ἐν παντελεῖ ἡδονῇ, κἂν ἐγὼ τῇ ἀποδημίᾳ σου λυπῶμαι τὰ μάλιστα. ἀλλά γε μετὰ μικρὸν ταῖς συνεχέσιν ἀγγελίαις [αἷς] τὸ τῆς σῆς ὑγείας ἐντελὲς βεβαιωθείς, ἡδυνθεὶς ᾄσω καὶ χερσὶ καὶ κόμαισι καὶ ποδῶν βάσει τῷ Χριστῷ τῷ τὴν σὴν εἰλικρινῆ ὑγείαν δόμα δόντι μοι ἀναφαίρετον καὶ δ τῶν ἄλλων πάντων κρειττόνως ηὐξάμην αὐτῷ. ἃ δέ σοι περὶ τῆς διαίτης ὥρισα, ὁρίζου ἀσφαλέστατον, ἄλλο ὡς θρίγγωμα· καὶ τῆς ἡδο-

I. Argumentum. ‘*Utinam te valere audiam, etsi tuam absentiam aegre fero! Praecepta mea serva et caelestibus patronis te committe*’.

3. cfr. Sirach XXX, 16. || 6. *αἷς* delevi. || 7. *ἡδυνθεὶς*] *εισ* in eras. C; in sequentibus Euripidis (Hec. 837) versum restitui: *καὶ κόμαισι καὶ χερσὶ καὶ βάσει ποδῶν* C. || 9. *ηὐξάμην* C.

νῆς τὴν σὴν καρδίαν μὴ στέρει, καὶ τὴν ἐπιμέλειαν τῆς ὀνήσεως σκόπει καὶ τοὺς διττούς σοι προστάτας Σπυρίδωνα καὶ Ὀνούφριον ψυχικῶς ἐξαιτοῦ καὶ τὴν Μητέρα ὁλοσχερῶς τοῦ Φωτός· αὐτοὶ γὰρ τὸ εἶναί σε ὄντες καὶ τὸ εὖ εἶναι φιλοτιμότερον καὶ ταχινώτερον δώσουσιν. ἔρρωσο ἐν Χριστῷ κατὰ πάντα καὶ ἐν πᾶσι καὶ διὰ πάντα.

ἑτέρα ἐπιστολὴ πρὸς τὸν αὐτὸν πρωτοσεβαστὸν καὶ πρωτοβεστιάριον καὶ μέγαν στρατοπεδάρχην κυρὸν Γεώργιον τὸν Μουζάλωνα

II. (CLI)

Ἐγὼ δὲ μετὰ τὴν γραφὴν τυραννούμενος τῇ ἀγάπῃ σου γράφω σοι· σὺ δὲ μήτε ἀθύμει, ὅτι συνεχῶς ἐπιστέλλω σοι, διὰ τὸν κόρον τῆς ἡδονῆς, μήτε ἔκλυτος τῇ χαρᾷ γίνου. ἀλλὰ ἐν ἐνθυμούμενος, τὸ οὕτως ἔχειν με σέ, καὶ εἰς ἓν ἑνορῶν, ὅτι τὸ καλῶς ἔχειν σὲ καλῶς ἔχειν ἐστὶν ἐμέ, ἐπιτέρπου ἀγαλλιώμενος, τὰ δ' ἄλλα ὅσα μὲν σά, γίνωσκε καλὰ εἶναι, εὔχομαι, ὅσα δ' ἐμά, ἐν τῷ σὲ ἔχειν καλῶς ὡς ποθῶ· καὶ τῆς ὁρισθείσης σοι διαίτης μηδαμῶς ὑπερβαίνῃς, κάλλιστέ μοι υἱέ, τῶν ὁρισμάτων. ἔρρωσο δὲ ὁ πάντοτε τοῖς καλοῖς ἐρρωμένος ὡς κάλλιστος.

ἑτέρα ἐπιστολὴ πρὸς αὐτόν

III. (CLII)

Ἑσπέρας καὶ πρωὶ καὶ μεσημβρίας τῷ Κυρίῳ τὰς εὐχὰς ἐθίσας ἀποδιδόναι, μᾶλλον δὲ παιδευθείς, κατὰ τὴν τάξιν ταύτην, ὦ φιλτατέ μου υἱὲ Μουζάλων, τὸ γλυκὺ καὶ πρᾶγμα καὶ ὄνομα, τὰς τῆς

---

12. *ὀννούφριον* C. || 14. *εὖ*] *σε* inchoaverat librarius codicis C.

II. Argumentum. '*Amor erga te meus efficit ut crebrius ad te scribam de tua valetudine anxius. Ne nimis animo commoveare, quaeso, sed leni gaudio mea scripta legens fruare*'.

1. *δὲ*] malim *μὲν* || 4. *σέ* corr. ex *σὲ*, ut vid., C; puto Theodorum dicere voluisse: *cum meam epistulam in manibus habeas, me ipsum habes*; sed frigidiora fortasse haec sunt; num *μὲ* < *ὡς* > *σὲ*?

III. Argumentum. '*Fac sciam crebro quomodo valeas*'.

1. Psal. LIV, 18.

ἀγάπης ἐρωτήσεις καὶ σοὶ ἀπονέμω διὰ γραφῶν. σὺ δὲ ἀνταποκρίνου πρὸς μὲν τὴν πρώτην τὸ ‘ καλῶς δι’ ὅλης νυκτός ’, πρὸς δὲ τὴν δευτέραν τὸ ‘ ἕως δεῦρο καλλίστως ’, πρὸς δὲ τὴν τρίτην τὸ ‘ πάντῃ ἀρίστως ’ ὡς ἀναμφίβολον· ἵνα ταῦτα καλῶς σοῦ μὲν λαλοῦντος καὶ ὡς ἐμοὶ φίλον ἀποκρινομένου, ἐμοῦ δὲ ὡς λίαν εὐφραινομένου καὶ δεχομένου, γεννᾶται ἡ εὐφροσύνη ταῖς ἡμῶν καρδίαις κοινή. τὰ δ’ἄλλα κρίνω καθὼς καὶ σὺ ὁ αὐτὸς θύεις τὴν ψυχὴν δι’ ἐμέ. τὴν δὲ ῥῶσιν τῆς ὑγείας ὁ ἡμᾶς ῥώσας εἰς τὸ εἶναι καλῶς καὶ ταχίστως παρέξοι σοι.

ἑτέρα ἐπιστολὴ πρὸς αὐτόν

IV. (CLIII) Ἥλιος ἀνέτειλε σήμερον, καὶ σὺ δὲ τὴν πορείαν ἐπηύξησας, ἐγὼ δὲ τὸν συνήθη ζητῶν οὐχ ἑώρων. καὶ τοῦτο χαρᾶς αἴτιον καὶ λύπης ἐστίν, ὅτι σὲ οὐχ ὁρῶ καὶ ὅτι πρὸς ῥῶσιν ἡ ἀπόστασις αὕτη σοῦ, τοῦ καλοῦ μού ἐστι παιδός. ἀλλ’ εἴπερ καὶ περὶ τὸ στέρνον ἥψατό μού τις, τάχα ἂν συνεχεῖς εὗρε παλμούς· ἄλλος δέ γε εἰ τὸν νοῦν ἠδυνήθη θεάσασθαι, οἶμαι τοῦτον αἰχμάλωτον· εἰ δὲ καὶ σὺν σοὶ τὰς πορείας ποιοῦντα καὶ ὅλον πρὸς σὲ ὁλικῶς διαβαίνοντα καὶ ὃς τὴν καρδίαν ἐρευνήσειν ἠδύνατο, εὗρεν ἂν καὶ οὗτος τὰ ὅμοια. ὁ γὰρ ὄχλος ὁρᾷ καὶ οἱ ὁρῶντες νοοῦσι καὶ οἱ νοοῦντες ὡς ἔχειν ἡμᾶς τῇ σῇ ἀποδημίᾳ ἐπίστανται. σὺ δὲ μήτε ἀμελῇς τῆς χαρᾶς, μήτε φορτικώτερον κοπᾷς. ἀλλὰ τοῦ ἑνὸς κατατρύφα καὶ τοῦ ἄλλου ἔκφευγε τὸ ἐπίπονον· ὁλικῶς δὲ πραγματεύου τὴν σὴν ὑγείαν. ἐπὶ τούτοις δὲ τὴν ῥῶσιν τῶν καλλίστων συνάθροιζε καὶ πρὸς ἡμᾶς ἐρρωμένος σπεῦδε ἐνδημῆσαι, ὅπως καὶ ἀκούοντες ταῦτα καὶ ὁρῶντες ἡμεῖς ῥωννυώμεθα. ἔρρωσο τοῖς καλοῖς.

IV. Argumentum. ‘ *Dolor et gaudium in vicem animum meum afficiunt, quod et abes et in isto itinere spem restituendae valetudinis tuae magnam habemus* ’.

1. σύ δε C; malim σὺ δή. || 5. *συνεχεῖς* fere totum et *ἂν* praecedens in C evanuerunt. || 9. ὡς] ὧς vel οὕτως scripserim. || 13. *καλλίστων* scripsi: *καλλίων* C.

πρὸς αὐτὸν πρωτοσεβαστὸν καὶ πρωτοβεστιάριον καὶ μέγαν στρα- f. 1v
τοπεδάρχην κυρὸν Γεώργιον τὸν Μουζάλωνα

Προσδέχου καὶ ταύτην τὴν ἐπιστολὴν μετὰ χάριτος. σὺ δὲ τὴν **V.** (CLIV)
σὴν ἡμῖν δὸς ὑγείαν ἀντίχαριν. ἐρωτῶντας δὲ καὶ μὴ ἐρωτῶντας ἡμᾶς 'πῶς εἶ, ὦ τέκνον ἐμόν;', μὴ ζήτει διαφοράν. τὸ γὰρ ἡμῶν τοῦτό ἐστι καταθύμιον, μανθάνειν τὰ περὶ σοῦ καὶ ὅσον ἀγαθά τε καὶ ὑγιεινά. σὺ δὲ τοῦτο ἀγωνιζόμενος, τὸ καλῶς καὶ βεβαίως σε εἶναι καλῶς, εὐεργετεῖς ἡμᾶς τὸ ζητούμενον καὶ ῥωννύεις εἰς εὐθυμίαν, <ὁ> τῆς πίστεως ἀδάμας στερρός. ἔρρωσο δὲ τάχιστά τε καὶ ἀσφαλέστατα.

ἑτέρα πρὸς τὸν αὐτόν

Ἀετὸς ὑψιπέτης, καὶ τὸ λόγιον οὐ καινόν, μικρὰν ἄγραν τῷ νεοσσῷ **VI.** (CLV)
τῷ ἐπικαλουμένῳ τῷ αὐτοῦ ὀνόματι ἀγρεύσας ἐκπέπομφε. μνήσθητι τῆς ταχυτῆτος, τῆς γοργότητος, τῆς ἀγάπης τοῦ ἀστείου πράγματος, καὶ τῶν πτερωτῶν σπουδαίως κατατρυφήσας ὀπτῶν, μετάθες τὸ φάσκα εἰς πάσχα καὶ τὸ πάσχα εἰς καθαρᾶς ὑγείας διάβασιν καὶ ταύτην ἀντίδος, μάννα ὡς ἄλλο ἡμῖν, ὦ πάντων τῶν ἐμῶν, τέκνον Μουζάλων, ἐρρωμένος δεσμὸς ἀλληλένδετος.

ἑτέρα πρὸς τὸν αὐτόν

Ὀκνῶ τοῦ λέγειν ἃ πάσχω· ὁ γὰρ ὀκνος ἐκ πάθους ἐπισυνέβη **VII.** (CLVI)
καὶ ὁ λόγος διὰ ταῦτα ἀντιφράττεται τοῖς ὑατέροις ἠχεῖν. τί γὰρ πέ-

---

V. Argumentum. ' *Quod rogasti habes. Tu contra fac ut valeas; quod mihi tamquam maximum praemium erit* '.

6. ὁ in chartae foramine periit, ni fallor.

VI. Argumentum. ' *Accipe parvam praedam quam venando cepi. Fac ut valeas* '.

2. malim αὐτοῦ. || 3. ταχύτητος C. || 4. ludere videtur vocibus φάσσα et φάσκα.

VII Argumentum. ' *Dolor meus magnus ex absentia tua. Utinam tu brevi bonam valetudinem recipias* '.

πραχας διαστὰς καὶ ἐμὲ καταλείψας ἐν δυσθυμίᾳ; ὀφείλω σε τυραννῆσαι ὅταν ὀψωμαί σε ἐν τέρψει· σὺ δὲ τότε μὴ δυσχεράνῃς, διότι νῦν ἡμᾶς ἐτυράννησας. ἀλλ' ἔμμενε, μετὰ τὴν ὕπνου ἡδύτητα ἀναστὰς ἐρρωμένος καὶ τῆς ὑγείας ἀπολαμβάνων τὴν ἐντελέχειαν.

ἑτέρα πρὸς αὐτόν

VIII. (CLVII) Ἀγορὰ καὶ ἐργάται, ἐγὼ δὲ τὴν μισθαρνείαν ἀπεβαλλόμην. ὅσοι δὲ τοῦτο ἑώρων ἐθαύμαζον ἐκπληττόμενοι· ἡ μὲν ἀγορὰ τῶν ἀντιστρεφόντων, οἱ δὲ ἐργάται τῶν λαμβανόντων· καὶ τοῦτο κοινὸν καὶ πᾶσι κατ' ἰδιότητα· ἐμοὶ δὲ οὔτε κοινὸν τοῦτο, οὔτε ἴδιον κατὰ φύσιν ὑπῆρχεν· ὁ γὰρ τῆς ἐμῆς ἀντιστροφεὺς ἀγάπης ἀπεδήμει ἐκ πανηγύρεως. τίς δ' ἐστιν ἡ ἀγορά, καὶ τίνες οἱ ἐργάται; ὑπολάμβανε τὴν μὲν γλυκύτητα κοσμικήν, τοὺς δὲ τὰς ἀφορμάς, ἐξ ὧν αὐτοὺς πορίζεται τοῖς ἐθέλουσιν. ἐγὼ τοίνυν ἄψυχος ὤν, ἐπείπερ σύ, τέκνον, οὐκ ἦς μεθ' ἡμῶν, παρέβλεπον ταῦτα· καὶ τὴν μὲν μηδὲν λογιζόμενος ἀνήρουν καὶ τοὺς ἐργάτας. μία καὶ γάρ μοί ἐστι γλυκύτητος ἀφορμή, σὺ ὁ αὐτός· αἱ δ' ἄλλαι πᾶσαι οὐδαμῶς με γλυκαίνουσιν. ἀλλ' ἰδοιμέν σε τάχιστα ἐρρωμένον, καὶ σὺν σοὶ ἐν ῥώσει ψυχῆς πολιτευθείημέν τε καὶ σώματος.

ἑτέρα πρὸς αὐτόν

IX. (CLVIII) Τέλος ἦν τοῦ ἀρίστου, ἐγὼ δὲ ξυνετύγχανον τοῖς συνήθεσι (νόει δέ μοι, εἰ θέλεις, αὐτούς), καὶ τις ἐκ τῶν τοιούτων ἀναμνημονεύσας μοι τὸν Μονίκου, χαράν μοι ὄντως ἀνεμνημόνευσεν. ὅρα τὸ μῆκος αὐτοῦ, σκόπει τὸ βάθος, θαύμαζε καὶ τὸ εὖρος, τὸ ἦθος μὴ παροράσῃς, τὸ σεμνὸν μὴ παρέλθῃς, τοῦ εὐμούσου μὴ ἀμελήσῃς, τὸ ψυχικὸν ἀνά-

---

VIII Argumentum. '*Tua absentia nobis omni voluptate interdixit. Deus te sanum reddat*'.

7. αὐτοὺς non intellego; scripserim αὕτη. ‖ 8. ἄψυχος bis scripserat, sed altero loco punctis notavit C.

IX Argumentum. '*Ridiculum homunculum meis verbis quasi pictura expressum ad te misi ut risu animum reficias et valetudinem citius recipias*'.

4. παροράσῃ C.

στημα ζήλωσον γέλωτι, τὸ παρρησιαστικὸν ἄναξόν τε καὶ κάταξον καὶ τῷ πολυγλαφύρῳ τῶν λόγων τούτου ἡδύνθητι. ὦ τῶν γελώτων. γέλα σὺν ἡμῖν καὶ σύ, ἡ ἄνω Σιών· ἡ γὰρ κάτω συναγωγὴ κυμβαλίζει τῷ Μονίκου προσταττομένη. ἀλλ' ἰδοὺ μετὰ γέλωτός σοι τὸν ἄνδρα προσάξαντες καὶ καθάπερ χρόαις καὶ μετάλλοις τοῖς λόγοις αὐτὸν εἰδωλώσαντες προσηνέγκαμέν σοι, ἄριστε, αὐτὸν γελοιότατον. σὺ δὲ ῥωννύμενος γέλα καὶ γελῶν ἐπευφραίνου καὶ εὐφραινόμενος τάχιστα καὶ κάλλιστα ῥώσθητι.

ἑτέρα πρὸς αὐτόν

Ὅλον δέ σοι αὐτὸν βουληθέντες φέρειν καὶ μὴ δυνηθέντες (ἐπείπερ τυρβάζει τὰ κοσμικά) καὶ λυπηθέντες, ἴσως δὲ καὶ ταῖς ἀγγελίαις μὴ πεπιστευκότες, ἐπεὶ καὶ ἀδιανόητοι ὡς ὁρᾷς, τὸν Ὑελλοβούρτην πεπόμφαμεν, ἵνα διὰ τὸ ἔθος ὡς μικρὸν κυνίδιον τὰ ἴχνη ἀνιχνεύσῃ τῆς νόσου καὶ τὸ οἱονοῦν δέ γε μηδόλως εὑρὸν πρὸς ἡμᾶς καθυλακτοῦν τῆς νόσου ἐπαναστρέψῃ, χαρυνῇ δὲ τὸν οἰκοδεσπότην ἐμὲ ταῖς σαῖς εὐεξίαις, ὦ τέκνον ἐμόν, καὶ ῥῶσιν προσημανῇ μετ' ἀληθείας τὴν ἐντελῆ. X. (CLIX)

ἑτέρα πρὸς αὐτόν f. 2r

Ὁ Ἀοινάρης ἀνέγνω καὶ τὸν γέλων ἐξαρτήσας καὶ συνήθως αὐτὸν ἡμῖν φιλοτιμησάμενος μετὰ τοῦ συνήθους καὶ ἐμοὶ οἰκείου κουβουκλαρίου Κωνσταντίνου, ὦ τέκνον ἐμὸν Μουζάλων, συνήθως ἐξ ἐμοῦ χαρᾶς ἐπεντρυφῶντι σοὶ ἀφορμὰς ἀπέστειλα τὴν ἡδύτητα. σὺ δὲ ἐρωτήσας αὐτόν, οἶδα ὅτι χαρήσῃ. ἀντίδος δὲ καὶ ἡμῖν ἐκ τῶν αὐτόθι κοιταζομένων σοί, τῶν ξένως χριστοφορούντων, τινὰ τῆς εὐηθείας XI. (CLX)

---

7. πολῦγλαφυρῶ C.

X Argumentum. '*Cum ipse ad te negotiis distentus venire non possim, famulum fidelem misi qui de te bonum nuntiam afferat*'.

1. αὐτὸν corr. ex αὐτὸν, ut vid., C. || 6. χαρυνεῖ (η) C. || 7. προσημανεῖ (η) C.

XI Argumentum. '*Quae sunt nobis narratae facetiae, eas a te quoque audiri volumus, ut risus causam habeas. Vicissim tu scribe ad nos quae a tuis familiaribus dicuntur*'.

τούτων τελέσματα, ἵνα δυναμοδυνάμως τερφθέντες τῆς χαρᾶς τῇ ἡδύτητι, ἐκ σοῦ μὲν νόσος, λύπη δὲ ἐξ ἐμοῦ δραπετεύσῃ, καὶ ῥῶσις συναχθῇ σοι τῷ ἐρρωμένῳ εἰς τὴν ἐμὴν ἀγάπην τε καὶ θέλησιν. ἔρρωσο.

ἑτέρα πρὸς αὐτόν

XII (CLXI) Ἀποδημεῖς ἀφ' ἡμῶν, ἡμεῖς δὲ τέρψεσιν οὐ δίδομεν δι' αὐτὸ τὰς ἡμῶν καρδίας, τέκνον ἐμὸν κάλλιστον καὶ οὐράνιον. διὸ καὶ πρόσθεν καὶ νῦν καὶ ἕως νύκτωρ οὐκ ἀμνημονοῦμέν σου τῆς ἀγαθῆς ὁμιλίας, παρ' ἣν τὰ πάντα ὡς οὐθὲν λογιζόμεθα, πλὴν τῆς σῆς ῥώσεως ὑπεξηρημένης, ἣν τάχιστα ῥωσθεὶς ἐρρωμένος ἐπάνελθε.

ἑτέρα πρὸς αὐτόν

XIII (CLXII) Τί κοινὸν ἡμῖν ἡ χαρά, σοῦ μὲν λείποντος, ἐμοῦ δὲ τὰ πάντα τῶν ἡδέων μὴ δεχομένου; ὁ γὰρ γλυκαίνων οὐκ ἦς· ἡμῖν δὲ τί ἄρα ἐστὶ τὸ γλύκιον, ἢ γε πόνος; πλήν γε καὶ ἡδονῆς μακρυσμός, ὃν δὴ καὶ αὐτὸν ἡ τύχη πικρασμοῦ παραίτιον δέδωκεν. ἀλλὰ ῥῶσον τὸν νοῦν καὶ διέξαξον τὴν ὕλην καλῶς, καὶ ἡδύνου τοῖς ἐπιστέλλουσι καὶ ἀντίστρεφε τὴν ἡδύτητα· αὐτὴ γὰρ ἡμῖν καὶ μόνη ἐστὶ κατάλληλος, ἡ ἐκ σοῦ προερχομένη ὡς ἐκ πηγῆς, ἣν ῥώσειε τὰ θεῖα καὶ οὐράνια ῥεῖθρα τῆς ὑπερκοσμίου καὶ ὑπερσόφου πηγῆς εἰς ῥῶσιν τοῦ ἡμετέρου θελήματος.

ἑτέρα πρὸς αὐτόν

XIV (CLXIII) Σήμερον χαρὰ καὶ πανήγυρις, ἐν ἡμῖν δὲ οὐκ ἐντελής, καὶ τὸ αἴτιον οὐ δεῖται διασαφήσεως. ἀλλ' ὁ μεγάλαθλος ἀριστεὺς Δημήτριος

XII Argumentum. ' *Te absente laeti esse non possumus neque aliud optamus nisi te valere* '.

1. διδόαμεν C. || 4. παρ' ἣν scripsi: περὶ ἧς C.

XIII Argumentum. ' *Tuae absentiae unum solacium habemus tuas ad nos epistulas; quae utinam semper bona nuncient!* '

XIV Argumentum. ' *In divi Demetrii festo publicae laetitiae particeps esse non possum te absente. Sed eiusdem divi martyris intercessione te quam primum bona valetudine fruentem hic adfore confido* '.

Extat haec epistula etiam in f. 5^{v} eiusdem codicis.

συνήθως ἐνεργετήσας ἡμᾶς παρέξοι ἡμῖν τέκνον ἀγαθὸν σὲ μετὰ ῥώσεως καθαρᾶς, καὶ τὴν τελειότητα τῆς χαρᾶς βεβαίαν καὶ ἐρρωμένην ἐμοί τε καὶ σοί, ὡς ποθοῦμεν, φιλοτιμήσαιτο.

ἑτέρα πρὸς αὐτόν

XV (CLXIV)

Γράμμα σὸν ἐπεφθάκει πρὸς ἡμᾶς, φίλτατέ μοι υἱέ, καὶ γλίχεσθαι κατηνάγκασεν ἡμᾶς νοεῖν ἅπερ ἔλεγε, καὶ τὴν τοῦ μεγαλομάρτυρος Δημητρίου πανήγυριν πολυτελεστέραν γενέσθαι παρώτρυνεν, ἐπειδὴ τὴν τῆς σῆς ὑγείας τελείωσιν κατ' αὐτὴν δὴ τὴν ἡμέραν σοι παρ' αὐτοῦ δοθεῖσαν διεκελεύετο. ἡμεῖς δὲ κατὰ πρώτην ἐπιβολὴν τῷ λόγῳ πιστεύσαντες ἠρκέσθημεν παρ' αὐτά. ἐπεὶ δὲ καὶ τὰ θαύματα τῶν Ἁγίων κηρύττειν τοῖς πιστοῖς ἐστι πολύδοξον, αἰτοῦμεν τὸ ὀφειλόμενον οὐκ ἐξεταστικῶς, ἀλλά γε δοξαστικῶς εἰς δόξαν τοῦ πεπραχότος καὶ τοῦ ποιήματος. δι' αὐτὰ γοῦν τοῦτο ταχέως ἡμῖν διαπόρθμευσον, ἵνα τὸν μεγαλομάρτυρα μεγαλύναντες τῇ τοῦ ἔργου μεγαλειότητι, τὴν ῥῶσιν τῆς σῆς ὑγείας ἐν ἐπιτάσει χορηγήσας πρὸς σέ, ἡμῖν ὅλον σὲ ἐρρωμένον χαρίσαιτο.

ἑτέρα πρὸς αὐτόν

XVI (CLXV)

Τῷ τῆς ἀγάπης δεσμῷ καὶ τῆς υἱοθεσίας, ὦ γλυκύτατέ μου Μουζάλων, ἐξ ἐμοῦ ἀδιστάκτως συνδεθείς, ὡς ἐπίστασαι, μηδόλως τῇ διαστάσει μὴ ταὐτοχώρους εἶναι νομίζῃς ἡμᾶς, ἐπειδὴ ὡς πνοήν τινά σε ἐξαίρετον κέκτημαι. τὰ δὲ τῆς σῆς ὑγείας διὰ ταῦτα ὑπερερρωμένα γενέσθαι τάχιον εὔχομαι εἰς ῥῶσιν τοῦ ῥεμβομένου μοι λογισμοῦ τῇ ὀλιγωρίᾳ.

---

5. ἐμοί — φιλοτιμήσαιτο] ἐμὸν τέκνον Μουζάλων ἐρρωμένος δεσμὸς ἀλληλένδετος f. 5ν.

XV. Argumentum. ' *Fac sciamus quod miraculum in te a divo Demetrio editum sit ut ei gratias digne agere possimus* '.

5. διεκελεύετο vix rectum: διεκηρυκεύετο?

XVI. Argumentum. ' *Etsi longe abes a me, numquam tamen te a me recedere puto; amor enim distantia coniungit. Cura ut valeas* '.

3. νομίζεις C.

ἑτέρα πρὸς αὐτόν

XVII (CLXVI) *Νῦν εὐτυχὴς ἐγώ, [ὡς] εἴπερ ποτέ, τοιαύτης ἀκηκοὼς ἀγγελίας. ἀνατολὴ γὰρ ἡλίου τὴν σήμερον, καὶ ὁ Καμμύτζης τὰ περὶ τῆς σῆς ὑγείας μοι διηγόρευεν. ὅρα πῶς ἡ χάρις τοῦ μεγάλου Δημητρίου τερατουργεῖ. ἐγὼ δὲ τὰς εὐχὰς ἐπιτείνω, ἵνα καὶ τὴν τελειοποίησιν οὗτος φιλοτιμήσηται τάχιστα. ἀλλὰ τίς γένωμαι; ὁ λογισμὸς αἰχμαλωτίζει τὸν λογισμὸν καὶ ὁ λόγος μου τὴν διάνοιαν καὶ ἡ αἴσθησις τὴν καρδίαν, καὶ φέρουσι πρὸς σὲ δεδεμένα, τὸν καλόν μου παῖδα καὶ λίαν ὑπερέκεινα τοῦ καλλίστου. ὅρα πῶς ὁ πόθος συνάπτει. σὺ δὲ νῦν μὴ κοπία εἰς ἀντιστροφάς, ἀλλὰ δέχου τὰς χάριτας· ὅταν δὲ παραστῇς ἡμῖν ἐρρωμένος, τότ' ἂν καὶ ξυνομιλήσῃς ἡμῖν, πλὴν δέ γε μετ' εὐφροσύνης, μετ' εὐθυμίας, ἀγαλλιάσεως, τέρψεως καὶ χαρᾶς. τὰ δ' ἄλλα ἐν συνήθει ῥώσει φρενῶν ὑπηρετήσαις συνήθως κατὰ τὸ ἡμέτερον θέλημα.*

ἑτέρα πρὸς αὐτόν

XVIII (CLXVII) *Ἀρέσκει μοι ἡ ἐναλλαγὴ τοῦ τόπου διὰ τὸ τῶν τόπων διάφορον, ἡ τοῦ μεγάλου δὲ Δημητρίου τερατουργία καὶ μᾶλλον, καὶ μάλιστα τόδε· κρειττόνως σὲ ἔχειν. διὸ καὶ ταῦτα θαυμάζονται πολλαπλασίως καὶ μεθ' ἡδύτητος. σκόπει γοῦν τὰ τοῦ κόπου καὶ ἐπιμελοῦ σου τῆς ἀναπαύσεως καὶ σύναγε ἀεὶ τὸ ὀνησιμώτερον, πλὴν μετὰ ἀνυσιμωτέρου τοῦ τρόπου. κρεῖττον γὰρ μετὰ ῥώσεώς τινα προσεπικτᾶσθαι καὶ τὰ*
f. 2v *ἐξῆς, ἢ μετ' ὀλιγωρίας πάσχειν ἐθελοντί. τῷ δὲ Ἁγίῳ | τὸ ἀφωσιωμένον τῆς καρδίας τῆς σῆς ζώπυρον ἀπονείμας, οἶδ' ὅτι παρ' αὐτοῦ*

XVII Argumentum. '*Bono de tua valetudine nuncio laetatus sum. Divo Demetrio gratias ago eumque rogo ut opus suum perficiat. Tu ne labores ad me rescribenda; sanus mecum colloqueris*'.

1. ὡς induxi, εἴπερ ποτέ scripsi: ὡς ἤ, πέρ ποτε C. || 9. κοπία scripsi: κοπιᾷς C. || 12. ὑπηρετήσαις scripsi: ὑπηρετήσας, ut vid., C.

XVIII Argumentum. '*Gaudeo te vires post infirmitatem recipere: tibi parce et fac ut brevi convalescas*'.

2 sq. τόδε scripsi: τὸ δὲ C. || 5. σύναιε corr. ex σύναγε, ut vid., C. || 7 sq. ἀφωσιώμενον C.

ἀντιλάβῃς βέβαιον δῶρον καὶ τὴν ἐκλύτρωσιν, καὶ πρὸς ἡμᾶς ἐρρωμένος ἐπανέλθῃς, ἐμὸν τέκνον Μουζάλων γλυκύτατον.

ἑτέρα πρὸς αὐτόν

XIX (CLXVIII)

Ἐμοί τε καὶ σοὶ πατρότης τε καὶ υἱότης καθέστηκε, πλὴν δέ γε κατὰ τὸ τί διαφέρουσαι (φιλότης δέ γε κατὰ τὸ δίκαιον, ὁσιότης κατὰ τὴν προῖξιν) καὶ πάντα κατάλληλα καταλλήλοις, διὸ καὶ τὸ ῥωννύεσθαι καὶ ῥωννύειν καὶ ἐρρωμένον εἶναι καὶ γίνεσθαι κατὰ τὴν ἄνω τάξιν τῆς γνησιότητος γνήσιον. καὶ ἡ εὐχὴ ἡμῶν διὰ ταῦτα ἐξαιτεῖ τὰ αὐτὰ ἐξ οὗ πᾶσα δόσις ἑδραία καὶ μόνιμος. ἀσυνήθως γοῦν πρὸς τὰς προγραφείσας σοι ἐπιστολὰς ὁμιλούσης <τῆς> νῦν, κάλλιστέ μου υἱέ, χρήσαιο τῷ Ἁγιοθεοδωρίτῃ ἐξηγητῇ· ἡ γὰρ φιλοσοφία καλλίστως τοῖς καλοῖς αὐτῷ ὅρους δέδωκεν, ἐπέσχε δὲ τοῖς κακοῖς· ὃς τὰ παρ' ἑκατέρων ἐξετάσας νυνί, δώσει καὶ τὴν ἐξήγησιν. εἰ δ' οὐ τελέσει τὸ προσταχθέν, ῥωσθεὶς σὺ ταχέως ῥοπάλοις τύψον αὐτόν, ἀνταλλάξας τὰς πλήξεις εἰς τοῦ Χριστοφόρου τὸν σπόνδυλον, ἐρρωμένος δέ γε καὶ μετὰ πάσης τῆς ὡς εἰκὸς ἐλευθεριότητος.

ἑτέρα ἐπιστολὴ πρὸς τὸν αὐτὸν πρωτοσεβαστὸν καὶ πρωτοβεστιάριον καὶ μέγαν στρατοπεδάρχην κυρὸν Γεώργιον τὸν Μουζάλωνα

XX (CLXIX)

Ἔφθασεν ἤδη καὶ τὸ ζητούμενον. ὑετὸς γὰρ ἐξ οὐρανοῦ καταρρεῖ, καὶ σύ γε παραπέλαυσας τούτου πρώτως, ὡς εἴδομεν. περὶ γὰρ τὰς ἀρχὰς τῆς ἡμέρας νέφος ἑώρων ἐκ τῶν αὐτόθι πυκνόν, μεστὸν ὕδατος κατερχόμενον· μικροῦ δεῖν καὶ πρὸς ἡμᾶς τὸν ὄμβρον ἐγέννησεν. ὦ τέρψεως· προσήμανσις τῆς ὑγείας. ὦ γλυκασμοῦ· ἤδη βεβαία

XIX Argumentum. ' *Quae mihi scribenda erant ea referet ad te Hagiotheodorita, quem tu verberibus obruas, si id facere nolit* '.

1. ἐμοί τε scripsi: ἐμοὶ δέ C. ‖ 7. τῆς addidi; om. C. ‖ 12. σπον^{δλ} C.

XX Argumentum. ' *Decidit imber, et spes mihi iam magna te mox omni morbo liberum fore* '.

2. σύ γε scripsi: σύ δε C. παραπήλαυσας C.

ἡ ῥῶσις. ὦ καλλίστης εὐεργεσίας· ἤδη τέλειον Θεὸς τὸ ζητούμενον δέδωκε. σὺ δέ, τέκνον ἐμὸν εὐθυμοῦν, ἐπευφραίνου καὶ ῥωννύμενος ἐκ τῆς νόσου τῇ ἐμῇ ἐνθυμήσει καὶ τῇ συνδρομῇ τῶν καλλίστων ἐντανθοῖ ταχέως ἐν ῥώσει κατάλαβε.

ἑτέρα πρὸς αὐτόν

XXI (CLXX) Τῆς εἰς τὰ πράγματα κρίσεως ἀπανηνάμενος διὰ τὴν σήν, κάλλιστέ μου υἱέ, διάστασιν τοπικήν, ἐπανέστρεψα νῦν παρὰ τῆς σῆς γλυκυτάτης γραφῆς. διὸ ἀγγέλῳ ταύτῃ οὔσῃ καλῷ ἠκολούθησα ὡς εἰκός, ἐξ ἧς τὸ καταθύμιον ἔλαβον· ὅλη γάρ σου τὸ ὑγιὲς διηγόρευε. διὰ τοῦτο τὸν σὸν ἀδελφὸν Ἀνδρόνικον ἀπέλυσα, ἐπεὶ διέκρινα δίκαιον τοῦτο γενέσθαι, τῇ χαρᾷ τῆς γραφῆς πρὸς τὰς διακρίσεις ἐπανελθὼν καὶ προσδεχόμενος ἐρρωμένως αὐτόν.

ἑτέρα πρὸς αὐτόν

XXII (CLXXI) Ἀναμφίβολος ἡ ἀγάπη, ἀκραιφνὴς ἡ φιλία καὶ ἡ εὔνοια καὶ εὐμένεια ἐν ἡμῖν καθαρώταται. ὅρα πόσους παρ' ἐμοῦ κέκτησαι τοὺς ἐπαίνους. σὺ δὲ οὐδ' ἐξηγητὴν τῶν ἐπιστολῶν αἰτοῦσιν ἔδωκας νῦν· ἀλλὰ παίγνιον φιλοσοφίας, ὃν δωρεῖσθαι ἔμελλες, ὤν, ἡμεῖς ἀπηνηνάμεθα μὴ παρακληθέντες αὐτῷ, καίτοι γε κριοφόρον ἔχων ἐκπλάγιον αὐτοῦ, ἀνέρα πολύλοφον καὶ πολύκυφον, ὅστις καὶ ἐξηγεῖσθαι σὺν αὐτῷ ταῦτα ἠδύνατο. καὶ οὕτως περιορᾶσθαι τὴν ἔλευσιν αὐτοῦ κατηρέσκετο, ἀναρτήσεις καὶ ἀναμονὰς περιττεύοντι ἐν στόματι λέγων. ἀλλ' ἰδοὺ διὰ τὴν σὴν ἀγάπην τὰς μὲν ἐξηγήσεις, ὁπόταν μετὰ ῥώ-

---

XXI. Argumentum. '*Negotia, quae dolore victus omiseram, postquam te morbo liberatum audivi, iterum curare coepi*'.

1. ἀπηνηνάμενος C. ‖ 5. καλῷ C.

XXII Argumentum. '*De amore meo non est quod dubites: sed quas habemus ridendi causas in aliud tempus differemus, cum tu sanus aderis*'.

4. sc. '*cum παίγνιον φιλοσοφίας esset ille, quem ad nos tu mittere volebas, recusavimus*'; ἡμεῖς ante δωρεῖσθαι C; traieci ego. ‖ 5. ἐκπλάγιον an ἐκ πλαγίου incertum C. ‖ 6. αὐ C; malim αὐτοῦ.

σεως ἀκριβοῦς πρὸς ἡμᾶς ἐπανέλθῃς, ὦ τέκνον ἐμόν, δέξῃ καθὼς ᾔτησας, αὐτοὶ δὲ γελώτων ἀπείρων πλησθήσονται.

ἑτέρα πρὸς αὐτόν

Καὶ σήμερον δέ, ἢ μᾶλλον χθές, ἐπειδήπερ περὶ τὸν ὁρίζοντα **XXIII** (CLXXII)
ὑπῆρχε κατὰ δύσιν διχότομος ὁ ἥλιος ὅτε ἐκ τῶν ἀνακτόρων ἐξήλθομεν, συναλλαγμάτων ἡμετέρων λόγοι ἐλέχθησαν· ἡμεῖς δ' ηὐλογοῦμεν καρδιακῶς δυσανασχετοῦντες, ἐστέργομεν ψυχῇ σχετλιάζοντες, ηὐφραινόμεθα καὶ ἀπελεγόμεθα τὴν ζωήν· καὶ ἦν διὰ ταῦτα ὁ νοῦς ἡμῶν πρὸς Ἑρμῆν, ὅθεν καὶ τὰς λώπας λαβὼν τὰ μὲν συνεσκίασε, τὰ δὲ κατεκόσμησεν (αἰνίγματα ταῦτα) καὶ ὅλην ἁπλῶς τὴν ὅπα μετεβίβασε τῷ οἰκείῳ θελήματι. σὺ δὲ οὐκ ἂν ἔκρινας τοὺς λόγους ἑτέρου ἢ τοῦ κυρίου σου, αὐτῶν εἴπερ ἤκουσας. καταλιμπάνομεν δὲ ἀρτίως αὐτούς. ὅταν δὲ πρὸς ἡμᾶς ἐν ῥώσει ἐπανέλθῃς, κάλλιστέ μου υἱὲ Μουζάλων, γνώσει ἀριδήλως αὐτοὺς καὶ χαρήσῃ διὰ τὸ ποικίλον τῆς οἰκονομίας καὶ μεθόδου τοῦ πράγματος. ἐστάλη σοι δὲ καὶ ἡ βίβλος τοῦ καθ' ἡμᾶς τῆς θεολογίας σάλπιγγος καὶ πολλοῦ Γρηγορίου, καὶ ἔχε αὐτήν, καὶ ἐρρωμένος διὰ τῶν πρεσβειῶν τοῦ ταύτης θεολογήσαντος πρὸς ἡμᾶς ταχίστως ἔλθοις.

ἑτέρα πρὸς αὐτόν

Ἆρ' ἔστι σοι τὰ ἴδια ἐμοὶ καὶ κοινά; ἢ τὰ ἐμοὶ πρὸς σὲ ἴδια καὶ **XXIV** (CLXXIII)
κοινά; ἐγὼ γὰρ κοινοῦμαι τοῖς ἰδίοις τοῖς σοῖς· | διὰ τοῦτο καὶ κοινὰ f. 3r
τοῖς σοῖς ἰδίοις τὰ ἐμὰ ποιῶ ἴδια· καὶ τοῦτο ἴδιον φιλοσόφου διανοίας ἐστί, τὸ ἑνοῦν τὰ κατά τι διῃρημένα καὶ ἐν πράγμασιν ἄλλοις καταλ-

---

XXIII Argumentum ' *Cum morbo liberatus huc adveneris, laetus audies quae facta dictaque hic sunt. Divi Gregorii librum ad te misi* '.

4. δὺς ἀνασχετοῦντες C. || 6. συνεσκίασε μὲν, τα" C. || 11. γνώσῃ C. || 13. πολλ- C. || 15. ἐλθέοις C.

XXIV Argumentum. ' *Multis argumentis evincam omnia mihi tecum communia esse. Idcirco mihi salus tua curae in primis est* '.

λήλως διαιρεῖν τὰ συνηνωμένα. ὅρα νῦν τὰ λεχθέντα σοι, ὁ γὰρ λόγος κινεῖ βραχυλογίᾳ γνῶσιν ὑψηλοτάτην λεχθῆναι, καὶ προσδέχου νουνεχῶς καὶ καλῶς. κατὰ τί μὲν ἑνοῖ τὰ φύσει μὴ πάθη ποιοῦντα φύσις καλῶς; ὁπόταν τὸ τί οὐκ ἔχῃ φθαρτότητα· ὅταν δέ γε τὸ οἰκοθεν τί φθείρῃ τὸ ὅθεν ἦν, ἡ φύσις κατὰ τὸ δυνατὸν ἀποδιώκει αὐτὸ διὰ τὸ τῶν ἡνωμένων μὴ γενέσθαι διαίρεσιν. τὸ γὰρ περιττεῦον ὑγρὸν κἄν τε χυμοῖς κἄν τε στοιχείων ποιότησιν ἁπλῶς καὶ μὴ κατὰ λόγον χυμῶν φύσις διώκει οἰκονομοῦσα τὸ μὴ γενέσθαι τῶν συνηνωμένων διαίρεσιν· ὥστε οὐ διαιρεῖ αὐτῶν τὴν ὅλην ὑγρότητα, ἀλλὰ τὴν τινά, ἵνα μὴ τῷ πλεονασμῷ διάρρηξις τούτοις γένηται. διαιρεῖ γοῦν τὰ συνηνωμένα κατά τι, ἵνα μὴ λυθῶσιν ἁπλῶς· τοῦτο δὲ πᾶσι κοινῶς καὶ ποιεῖ. τὸ δέ γε τρέφον τοῦ τρεφομένου διῃρημένον ὑπάρχον, φύσις ἔλξιν τούτου ἐξ ἐκείνου ποιησαμένη συνενοῖ κατά τι τὰ διῃρημένα, οὐχ ἁπλῶς δέ γε, ἀλλὰ κατά τι, ὅπερ οὐ φθαρτικόν· τῇ τροφῇ γὰρ οὐχ ἕνωσις νοῦ ἀλλὰ σώματος, νοῦς δὲ ψυχῆς ὢν ὀφθαλμός, ψυχὴ δὲ σύνδεσμος σώματος, σύνδεσμος δέ γε κοινωνεῖ πάντως τοῦ, οὗπερ συνδεῖ, καὶ νοῦς ἄρα διὰ μέσου ψυχῆς ἐν ὅλῳ τῷ σώματι ἥνωται καὶ ἀντιστρόφως· ὅτι καὶ αἱ τῶν μελῶν κινήσεις πᾶσαι διὰ τῆς νοερᾶς κινοῦνται θελήσεως παρὰ τῆς ψυχῆς. ὅλος γοῦν ὁ βροτὸς κρᾶμα ἐκ ψυχῆς καὶ νοός τε καὶ σώματος· καὶ ἡ τροφὴ ἄρα οὐ φθείρει τὸν νοῦν, εἴπερ ὡς τροφὴ φέρεται, οὔτ' αὖ τὴν ψυχήν, ἀλλὰ συνδέει τῷ σώματι ταῦτα, τοὺς ἐν σώματι συγκρατοῦσα χυμούς. κατὰ τί ἄρα τροφὴ τῷ σώματι τῇ φυσικῇ οἰκονομίᾳ συνενωθεῖσα οἰκεῖα αὐτῷ γίνεται παρὰ φύσεως. ταῦτα δὲ ὡς ἐν παραδείγματι λέλεκται. εἰ δὲ ἐξετάσεις, εὑρήσεις οὖν ἐν πᾶσι ταῦτα κατὰ τὴν αὐτὴν τάξιν. ἀλλ' ἐν ἡμῖν οὐχ οὕτως, ἀλλὰ κρειττόνως· πᾶν γὰρ τὸ ἐξ ἐμοῦ διαιρούμενον, καὶ ἐκ σοῦ· καὶ πᾶν τὸ ἡνωμένον ἐν σοί, καὶ συνηνωμένον ἐμοί· πλὴν δέ γε κατὰ τί τε καὶ κατὰ τί· τί δὲ καὶ τί λέγω τὸ ἴδιον καὶ μὴ ἴδιον. τοσοῦτον γὰρ ἡμῶν ἡ ἀγάπη κατεκράτησεν, ὅτι καὶ τὰ παρ' ἑκατέρων ἴδια ἐποίησεν εἰς κοινά· ἐπείπερ οὐ πάθη ταῦτα ποιεῖ, ἀλλὰ συγκρατεῖ καὶ συνδεῖ νόας, νοήματα, πράξεις, θελήσεις, σχέσεις καὶ πάντα κοινά· ἴδιον δὲ τῶν ἑκατέρων, μὴ τῶν ἑκατέρων ὑπάρχον, πατρότητα κατέλειψε καὶ υἱότητα, ἐπειδὴ οὐ κοινὰ ταῦτα, ἵνα μὴ διαιρῶνται ἀλλήλων

8. φύσις scripsi: φύσεις C. || 9. ἀποδιώκη C. || 24. τροφὴ ἄρα scripsi: ἄρα τροφὴ C. || 26. συγκρατοῦσαν C. || 29. οὖν scripsi: ἂν C; τὴν αὐτὴν τάξιν scripsi: τὴν τάξιν αὐτὴν C. || 31. ἐν deleverim.

τὰ ἀξιώματα. σὺ γοῦν ἄρα ἐμὸς κατὰ πάντα καὶ ἐν ἐμοὶ διὰ παντός σου νοήματος καὶ κινήματος, ἐγὼ δὲ ἐν σοί· καὶ οὐ κωλύει ἡμᾶς ἡ διάστασις. αἰχμαλωτίζει γὰρ ἡ ἀγάπη τὴν φύσιν καὶ τυραννεῖ καὶ τὰ καιρικά. ὅρα νουνεχῶς τὰ λεχθέντα σοι καὶ ἐξέτασον, ἐξετάζων καὶ πείθου, πιστεύων καὶ ἐνστερνίζου ταῦτα κρατῶν. πρὸ τῶν ἄλλων δὲ νῦν τῆς ὑγείας ἐπιμελοῦ. περὶ ταύτης γὰρ μανθάνοντες καὶ ἡδεῖαν ἔχοντες εὐφραινόμεθα καὶ ὅσον γλυκαινόμεθα μάλιστα. τὸν δὲ μὴ ἐξηγεῖσθαι βουλόμενον πεῖσον αὐτὸν ἐξηγήσασθαι. οἶδα γὰρ εἰ ἐξηγήσεται, τερφθήσῃ πολλά, πλὴν εἰ καὶ τὸν Αἰγοφόρον συμπαραλάβῃ. περὶ δὲ τοῦ ῥωσθῆναί σε ἀνάγαγε πρὸς τὸν Θεὸν τὴν πεποίθησιν.

ἑτέρα ἐπιστολὴ πρὸς αὐτόν

XXV (CLXXIV)

Ἤδη καὶ πάλιν περὶ τὸν δυτικὸν ὁρίζοντα τὸ ἡλιακὸν σέλας εἰσήλασεν, ἐπειδὴ τὸ τοῦ ὅλου σώματος αὐτοῦ ἥμισυ περιήχθη τοῖς κατωτέροις κατὰ τὴν αἴσθησιν. ἡμεῖς δὲ λόγους οἰκονομίας καὶ ἐκστρατείας τοῖς ἀνακτόροις ἐτάξαμεν. ἵνα δὲ μὴ κομπηρότερον εἴπω, ὁ Νέστωρ ἢ καὶ ὁ Λαέρτου νενίκηκε· (καὶ σὺ γίνωσκε τίς ἂν οὗτός ἐστιν). ὅμως μέντοι καὶ καλὰ καὶ λίαν καλὰ πάντα ἔδοξε καὶ δόξαντα τὸ κῦρος καὶ ἔσχον, καὶ ἤδη πράττονται ὡς διέταξαν. ὑπὲρ γοῦν τῶν ἄλλων πάντων, ὧν ὁ Θεὸς τὸ νῖκος ἡμῖν ἐπέδωκε, τὴν τοῦ Καρυανίτου ἀγγελίαν προκρίνομεν, ἐπειδὴ τὴν σὴν ὑγείαν, κάλλιστέ μου παῖ, διεκήρυττε καὶ ταύτην μετὰ φυσικῆς ῥώσεως ἀδιάβλητον.

ἑτέρα πρὸς αὐτόν

f. 8v

XXVI (CLXXV)

Ἡ μὲν ἀγάπη οὐδὲ τὸν τυχόντα ἐκτὸς σοῦ ἐᾷ καιρὸν εἶναί με, ὅτι ἀγαπῶ σε κατ' ἐξοχήν· ἡ δὲ νόσος τυραννήσασα τὴν προαίρεσιν

XXV Argumentum. ' *De bello gerendo prudentiorum virorum sententiae vicerunt. Te valere scimus et gaudemus* '.

3. λόγους ex λόγον corr. ut vid, C. || 3 sq. ἐκστρατείας C. || 5. λαερτίου C.

XXVI Argumentum. ' *Tuae valetudinis causa te abesse patior, quamquam est quod tuam praesentiam hic desiderem* '.

1. ἐκτός σου C.

διηρημένον τοπικῶς ἐξ ἡμῶν εἶναί σε ἔπεισεν. ἀλλ' εἰ καὶ τῆς ἀγάπης μὴ μνημονεύσω εἰς αὐτὸ τοῦτο νυνί, ἀλλ' οὖν ἡ ἀνάγκη τοῦτο τοῦ πράγματος ἀπαιτεῖ. λόγοι καὶ γὰρ ἐνταῦθα, δι' οὓς ἰδέσθαι σε ἤθελον. ἡγοῦμαι δὲ βέλτιον εἶναι τὴν σὴν ἀνάπαυσιν εἰς ὑγείαν, ἢ τελεσθῆναι τὰ ἐμοὶ καταθύμια. τούτων δὲ ἀκούσας μὴ θροηθῇς· οὐ γὰρ καθ' ἡμῶν ἐστι ταῦτα, ἀλλὰ κοσμικώτερα καὶ οἷον εἰπεῖν συμβουλευτικώτερα. ἐγὼ δὲ τὴν σὴν ὑγείαν σπεύδων καὶ μόνην ἰδεῖν οὐχ ὁρῶ τοὺς ἑτέρους. διὸ αἰτῶ σε ὅπως καὶ σὺ ὁ αὐτὸς τοῦτο συνεργῇς μετὰ γνώσεως, ἵνα πρὸς ἡμᾶς ἐρρωμένος ἐπανελθὼν χαρήσῃ γε πάμπολλα, ὦ τέκνον ἐμὸν Μουζάλων γλυκύτατον.

ἑτέρα πρὸς αὐτόν

XXVII (CLXXVI) Ὁρῶ τὸν ἀέρα καὶ γινώσκω τὸ χρήσιμον· σκοπῶ τὸν καιρὸν καὶ τὴν ἐπίτασιν προβλέπω τῆς ψύξεως. ἐνθυμοῦμαι τὸ σῶμα καὶ διὰ τοῦτο ταῦτα νοῶ*** πρὸς δὲ τὴν νόσον ὡς μὲν ἴδια, ὡς δὲ οὐκ ἴδια. ἆρ' οὖν, εἰ τήν ἐπίτασιν προσέξεις τῆς ψύξεως, ὠφελήσει σε τὸ κατάστημα μάλα γε, ἐπειδὴ καὶ τὸ σῶμα κατὰ κρᾶσιν αὐτοῦ χρῄζει καὶ τὸ ἔθος αὐτὸ ἀπαιτεῖ· τὴν δ' ἐπίτασιν τὴν τῆς ψύξεως δέον ἀποφυγεῖν· ἀλλὰ σὺ μὲν μὴ δεόμενος τάξεως ἄλλου τὴν τοῦ σε τάξαντος εἰς τάξιν εὐμενῆ εὐτάκτως τάξιν προσλάμβανε, κάλλιστέ μου υἱὲ Μουζάλων, εἰς σὴν ῥῶσιν ἀπερικλόνητον.

ἑτέρα πρὸς αὐτόν

XXVIII (CLXXVII) Ἔστι μοι δὲ καὶ ἡ σὴ ἄγρα ἔδεσμα ψυχικόν· καινὸν δέ, ὅτι οὐ καὶ σωματικόν, ἀλλὰ πρὸς τοὺς ἔχοντας αἴσθησιν οὐ δόξει καινόν· ἐπειδὴ ψυχὴν μᾶλλον ἔθρεψε καὶ οὐ σῶμα. τὸ γὰρ ἡδύνον, εἴτε δι'

---

8. ἔπεισεν] malim ἐποίησεν. || 7. οὐ γὰρ scripsi: οὐ δὲ C. || 10. αἰτῶ σοι C.

XXVII Argumentum. *' Cum hiems immineat, curavi ut vestes haberes ad frigus propellendum aptiores '.*

8. lacunam statui. || 4. ἆρ' C. || 5. ἀν C.

XXVIII Argumentum. *' Pars praedae quam ad me misisti magno me gaudio affecit praesertim cum te ad venandum rursus valere intellexerim '.*

1 sq. οὐ καὶ scripsi: καὶ οὐ C.

αἰσθησιν ἢ καὶ ἄλλως εὐφραίνει ψυχήν, τρέφει ταύτην, καὶ μᾶλλον εἴπερ ἔστιν αἰσθητικόν. τοίνυν οὖν ἆρα τὸ σὸν κυνηγέσιον δῶρον, ὑπομνῆσαν ἡμᾶς, ὅτι σὺ τοῦτο διὰ χειρῶν ἤγρευσας καὶ ὅτι ἀπάρτι διὰ Θεοῦ πρὸς τὰς πρώτας ἐπανῆλθες ἀναστροφάς, κάλλιστέ μου υἱὲ Μουζάλων, χάριν ἐδωρήσατο τὴν ἀνέκφραστον. ὦ τῆς εὐεργεσίας. τίς ἐστι Θεὸς ὡς ὁ Θεὸς ἡμῶν; ὦ τῆς πλημμύρας τῶν δωρημάτων· εὐχαριστοῦμεν τῶν εὐεργετημάτων· ὦ τῆς ἀνεικάστου ἀγαθωσύνης ἀπειράκις, διότι ὁ πλάστης (τὸ ζητούμενον) κατῳκτείρησε ποίημα· ἐξ οὗ καὶ ταχέως πεποιθὼς τὴν σὴν ἕνωσιν εὐεργετηθῆναι ῥώσει ψυχῆς καὶ νοός τε καὶ σώματος. τὸ δὲ κυνηγεῖν σε κόπου τοῦ τυχόντος ἐκτός, ὡς εἰκός, ἐπευφραίνομαι.

ἑτέρα πρὸς αὐτόν

XXIX (CLXXVIII)

Νῦν δὴ τοῦ ὕπνου προσανασφήλαντες οὐκ εἴδομεν ἄγγελον σόν· οἶμαι δὲ ὅτι ὁ σφοδρὸς ὑετὸς τοῦτον ἐκώλυσεν. ἀλλὰ διακρίναντες οὕτως ἔχειν αὐτό, οὐκ ἐπαστεύσαμεν καὶ αὖθις αὐτῷ, διόπερ ἀπολύσαντες τὴν τῇδε γραφὴν δι' αὐτῆς ἐρωτῶμεν· 'πῶς ἡ ἐναλλαγή σοι τοῦ καταστήματος ἤρεσε'; καὶ σὺ δ' ἀνταποκρίνου τὸ 'ἀγαθῶς.' περὶ δὲ τῆς προσοχῆς τῆς ὁρισθείσης σοι διαίτης διὰ τὴν ψύξιν ἀρίστως βουλεύου, ἵνα τὴν ῥῶσιν δι' αὐτῆς λαβὼν ἐκ Θεοῦ, κάλλιστέ μου υἱέ, ἐν τερπωλῇ ἀρρήτῳ κατίδῃς ἡμᾶς.

ἑτέρα πρὸς αὐτόν

XXX (CLXXIX)

Ἀριστοκράτιστον πρᾶγμα ἡ ἀληθὴς φιλία καθέστηκε· καὶ πᾶν, ὅ τι δή γε συγγενειάζει, ταύτην ἔχει ἀρχήν· ἀντίκειται δὲ τὸ δόγμα τοῖς τὸ νῖκος ἀρχὴν τῶν συνδραμόντων εἰς τὸ εἶναι δοξάζουσιν. ὅπου γὰρ ταύτης ἡ συνδρομή, καὶ Θεὸς ἐν μέσῳ τῶν ἡνωμένων. ἑκολάσθη

---

7. πρῶτας C. || 13. κυνηγεῖν scripsi: κυνηγᾶν C.

XXIX Argumentum. *'Cum nuntius tuus nondum adesset, scripsimus ad te, ut quid ageres et quomodo te haberes ad nos rescriberes'.*

1. δὴ scripsi: δὲ C. Num πρῴ ἀνασφήλαντες? || 2. τοῦτον scripsi: τοῦτο C.

XXX Argumentum. *'Vera amicitia inter nos exstat. Rerum hic gestarum minimam partem tibi nunc narrare satis est'.*

2. δή scripsi: δέ C.

δὲ τῇ προτάσει τοῦ εἶναι φιλίαν ἀληθινήν· τῷ γὰρ μὴ ἀληθῶς ἡνωμένῳ ἄλλῳ κατὰ τὸν λόγον οὐ φιλοτιμοῦμαι τὸ φιλικόν· ὁ δὲ κατ᾽ ἀλήθειαν ἄλλῳ δέδεται ἔχοι ἂν καὶ τὴν φιλίαν ἀληθινήν. σὺ δὲ πάντως ἐκ νεότητος ἀνατραφεὶς ἐν ἡμῖν καὶ φιλῶν ἃ φιλοῦμεν, ἐπειδὴ σε σοφίας ἐτιθηνήσαμεν λόγοις, καὶ στέργων ἃ στέργομεν, ὅτι ηὐξημένον σε στερρᾷ τροφῇ θεοσεβείας ἐθρέψαμεν, καὶ πράττων ἃ θέλομεν, ἐπειδὴ μετὰ τὴν τῆς ἡλικίας τελείωσιν τὰ ἡμέτερα διανοήματα τοῦ νοὸς πάντα σοι ἀπεθησαυρίσαμεν, καὶ ὅλος ἁπλῶς τῆς ἡμετέρας ἀγάπης καθεστηκὼς συνῆξας ὁμοῦ νικός τε καὶ φιλίαν καὶ καταλλήλως |
f. 4r τῇ ἡμῶν ἀγάπῃ δι᾽ αὐτῶν ἀδιάρρηκτα συνεδέθης. τὰ γὰρ τοῦ σκότους ἔργα ἀποδιώξας καὶ νικήσας καὶ ἀφαντώσας καθὼς ἐδιδάχθης, συνῆξας τὴν ἡμῶν ἀγάπην, ταῦτα πάντα νικήσας, τὰ δὲ τῆς ἀληθείας καὶ πραότητος καὶ φρονήσεως φυήματα καὶ πασῶν ἄλλων τῶν ἀρετῶν τὴν γνῶσιν καὶ πρᾶξιν ἐνστερνισάμενος, ταῦτα δὲ διὰ τῆς ἧς οἶδας ἀναγωγῆς ἐργασάμενος, παρ᾽ ἡμῶν ἐφιλήθης καὶ διὰ τῶν ἑκατέρων, νίκης τε καὶ φιλίας, παρ᾽ ἡμῶν τὴν ἀληθῆ φιλίαν ἔσχες ἀριστοκράτιστον. ἀγάλλου τοίνυν ταύτῃ ἐπεντρυφῶν. οὐ γὰρ ἡμέτερόν τι νομίζεται ταύτης ἐκτὸς σοῦ ἀγαθόν, κάλλιστέ μου υἱέ. ἐν τοῖς ὀχυρώμασι γὰρ καὶ προπυργώμασι ταύτης ἀσφαλίζου κατὰ πάντα καλῶς. φιλοτίμημα γὰρ ἔσχες Θεοῦ ταύτην ἀριπρεπέστατον. καὶ ταῦτα μὲν οὕτως.

Ὁ δέ σοι διεμηνυσάμεθα ἀπέβη καινόν· ὁ Παδυάτης ἀπήλπισε τὸ συνάλλαγμα, ὁ Πακτιάρης τέθνηκεν ἱππεύων ταταρικῶς, ὁ Κρατερὸς καμυτζίζει ἀληθεστάτως καὶ οὐ τζινεύει, ὁ Στρογγύλος εἰς ἡμᾶς πολλὰ ληρήσας ἐταπεινώθη, καὶ ὁ Ἐφέσου δὲ διὰ ταῦτα βαίνει στηθοπρεπῶς. τί χρὴ τοῦ εἰπεῖν; ὁ ὄρθρος ἐτελειώθη, καὶ ἡμεῖς εἰς τὰ ἀνάκτορα τρέχομεν. ἔστι δὲ καὶ ἄλλα πολλά, ἅτινα νῦν οὐκ ἐδόθησαν τῇ γραφῇ. ὅταν δὲ πρὸς ἡμᾶς καταλάβῃς ἐν ῥώσει τελείᾳ, καλῶς σοι πάντα διασαφήσομεν.

ἑτέρα πρὸς αὐτόν

XXXI (CLXXX) Τὴν διελθοῦσαν ἡμέραν ἕως νύκτωρ, ἢ καὶ ἕως δευτέρας ὥρας νυκτός, διελθόντες ἐν ἐξετάσει τινῶν πραγμάτων, ὧν ἔγνως τὴν πει-

---

7. ἔχει C. || 9. ἐτηθηνήσαμεν C. || 13. συνήξας C. || 22. τοις] το/// C: litterae ις in chartae foramine perierunt. || 27. τζινεύει *fraudem facit? τζίνα fraus* adnotavit Ducange. στρογγύλος C.

XXXI. Argumentum. '*Multa mihi somnos avertunt, quamquam ridendi causae non desunt*'.

ραν, ἐξεταζόμενοί τε καὶ ἐξετάζοντες, καὶ τῇ ὅλῃ ἑσπέρᾳ αὐτῇ εἰργασάμεθα τὰ αὐτά. διὸ καὶ τοῦ ὁμοίρου τῆς νυκτὸς διελθόντος καὶ πρὸς αὐγὰς ταύτης ἀπάρτι βουλομένης ἐγγίζειν, τάχα τῆς ὁμιλίας διέστημεν. ἀλλὰ τῇ τῶν συνήθων ἕλξει καὶ τῇ τοῦ δείπνου γεύσει καὶ τῆς γεύσεως τῇ ἡδύτητι διήλθομεν ὅλην αὐτήν. ἤδη δὲ καὶ ὁ ἑωσφόρος ἀνέβη καὶ ὁ φωσφόρος ἤγγιζε. καὶ τίς ἂν ὕπνου γλυκεροῦ γεύσηται; περὶ τὸν ὄρθρον ὁ Ἀχυράους. τίς ἂν ὁμιλήσῃ αὐτῷ στομάχου πάσχων παθήμασιν; ὁ Ἐφέσου περὶ τὴν πύλην· ἀλλ' ἐμποδίζει τὸ καρηβαρικὸν αὐτῷ ξυντυχεῖν. ἐκ γὰρ τῶν συριγμάτων αὐτοῦ ἐπιτείνει τοὺς ἀδιαφορήτους τοῦ ἐγκεφάλου ἀτμούς, χασμοὺς ἐμποιῶν καὶ πταρμοὺς καὶ εἴ τι ἄλλο νωθρόν. ὁ Βονιφάτιος προσεδρεύει. τίς δὲ μετὰ τούτου συναρεῖ λόγον; ἔχει γὰρ δύο ἀδελφοὺς αὐτοῦ, κόμην Ῥηγέτον καὶ συρ Μαφρέ· ὃς καὶ διαμαρτύρεται αὐτοῖς καθ' ἑκάστην, ἵνα μὴ ἀπέλθωσιν εἰς τὸν τόπον τοῦ ῥηγὸς Κορράδου. ἀλλ' ἔχουσι συρ Γαλβάνην οὗτοι καὶ μαρκέσιν Λάντζα· ἀκουσάτωσαν αὐτῶν. ὁ δὲ δῆμος λέγει αὐτοῖς· εἰ συρ Γαλβάνον καὶν ταμᾶ μπλάκας, οὐκ εἰσακούσουσιν, οὐδὲ τινὶ συρ Τιμπάλδῳ, εἰ ἐκ νεκρῶν ἀναστῇ, πεισθήσονται. καὶ μεταξὺ τούτων χάσμα ὁ Ἀργυρόπουλος καὶ ὁ Κότζης ἵστανται, ἵνα οἱ κοτζίζειν βουλόμενοι πρὸς τὴν Νικαέων μὴ δύνωνται, μηδὲ οἱ ὑπομνηματογράφοι πρὸς Θεσσαλονίκην διαπερῶσι. λέγει οὖν πρὸς αὐτὰ ὁ Μερκούρης· ἀλλά, πάτερ ὀψαρᾶ, καβουριάριν στεῖλον ἐμοί, ἵνα ἐλθὼν οὗτος καταψύξῃ τὴν γλῶττάν μου τὸν μυστικὸν καὶ τὸν σαπωνόπουλον παρακλητεύσας πολλά. ταῦτα λέγων καὶ φωνῶν ἐξημέρωσεν. ὁ ἔχων καὶ τὴν σήμερον πόδας ἵστασθαι κουτζευθήτω ταχύ. σὺ δέ, κάλλιστέ μου Μουζάλων, ἀπόλαυε ῥώσεως.

ἑτέρα πρὸς αὐτόν

XXXII (CLXXXI)

Ἡμέρα τῇ ἡμέρᾳ ἐρεύγεται ῥῆμα σωτηρίας καὶ ὑγείας τῆς σῆς καὶ νὺξ τῶν πρὸς ἡμᾶς εὐεργεσιῶν τοῦ μεγάλου Θεοῦ (καὶ τοῦτο

---

18 sq. non intellego. || 20. ἀργυρο^{πλ} C.

XXXII Argumentum. ' *Deus tuam valetudinem in dies meliorem reddit; qua re animos nostros summa laetitia afficit* '.

1 sqq. cfr. Psalm. XVIII, 3.

λέγω διὰ τὸ ἄπειρον τῶν θαυμάτων) ἀναγγελεῖ γνῶσιν τὴν τῆς εὐθυμίας τῆς ψυχῆς ἡμῶν, τοῦ δεσπότου Θεοῦ τὸ φιλάνθρωπον. καὶ αὖθις οὐκ εἰσι λαλιαὶ ῥυθμῷ βαίνουσαι ἐπιστήμης, ὧν οὐκ ἀκούονται αἱ φωναὶ αὐτῶν καὶ τῶν λόγων αὐτῶν τῇ σῇ ἀνακλήσει ἐπὶ πᾶσαν τὴν γῆν. εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ἄνικμόν τε καὶ γόνιμον, τήν τε τῶν ἁγίων ψυχὴν καὶ τῶν ἀπερριμμένων, ὁ περὶ σοῦ δηλαδὴ τῆς ὑγείας λόγος, καὶ εἰς τὰ πέρατα τὰ πλήρη ὄντα ψυχῶν τῆς τοῦ Θεοῦ σοφίας τῷ οἰκισμῷ, τὰ τῆς μεγαλειότητος ῥήματα· διὰ τοῦτο σὺν σοὶ ἐν τῷ ἡλίῳ τῆς δικαιοσύνης θήσω τὸ σκῆνος μου· καὶ ὡς τυμφίος ἐκ παστοῦ ὡραῖος ἐκπορευθείς, ἐξ αὐτόθι ἐπανέλθῃς ὡραῖος καὶ πρὸς ἡμᾶς. ὦ τῆς ἀγαθωσύνης· ἀγαλλιασόμεθα τότε δή, τότε ὡς φωσφόρος τρέχων ἐκ τροπικοῦ λύπης χειμερινῆς πρὸς θερινῆς ἀγαλλιάσεως τροπικόν, καὶ στηριξομεν ἀτρέπτους τὰς βάσεις, ἐστ' ἂν ὁ ἀνάγων ὕδατα ἐν νεφέλαις ἐκ θαλασσῶν ὑετὸν πρὸς ἡμᾶς ὀμβρίσῃ εὐσπλαγχνίας πρωΐμου τε καὶ ὀψίμου· οὐ γὰρ ἀμερῶς ψηγματίσει ἀλλὰ στερεῶς πλημμυρήσει (καὶ αἱ λέξεις | f. 4v εὔδηλοι τοῖς ἐπισταμένοις), καὶ δώσει ἡμῖν ἀντὶ τῶν ἡμερῶν ὧν ἡ σὴ νόσος κατέθηκε πρὸς λύπην ἀπὸ χαρᾶς τοῦ ὑετοῦ τῆς εὐεργεσίας αὐτοῦ τὴν καρποφοράν· καὶ φαγώμεθα τὴν τερπωλὴν τῶν δωρημάτων αὐτοῦ καὶ ἐμπλησθησόμεθα· καὶ πᾶσα μὲν ἀνομία κατὰ Δαβὶδ ἐμφράξει τὸ στόμα αὐτῆς καὶ οὐ μὴ καταισχυνθῶμεν εἰς τὸν αἰῶνα Κυρίῳ ἐλπίζοντες. ταῦτα τοίνυν λεγόντων ἡμῶν καὶ σοὶ προσομιλούντων ἐν πνεύματι, σημειώσει τίθει τοὺς λόγους αὐτούς· καὶ εἰ μὲν εὐχὰς ὑπολάβῃς αὐτούς, στέργομεν· εἰ δ' ὁμφὰς ἱερὰς καὶ μυστήρια κυριακὰ μετ' αἰδοῦς, οὐκ ἀναβαλλόμεθα· εἶτ' αὖθις προμαντεύσεις ἐξ ἐννοιῶν ἀγαθῶν συμβαινουσῶν ἀρετῇ, ἃ λέγεις ἡμεῖς δὴ οὐκ ἂν ποτε εἴπωμεν, καὶ ὡς ἂν διακρινῇς συνελὼν εἰπω φιλήσομεν, κάλλιστέ μου υἱὲ Μουζάλων καὶ τῆς ἐμῆς ἀγάπης ῥῶσις, ὃν καὶ ἐρρωμένον εὔχομαι κατιδεῖν.

---

4. εὐθυμίας scripsi: ἀθυμίας C. ‖ 5 sqq. Psalm. XVIII, 4 sq. ‖ 11 sqq. cfr. Psalm. XVIII, 6. ‖ 15. θερινῆς ἀγ. τροπικὸν scripsi: θερισμοῦ ἀγ. τροπικῆς C. ‖ 17 sqq. cfr. Ioel II, 23. ‖ 22 sq. Psalm. CVI, 42. ‖ 23 sq. cfr. Psalm. XXX, 2, LXX, 1. ‖ 24. καὶ σοι C. ‖ 28. δὴ scripsi: δὲ C.

ἑτέρα πρὸς αὐτόν

Συνωρχήσατο τῇ ψυχῇ καὶ τὸ σῶμα χθές, ὅταν εἶδε τὸν τῆς σῆς **XXXIII** (CLXXXII)
γραφῆς διακομιστήν· ἐρυθρότης περὶ τὰς παρειὰς δηλοῦσα τὸ ἀληθὲς τῆς χαρᾶς, γέλως περὶ τὰ χείλη καὶ τὸ στόμα τῆς λογικῆς σῆς ὑγείας σημαντικόν, σώματος εὐρωστία ἀκόπωτόν τινα τῆς χαρᾶς ὁδὸν δεικνύουσα, μελῶν ἡδύτης καὶ αὐτὴ δηλωτικὴ τῆς ὁλοκληρίας τῆς σῆς ἀρρεποῦς· κἀντεῦθεν τερπωλὴ τῶν παρισταμένων (ἔπονται γὰρ τοῖς καλοῖς οἱ καλοί), ἀριστευμάτων πληθὺς τῶν συνορχουμένων καὶ πάντα χαρᾶς μυστήρια γέγονεν. ἤρατο μὲν τὴν νίκην ἡ ἐμὴ σκηνὴ διὰ ταῦτα, ἠνέγκατο δ' ἡ νόσος διὰ ταῦτα τὴν μέλαιναν, κἂν ὅλη κατὰ ποιότητα τάξεως μέλαινα· λελῃθότα ἤδη τὰ λυπηρὰ ἐν ἡμῖν κατὰ φύσιν, ἀνταλλαττόμενα δὲ καὶ ἀνταλλαχθέντα τὰ χαροπὰ χειρὶ Θεοῦ διὰ τὴν προαίρεσιν· πάντα πρὶν μὲν στερκτὰ διὰ τὴν ὑπομονήν, τὰ νῦν δὲ φίλα διὰ τὸ ἀνυστικὸν τοῦ Κυρίου μου τῆς εὐεργεσίας. ἐθαυμαστώθη γὰρ ἐν ἡμῖν ἡ γνῶσις αὐτοῦ, ἐκραταιώθη καὶ οὐ μὴ ὑποσκελισθῇ. ἀρ' οὖν διὰ ταῦτα καὶ ἡμῖν βεβαία ἡ σωτηρία· λῦσον ὅτι τὸ ὑπόδημα ἐκ τῶν ποδῶν σου, ἡ γὰρ νόσος ἀπέδρα ἐκ σοῦ, καὶ λύσας ὅτε καιρός, ἐπάνελθε πρὸς ἡμᾶς τὴν ῥῶσιν θωρακισθεὶς ἐν ὑπεροχῇ τῆς Ἰησοῦ τοῦ Κυρίου μεγαλειότητος. τὰ δ' ἄλλα καθὼς σὺ κρίνεις στέρξω πρὸς τὸ συμφέρον.

ἑτέρα πρὸς αὐτόν

Μηδέν' ὡς ἐμέ, κάλλιστέ μου υἱὲ Μουζάλων, στεῖλαί σοι ἔχων, **XXXIV** (CLXXXIII)
ἄκος πρὸς τό γε νῦν κατεπείγον (ἐπείπερ τὰ πάντα χρήσιμα τῷ καιρῷ

XXXIII Argumentum. *' Quae de te audivi magno me gaudio affecerunt. Brevi te huc omni morbo liberatum venturum confido '.*

5. *τῆς* ante *ὁλοκληρίας* iteratum C. || 12. *πρὶν μέν* scripsi: *μὲν πρὶν* C. || 13 sq. Psalm. CXXXVIII, 6 et cfr. XXXVI, 31. || 15. *ἀρ.* C. Cfr. Exod. III, 5.

XXXIV Argumentum. *' Cum ad te ipse venire non possem, magistrum meum* (sc. *Georgium Acropolitam*; cfr. ep. CLXXXV) *misi '.*

1. *μηδέν'* scripsi: *μηδὲν* C.

πρὸς τὰ πράγματα) τὸν ἐμὸν ἤδη, ὡς ὁρᾷς, διδάσκαλόν σοι ἀπέστειλα. ἀντιστάθμησον οὖν τὸν σταλέντα τῷ στείλαντι, καὶ εἴπερ ὑπεροχὴν εὕρῃς τοῦ στελλομένου κατὰ τὸ δίκαιον, μὴ μέμψῃ τὸν στείλαντα ὅτι πολύδοξόν σοι ἔστειλε δώρημα· ἐξ οὗ καὶ τὴν θεραπείαν τῇ βουλῇ προσλαβὼν τάχιστα ῥώσθητι. εἰ δ' ὀκνήσας βραδυνεῖς, ἕλξεις κἀμέ, κἂν ἴσα ὑπάρχῃ τὰ ἑλκόμενά τε καὶ τὰ πεμπόμενα.

ἕτερα πρὸς αὐτόν

XXXV (CLXXXIV)

Ἥλιου ἀνατολὴ καὶ πραγμάτων μεταβολὴ καὶ εὐθυμίας εἰσαγωγὴ καὶ νόσου καὶ λύπης ἐκδιοπόμπησις· τοιγαροῦν τὴν σήμερον μὲν ἡ εὐθυμία εἰσάγει τὴν νηνεμίαν, καὶ τὴν νόσον καὶ ἀθυμίαν ὁ μέγας Σπυρίδων τῇ μνήμῃ τούτου, πνεύματος διαλύει δυνάμει. οὐκ ἀνακαμψίπνοοι καικίαι πνέουσι νῦν, ὡς μὲν περὶ τὸν ἀέρα στροφὰς καὶ ἀνωμαλίας ποιοῦντες, ὡς δὲ περὶ τὴν ἐμὴν καρδίαν συνάγοντες νεφέλας λύπης. οὔτ' αὖ νότοι ὄμβρους τε καὶ βρασμοὺς τῷ ἀέρι καὶ τῇ ψυχῇ μοῦ ποιοῦντες ὑλικούς τε καὶ νοητούς, καὶ τέλεον ἐκστροβοῦντες καὶ λίμνας ὑγρότητος ἐπὶ γῆς, ἐν ἐμοὶ δὲ αὐχμοὺς στυγνότητος τῇ λύπῃ τὰ ἐναντία ποιοῦντες ἐπὶ κακῷ (τὸ γὰρ ἑκατέρων τέλος δηλητήριον τέλους αἴτια καὶ τοὔμπαλιν)· ἀλλ' αἰθριοφόροι βορέαι καὶ ζέφυροι γλυκεροί, οἱ μὲν περὶ τὸν ἀέρα τὴν ἀταξίαν εἰς τάξιν μετάγοντες, οἱ δὲ τῇ ἠρέμῳ πνοῇ τῇ ψυχῇ μου ἐμποιοῦντες τὴν ἀγαλλίασιν. ἀγαλλιάσθω πᾶσα ἡ γῆ, τῷ παντὶ γὰρ σήμερον κατεκράτησεν ἀγαλλίασις· ἰδοὺ γὰρ ἔβρεξεν ὁ Κύριος πρὸς ἡμᾶς ὑετὸν πρώϊμον καὶ ὄψιμον εὐσπλαγχνίας αὐτοῦ· ὁ ὑετὸς ἔστη καὶ κατεστορέσθη τὰ πνεύματα· πρὸς τὸν αὐτοῦ δοῦλον δὲ δοὺς ἀγαλλίασιν πολλοῖς ἐδωρήσατο τὴν εὐθυμίαν. δέχου τοίνυν ἡμᾶς καὶ σὺ ὁ αὐτὸς ὁ καλὸς ἡμῶν καρδιακὸς ὄρπηξ, ὁ τερπνὸς τῆς
f. 5r ψυχῆς ἡμῶν ῥάδαμνος, ἡ τῆς διανοίας μεσαιτάτη δίνη, | ἡ τοῦ νοὸς πρώτη ἐπιβολή, ἡ τοῦ λόγου ἑπομένη τελείωσις. τὰ γὰρ ἐμὰ πάντα

XXXV Argumentum. '*Dei benignitas tempestatem a nobis avertit et serenitatem reddidit. Laetemur igitur et Deo gratias agamus*'.

3. εὐθυμία scripsi: ἀθυμία C. || 4. τῇ μνήμῃ τούτου: 'in die festo illi dicato'. || 8. τελεο C; aliquid supra erasum est. || 10. δηλῃ τῳ' C. || 13 sq. Psal. XCV, 11. || 14 sq. Ioel. II, 23.

διὰ σέ, εἰ σὺ ὁ αὐτὸς πάντα εἰς τὰ ἐμά. χάρις σοι, ὅτι χάρις σοι ἔρχεται· εὐφροσύνη, ὅτι ἡ τοῦ Κυρίου σου ἔλευσις ἤδη· ἀγαλλίασις ψυχῆς τε καὶ σώματος, ὅτι ὁ σὲ θρέψας κατ' ἀμφω ἤδη καταλαμβάνει πρὸς σέ· ἐξ οὗ καὶ τὴν ἐντελέχειαν λάβῃς τῆς ὑγείας καὶ ἐρρωμένος στήσῃ ἐπὶ τοὺς πόδας σου, ὦ τέκνον ἐμὸν Μουζάλων τῇ ἐμῇ καρδίᾳ καὶ ψυχῇ οἰκειότατον.

ἑτέρα πρὸς αὐτόν

XXXVI (CLXXXV)

Καὶ νῦν δὲ τὸν Ἀκροπολίτην δεξάμενος καὶ παρ' αὐτοῦ τὰ περὶ σοῦ ἐκμαθών, ἠγαλλιασάμεθα ὡς πρὸ πολλοῦ. διὸ τῆς χαρᾶς διττῆς οὔσης, ὅτι διὰ χαρᾶς ἀγγελία ἐγεγόνει καὶ ὅτι βεβαία ἐστὶν ἡ χαρά, καὶ ἡμῖν τῷ τρόπῳ τούτῳ ἐν διπλασιασμῷ τὸ εὔθυμον γέγονεν. ὅρα δέ, κάλλιστέ μου υἱὲ Μουζάλων, ἐκ τούτων τὰ μετὰ ταῦτα, καὶ ταῦτα ὄντα χαρᾶς, καὶ τῇ ἐκείνων ἡδύτητι ῥῶσιν ταχίστην λαβὼν πρὸς ἡμᾶς ταχίστως ἐπάνελθε.

ἑτέρα πρὸς αὐτόν

XXXVII (CLXXXVI)

Μουζάλων μου, τὴν εἰκόνα τῆς ὑπεραγίας Θεοτόκου ὁ δισύπατος πρὸς ἡμᾶς ἐκ σῆς διακομίσας ἀποστολῆς, ἡῦφρανεν ὅτι πολλά· ἐπεί γε ἡ εἰς ταύτην ἡμετέρα πεποίθησις τελείαν ἡμῖν τὴν αἴτησιν ἔχειν ἐκ ταύτης ἔπεισε· διὸ κόσμον μὲν ὑλικὸν ὡς οὐδὲν διεκρίναμεν ταύτῃ προσάξαι, εἴπερ καὶ προσήξαμεν καὶ προσάξομεν καὶ ταῦτα διὰ τὸ τῆς

---

21. εἰς scripsi: εἰς C. ‖ 23. ὅτι scripsi: ὅτε C.

XXXVI Argumentum. *' Quae Acropolita ad nos de tua valetudine attulit magnam spem et gaudium nobis dederunt '.*

3. ἀγγελίαν C.

XXXVII Argumentum. *' Imagine Deiparae motus, quam ad me misisti, laudes ipsius Virginis carmine composui, quod ad te mitto ut gratias agas illi, quae te tuetur '.*

2. δυσίπατος C.

σῆς δωρεᾶς μέγεθος· λογικὸν δὲ καὶ ὅσον ὑπερκείμενον τῶν ἐπὶ γῆς δογμάτων, καλλίστῳ μέλει μελίσαντες ἢ καὶ τάξαντες ὡς οἰκτρότατοι δοῦλοι ταύτης, ταύτῃ προσήξαμεν, καί σοι τοῦτο πεπόμφαμεν. ῥύθμισον γοῦν τοῦτο κατὰ τὸν ῥυθμὸν τοῦτον αὐτὸς σὺ τοῖς ψάλλουσι, καὶ εἶθ' οὕτως ὑμνείσθω δι' αὐτοῦ παρ' ἡμῶν ἡ ὑπέραγνος τοῦ Θεοῦ μήτηρ, ὑμνουμένη δὲ σοὶ μὲν τὴν ὑγείαν δωρήσαιτο, ἡμῖν δὲ ὑπὲρ σοῦ τὴν εὐλογίαν φιλοτιμήσαιτο καὶ ἐρρωμένον παραστήσαιτο πρὸς ἡμᾶς, ὦ τέκνον ἐμὸν καλὸν κἀγαθόν, τὴν ταύτης ὑπερεκπληττομένους ἰσχύν.

ἑτέρα πρὸς τὸν αὐτὸν πρωτοσεβαστὸν καὶ πρωτοβεστιάριον καὶ μέγαν στρατοπεδάρχην κυρὸν Γεώργιον τὸν Μουζάλωνα

XXXVIII (CLXXXVII)

Τῶν ἐν κόσμῳ ἢ μᾶλλον τῷ παντὶ δύο τινῶν ὄντων συστατικῶν, ἐξ ὧν ὁ κόσμος διήρθρωται, ὕλης καὶ ἀυλίας, τὰ τιμιώτερα μέρη τῶν ἑκατέρων σοὶ προσφέρειν πάλαι εἰώθαμεν· ὅθεν τὰ μὲν τῶν ἐν ὕλῃ τερπνῶν, πλοῦτον καὶ ἡδονὴν καὶ τρυφὴν σὺν τροφῇ καὶ ὅσα περὶ τὴν ὕλην καλῶς προσάξαντες, καὶ τὸν μὴ τῆς ὕλης, περὶ δὲ τῆς ὕλης καὶ ἀυλίας τοῦτόν σοι βοῶντα λόγον προσάγομεν Κοσμικήν τινα Στήλην ἢ Βίον ἐν αὐτῷ διαγράψαντες. καὶ σὺ δὲ αὐτὸν ὡς οἰκεῖον σέμνωμα λαβών, ὡς ἀγχίνους τε καὶ ἀκέραιος, πεῖθε ἡμᾶς καὶ ἑτέρους σοι φέρειν, πολλούς σοι καὶ πρὶν φέροντας, ἀπειράκις δὲ μετὰ τὴν τούτου προσδοχὴν ἐπεύχου προσάγειν σοι κόσμους τοιούτους ἡμᾶς, ἐμὸν τέκνον Μουζάλων, ὦ καὶ πνοὴ καὶ αἴσθησις ἐμοὶ καὶ ζωὴ καὶ ῥῶσις, ὁ τοῖς ἐμοῖς ἐρρωμένος ἀνυποστόλως κελεύσμασιν.

---

9. αὐτὸσ C.

XXXVIII Argumentum. *' Opus in quo vitae humanae imaginem expressi tibi dicavi, ut eo lecto alia eiusmodi opera a me scribenda expectares '.*

6. *Κοσμικὴ Στήλη ἢ Βίος* est pars tertia operis, quod Theodorus *Κοσμικὴ Δήλωσις* inscripsit.

ἑτέρα πρὸς αὐτόν

XXXIX (CLXXXVIII)

Τυροφόρος καὶ κρασοφόρος, ὁμοῦ δὲ κατάλληλοι. ζαρκουλάτος καὶ γραμματέμπορος, ὁμοῦ δὲ οὐδείς· ὑψιβόας καὶ ταπεινόφωνος ὁμοῦ δὲ ληρωδημάτων < συμφωνία >· εὐρὺς καὶ σμικρότατος ὁμοῦ δὲ σαθρότατοι· νηπιόφρων καὶ πολύλογος, κερδωτικός < τε > καὶ σεμνοπρεπής, ὁμοῦ δὲ γελοιασταί· κάττος καὶ κνώδαλον, ὁμοῦ δὲ γνῶσις ψιλή· ἐρυθροκάρηνος καὶ μελανδοχεύς, ὁμοῦ δὲ σκηπτοί· τῷ πρώτῳ σκηπτῷ κατὰ ῥάχιν καὶ τῷ τμητικῷ κατὰ τοὺς ὀδόντας χαίρειν ἐξ ἡμῶν προσφωνοῦσι. καὶ σὺ δέ, ὦ τέκνον ἐμὸν κάλλιστον καὶ καλλίστων ἐξηρημένον Μουζάλων, σύναξον τοὺς ἀσπαζομένους καὶ τοὺς ἀσπάζοντας, καὶ συνάξας ἀμφοτέρων τὰ τερετίσματα, τρύγησον ἐξ αὐτῶν εὐφροσύνην· λῦσον δὲ τοὺς μὲν κλοτζίζειν τὸν γέροντα, τὸν δὲ χραίνειν τοῖς ἐμπτυσμοῖς τὰς γενειάδας τῶν αὐτὸν κλοτζιζόντων· μετὰ δέ γε τὸν γραμματέμπορον οἱ τρεῖς κολαφήσαντες ἢ κλοτζίσαντες στησάτωσαν γελώτων δυναμοδύναμιν. ἐξ ἧς ἡδονῆς πολλαπλασιασθεὶς δυνάμει κατὰ δύναμιν σύ, πρὸς ἡμᾶς τὸν γραμματέμπορον στείλας πρὸ σοῦ, τὸν δέ γε Βάκχον γέροντα παρυποκρατήσας, ἵνα διονυσιακῶς ψαλτῳδῇ ἄσιτα καὶ ὡρηταμπέλου καὶ σταφυλῆς μέλη, ἐρρωμένος καὶ ταχείᾳ κινήσει τοῦ ψυχικοῦ τόνου καὶ ὑγιεινοτάτως ἐπάνελθε.

ἑτέρα πρὸς αὐτόν

XL (CLXXXIX)

Τὴν τῶν ὀπωρῶν ἡδυτάτην τῷ ἐμῷ εἰς πάντα ἡδυτάτῳ ἡδέως ἀπέστειλα, ὅτι ἡδέως ἔχει πρὸς ταύτην· διὰ δὲ τὸ ἡδὺ οὐχ ὅλον |

XXXIX Argumentum. '*Ridiculos homines ad te misi, quorum iurgiis et concertationibus delectatus, ad me integer laetusque venias*'.

3. *συμφωνία* exempli causa addidi; nulla lacuna in C. ‖ *σμικροτατον* (οσ) C. ‖ 4. *τε* addidi: *κερδωτικός* in fine versus C. ‖ 5. *κάτθος* C. ‖ 6. *ῥαχιν* C. ‖ 10. *τερεττίσματα* C. ‖ 17. Cfr. Lycophr. 140.

XL Argumentum. '*Poma accipe, quibus fruaris, et si vis mihi pro his gratum aliquid referre, cura ut valeas*'.

f. 5v τὸ ταύτης ἄτομον, ἀλλὰ μέρος. ἐνηδυνθεὶς οὖν τὴν σὴν ὑγείαν ἐμοὶ ἡδυτάτην στεῖλον ἀντιστροφὴν εἰς ἀντίχαριν, ἔχεις γὰρ καὶ τὴν ἰδιότητα εἰς αὐτὸ τοῦτο, ἥνπερ ὁ ἰατρός τε καὶ ὁ φιλόσοφος αἰτίαν ἰσχυροτάτην τε καὶ ἰδίαν ἐν πᾶσι πράγμασιν ἀποφαίνονται.

ἑτέρα πρὸς αὐτόν

XLI (CXC) Οὐδέν μοι καθέστηκεν ἡδύτερον τῆς περὶ τῆς ὑγείας τῆς σῆς ἀκοῆς. διὰ τοῦτο, ὅταν ἔχω αὐτήν, ἔχειν με νομίζω τὸ πᾶν. εἰ τοίνυν ἡδὺ καὶ σὺ ἔχεις τὸ εὐφραίνειν κἀμέ, εἰς αὐτὸ τοῦτο σπούδαζε· καὶ πάλιν βοῶ ὅτι οὐδὲν τούτου ἐμοί, ὦ τέκνον Μουζάλων, ἐστὶ ποθεινότερον. τὰ δ' ἄλλα ὁ μάγιστρος ἐξαγγελεῖ σοι.

ἑτέρα πρὸς αὐτόν

XVII (CXCI) Πρὸς σὲ ἐξ ἐμοῦ τὰ δωρήματα πάντα οὐδέν· ὅτι δὲ τὴν κίνησιν τῆς καρδίας μου μὴ στέγων, ἐνδειξίν σοι ἀπέστειλα· τὸν δὲ κρυπτόμενον μαργαρίτην ἀνακαλύψας, τὴν ἐλπίδα τοῦ ὀστρέου τῆς ἀγάπης λαβέ, καὶ τοῦτο ποιήσας ἔχοις ἂν ὅνπερ ἔχοις· τὴν δὲ τῶν δογμάτων οὐδένειαν μὴ σκόπει· ἐνθυμοῦ δὲ μᾶλλον ὅτι μετ' ἐμοῦ ὑπάρχεις σωματικῶς καὶ καρδιακῶς τε καὶ ψυχικῶς. τὰ δ' ἄλλα τὴν μὲν ὑγίειαν στήριζε σεαυτῷ, τῶν ἡδονῶν δέ, τῶν ἀλόγων ἐκτός, ἐπεντρύφα θαμά, ἐμὸν ὦ τέκνον Μουζάλων ἐρρωμένος δεσμὸς ἀλληλένδετος.

XLI Argumentum. *' Cum mihi nihil sit dulcius quam te sanum esse audire, id in primis tibi curae sit velim '.*

XLII Argumentum. *' Nihil valent mea dona; tu tamen ea tamquam nostri amoris signa accipias '.*

ἑτέρα πρὸς αὐτόν

Ἐμοὶ δὲ καὶ τὸ τῆς σμύρνης εὐφραντὸν καὶ τὸ ἐν ταύτῃ τοῦ **XLIII** (CXCII)
ζεφύρου πρὸς εὐκρασίαν καὶ τῶν βοτανῶν αὐτῆς ἡ ὀδμή, ἐπεὶ γάρ
ἐστι καὶ τοῦ καιροῦ, οὐ καλά μοι φαίνονται ταῖς αἰσθήσεσι, τὰς ζωὰς
γὰρ οὐκ ἔχω πόρρω σου διατρίβων, καὶ διὰ τοῦτο φευγούσης αἰσθή-
σεως εἰσερχομένης ἀναισθησίας, τὰ προγεγραμμένα μοι καθεστήκασιν.
ἀλλὰ λῦσον με τοῦ δεινοῦ ἕλξας, καὶ τῇ ἀνθελκύσει ἑλκύσω μὲν τόν,
εἰς ὃν ἕπομαι, ἕψομαι δὲ τῷ, ὃν εἵλκυσα· τῇ ἄρα ἑλκύσει καὶ ἕψει
καὶ ἀνθελκύσει καὶ ἕλξει πρὸς τόν, ὃν ἀντιστρέφω, τὸν πόθον ἀντι-
στραφῶ, καὶ ὥσπερ ἐκ περιουσίας τὰ τῆς σμύρνης ἡδέα συναχθῶσιν
ἡμῖν, ἵν' ἀμφω τούτων κατατρυφήσωμεν· πρὸς δὲ τούτων ἃ μὲν ὑπε-
σχέθημέν σοι ἀνάμνησον, ἵνα ταῦτα καὶ στείλωμεν· ἃ δὲ ὁ Ἁγιοθεο-
δωρίτης σὺν τῷ κουβουκλαρίῳ πρὸ προσώπου σου ἀστειάζονται, ἡμῖν
εἰς ἡδονὴν ἀναγνώρισον. τὴν δ' εἰς ἀγάπησιν ἀκρότητα περίεχε ἐμήν,
ἐμὸν ὦ τέκνον Μουζάλων ἐρρωμένος δεσμὸς ἀλληλένδετος.

< ἑτέρα πρὸς αὐτόν >

Θαυμάζουσι τὸν σὸν οἱ πολλοὶ καὶ μάλιστα ὅσοι βλέπουσι πρὸς **XLIV** (CXCIII)
τὴν ὕλην, ἐπειδήπερ ἐκ τοῦ κούφου πρὸς βάρος κατένευσε καὶ τὸ
πρὶν ἄυλον εἰς τυρβασμὸν μετηλλάξατο· ὅπερ θαυμαστὸν μὲν ὑπάρχει
τοῖς ἴσως ἐρῶ θαυμαστοῖς· τοῖς δὲ μὴ τοιούτοις ἀπεξένωται τὸ θαυ-

---

XLIII Argumentum. *' Nihil me te absente iuvat; si una esse poterimus nihil amplius desiderabo '.*

In fine addit C.: *αἱ τοιαῦται ἐπιστολαὶ πρὸ τῆς τῆς βασιλείας ἐντελεχείας.* Item ante epistulam sequentem: *αὗται αἱ ἐπιστολαὶ μετὰ τὴν τῆς βασιλείας ἐντελέχειαν, μεθ' ἣν καὶ τὴν αὐταδελφότητα· τούτῳ ἀπεχαρίσατο.*

XLIV Argumentum. *' Risum tenere non poteris, cum noveris me relicta doctrina totum rebus agendis et pecuniae comparandae deditum esse '.*

μάζειν τὰ μὴ δέοντα. ἐν ἐμοὶ γὰρ λόγον ἀντηλλάξατο ὁ χρυσός, ῥητορικῆς κάλλος διαύγεια λίθων, μαργάρων σφαίρωμα καὶ στιλπνότης συλλογισμῶν ἀντιστροφὰς καὶ τὸ γλίσχρον, σχημάτων ἰδέας καὶ ποικιλίας τὸ ποικίλον παντοδαπῶν ἡδονῶν (ἐπειδήπερ τοῖς ἄρχουσι συρρέει ταῦτα πολλά)· ἀντ' εὐαρμοστίας καὶ ἀριθμῶν κώδικες ἐγκατεστιγμένοι τῷ ψήφῳ τοὺς χρυσίνους καταμετροῦντες, ἀντ' ἀστεραρχιῶν καὶ κινήσεων καὶ τελεσμάτων καὶ ἐκτελεσμάτων καὶ ἀποτελεσμάτων γνῶμαι καὶ τρόποι καὶ λόγοι πολλῶν καὶ σχήματα καὶ ὅλον ἁπλῶς περιέχει τὸ καὶ ὑπὲρ τῶν τοῦ Ἥρωνος πνευματικῶν κυμβαλῶδες τῶν ἀλόγων ἀπήχημα. τί ταῦτα; γέλασον ὁ πεπαιδευμένος, ὁ γνῶσιν φιλοσοφίας λαβών, ὁ μετειληχὼς ταύτης τῶν θησαυρῶν καὶ κατακαγχάσας τῆς ἀλογίας ὑγίαινε, ἐν ὑγείᾳ δὲ καταλήξας φθάσον ἡμᾶς, ἐμὸν ὦ τέκνον Μουζάλων ἐρρωμένος δεσμὸς ἀλληλένδετος.

ἑτέρα πρὸς αὐτόν

XLV (CXCIV)

Τῶν ἀδίκων ἐρώτων σαρκὸς καὶ ἀδικωτέρων ἐπιβουλῶν καὶ τῶν ἐναντιώσεων τὰς μετακλίσεις καὶ μεταπτώσεις τίς ἂν ἐξαγγείλῃ πρὸς
f. 6r σέ, κάλλιστε παῖ Μουζάλων καὶ φίλτατε; ὅμως ὁ ταχὺς | εἰς γνῶσιν καὶ λόγων καὶ πτηνῶν ὀξυδερκέστατος τῷ νοῖ καὶ παρδάλεως ὠκύτερος τὸ φρονεῖν καὶ ποδάρκης κατὰ τὰς πράξεις καὶ ἀτρέμας κατὰ τὴν πεῖραν καὶ ὅλος ἀτλαντικὸς καὶ ὅλος ὑπερφυὴς καὶ ὅλος ἔξοχος καὶ ὅλος ὑπερηρμένος καὶ ὑπὲρ αὐτὴν τὴν τῶν ὅλων ὑπερπαράτασιν δώσειεν ἂν ὄρους θάρσει καὶ κανόνας καὶ γνώμας καὶ τρόπους καὶ λόγους καταλλήλους τοῖς πράγμασι. τὸ δ' ὅπως καὶ τὸ διότι τίς ἂν ἕτερος διακρινῇ, ἢ σύ, ὃν αὐτὸς ὑπὲρ τοὺς ὅλους πεπαίδευκεν; ὅτι καὶ τὸ τῆς εὐφυΐας ἔχεις ὀξὺ καὶ τὸ τῆς ἀγχινοίας ἑτοιμοεύρετον καὶ τὸ τῆς φρονήσεως ἀκλινές, ἐκ μιᾶς πηγῆς ἀθολώτου καὶ ἀεννάου διειδεστάτους ἐκβλυζούσης κρουνούς, λογικῆς ἐμπορεύσεως ἐπιστήμης. τὰ δ' ἄλλα καὶ ὅσα πρὸς τὴν ἐπιθυμίαν καὶ τὸν σκο-

---

8. ποικιλον C.

XLV Argumentum. *' Quae tute rectissime intellegis, non est quod te moneam. Huc veni quam primum! '*

πὸν καὶ ὑπὲρ τὰ σοφίσματα καὶ τὰ ἐνδεχόμενα καὶ ὑπάρχοντα ἀναγκαίως δώσει ὁ ἡμέτερος ἀναγκαῖος προστάτης Σπυρίδων τὰ μάλιστα, ὁ σὸς μὲν προστάτης, ἐμὸς δὲ ἀρωγὸς κοινὸς διὰ σέ· σὔτινος ταῖς εὐχαῖς ποδηγούμενος κρόαινε κατὰ πεδίον πᾶσαν νόσον ἐκτιναξάμενος καὶ ὑπὲρ τὰς παρσιμώδεις φωνὰς ἑρμαϊκώτερον τὸν πόδα κινήσας ἀνέτῳ καρδίᾳ, ἐλευθέρᾳ ψυχῇ, εὐρρώστῳ σώματι, διανοίᾳ ἀγαλλιωμένῃ τοὺς τῆς Λυδίας καὶ Μυσίας ὄρους διεκδραμὼν φθάσοις ἂν πρὸς τὴν ὑπερκαθημένην τῶν Βιθυνῶν πόλιν τὴν Νικαέων, ἐμὸν τέκνον Μουζάλων ἐρρωμένος δεσμὸς ἀλληλένδετος.

ἑτέρα πρὸς αὐτόν

XLVI (CXCV)

Ἐπειδὴ μετὰ τῶν ἄλλων καὶ οἱ καιροὶ συμβάλλονται πρὸς τὰ πράγματα, καὶ τοῖς πράγμασιν ἔστιν ὅτε καιρὸς συνεργεῖ, καὶ ἐν ἑκατέροις διαλλήλως ἡ δεῖξις καὶ ἡ ἀπόδειξις ἀκριβὴς τοῖς ἐν ἀκριβίᾳ ὁρῶσιν αὐτά, τί ἂν ἡμεῖς πάθοιμεν τάχα τὸ ἐναντίον ὁρῶντες καὶ τὸ ὁρμὺ τοῦ χειμῶνος, τὴν ἀλγηδόνα τῆς ψύξεως, τὸ βάρος τῶν νιφετῶν, τὸ τῆς ὁδοῦ τελματῶδες καὶ δύσβατον, τὸ ἐξ ὑγρότητος πάθος, τοὺς κόπους, τοὺς μόχθους, τὸ τῆς ὁδοῦ μῆκος καὶ ἄλλα καὶ ἄλλα καὶ πλεῖστα καὶ μυρία τῇ ἀγαθῇ σῇ, ὦ κάλλιστε παῖ, ἀγγελίᾳ ἐναντίως τετραμμένα ὁρῶντες; οὐθὲν ἄλλο ἢ κατὰ τὴν πάλαι περιστερὰν τὰ μετάφρενα τῆς ἐλπίδος χρυσώσομεν καὶ πρὸς τὴν νοητὴν κιβωτὸν τοῦ Θεοῦ, τὴν προσευχὴν δηλαδὴ τῆς ἐλπίδος, τὴν ἀγαθὴν ἀγγελίαν δι' εὐαρεστήσεως τῆς πρὸς τὸν νοητὸν Νῶε, Θεόν, ὡς κάρφος ἐλαίας ἀντιπροσφέρωμεν. ἀρίστου γὰρ ὄντος καὶ μερικῆς εὐωχίας, ἐπειδὴ [γὰρ] ἐκτὸς σοῦ οὐθὲν ἡδὺ καθέστηκεν εἰς ἐμέ, ἄγγελος ἐπέστη χαρᾶς καὶ θεῖαν ἐπιστολήν, ὡς πλάκα μωσαϊκὴν νόμον γεγραμμένον ἔχουσαν, σωτηρίαν τὴν σὴν ἐκ Θεοῦ πρὸς ἡμᾶς διεκόμισεν. ὦ ὡραιοτάτης γραφῆς· τίς ἂν ἐξείπῃ τὴν χαρμονήν; ὦ γλυκείας ἀκοῆς καὶ ἐξαγγέλ-

18. cfr. Hom. *Z* 507.

XL Argumentum. '*Postquam ex insperato te valere audivimus, rogamus te ut huc quam primum accedas*'.

1. Ἐπειδὴ scripsi: ἐπεὶ δὲ C. ‖ 2. συνεργεῖ C. ‖ 9 sqq. cfr. Gen. VIII, 11. ‖ 13. ἀρίστου C.; ὄντος scripsi: ὄντως C. ‖ 14. γὰρ delevi. ‖ 15. πλάκα σαϊκὴν C. ‖ 16. ὡραιοτάτης scripsi: ὡραιότης C.

σεως· τίς ἐκ τῶν εὐστρόφων τῇ γλώττῃ τὸ κάλλος ταύτης ἐξιστορήσειε; τίς Ὀρφέως λάβῃ κινύραν; τίς ἁρμόσει κατὰ τὸν Πίνδαρον; τίς τὸν αὐλητὴν Τιμόθεον ἄξει καὶ διπλασιάσει τῷ κρούματι τὴν ᾠδὴν καὶ δυναμοδυνάμως ἐξαρεῖ φωνὴν καὶ ὃς τὸ ἡμιτόνιον ἀντιστρέψει καὶ χορδὴν κινήσει χαρᾶς καὶ ἐξείπῃ τὸν ἐπῳδὸν καὶ στρέψει στροφὴν καὶ πρὸς τὸν κορυφαῖον Θεὸν τὸν αἶνον ἀντιπροσάξει; τοῦτο γὰρ δεῖ ποιεῖν τοὺς ἐν ἀληθείᾳ ἐν φόβῳ περιπατοῦντας αὐτοῦ. ἐντεῦθεν διὰ τὸ τάχος καὶ τὸ ἐκτέλεσμα καὶ ὅτι πᾶν ὀξὺ ἀγαθόν, καὶ ὅτι τὸ σήμερον δοῦναι τῆς αὔριον κρεῖττον, ὥσπερ ἔφη καὶ ὁ σοφὸς Σολομών, αἰτοῦμεν καὶ ἡμεῖς τὴν ἐνδημίαν σου τάχιστα, ὅθεν ὡς μᾶλλον καὶ μάλιστα ἀπείρους δωρεὰς ἐλάβομεν ὡς ἐπίστασαι. τὸ δὲ πρὸς ἡμᾶς ἐρρωμένον ἐλθεῖν σε, ὦ ἐρρωμένε κατὰ πᾶν ἀγαθόν, ἐν ἔρωτι ἐπιποθοῦμεν ἐπιτερπεῖ.

ἑτέρα πρὸς αὐτόν

XLVII (XCVI) Πᾶν νικος ἕπεται τῇ φιλίᾳ καὶ ἡ φιλία ἐν οὐδεμιᾷ νίκῃ ἡττᾶται, ὅτι μόνη φιλία ἐκ Θεοῦ τὴν νίκην ἔλαβεν εἰς τὸ νῖκος. ἔστι δὲ καὶ τοῦτο συλλογισμὸς καὶ συλλογισμὸς ἀληθέστατος, ὅτι ἐξ ἀληθοῦς καὶ κυρίου καὶ φίλου εἰς κυρίως καὶ ἀληθῶς κύριον φίλον συνελογίσθη δι' ἀληθοῦς συμπεράσματος· τὸ δ' ὅτι καὶ ὁ πρῶτος συλλογισμὸς καὶ ὁ δεύτερος ἀληθής, καὶ ἀμφότεροι ἐξ ἑνός, ἀληθὴς καὶ ὁ πρῶτος, ὅτι τὰ τῷ αὐτῷ ἴσα καὶ ἀλλήλοις ἴσα εἰσίν, ἐν ἰσότητι δὲ οὐκ ἔστι διαφορά, ὅτι ἡ φιλία τὴν ὁμοίαν ἔχει ἀντιστροφήν· εἰ γὰρ ἴσοι οἱ φίλοι καὶ τὸ ἴσον κατάλληλον εἰς τὸ ἓν ἀντιστρέφει πρὸς τοὺς ὁμοίους τε καὶ ἰδίους, τάχα ἂν ἕπηται τῇ φιλίᾳ τὸ νῖκος. ποῦ νίκη; σὺ γὰρ ἐνίκησας. ποῦ ἡ φιλία; ἐξ ἐμοῦ πρὸς σὲ διὰ τὸ ἐκ σοῦ πρὸς ἐμέ. τί
f. 6v λέγεις; οὐ κρίνεις ταῦτα κοινά; ἢ διὰ τὸ τοῦ ἀξιώματος | ὕψωμα τὸ μὲν ἀνυψοῖς, τὸ δὲ διὰ τὴν δούλωσιν καὶ τὴν εὔνοιαν ταπεινοῖς;

---

19. κιννύραν C. || 20. αὐλητήν C. || 24. cfr. Nehem. V, 9. || 26. cfr. Prov. III, 27 sq.

XLVII Argumentum. *'Certamini nullus sit locus inter amicos, sed alter alteri opem ferat'.*

5 sq. non intellego.

ἀλλ' ὅμως ἀνελθε ἐκ τῆς εὐνοίας καὶ τῆς νοσάνσεως εἰς τὰ ἄνω, ἵνα πρὸς τὸ κάτω μέρος τῆς σφαίρας (εἴπερ ἐστὶ κάτω σφαίρᾳ) τῆς τῶν ἀμφοτέρων φιλίας. κἀγὼ ἐλθών, τὸν ἄξονα τῆς ἀγάπης συνδήσωμεν καὶ ἀστρονομικώτερον εἴπω, τοὺς τῶν νοημάτων ἀστέρας καθ' ἑκάστην ἐξαποστέλλοντες, τὰ τῶν μὴ τοιούτων λαμπρύνωμεν διαβούλια, ὦ νίκης ῥῶσις καὶ ῥώσεως νίκη καὶ ἄλλος αὐτὸς τῆς νίκης τε καὶ τῆς ῥώσεως.

ἑτέρα πρὸς αὐτόν

XLVIII (CXCVII)

Πόσην ἔχεις τὴν χάριν· νικᾷς γὰρ κατὰ πάντων ἡμῶν· ἡμεῖς δὲ νικῶμεν ἢ μᾶλλον χαίρομεν· ὅθεν ἡ νίκη τῇ δυναμοδυνάμῳ συνεισδραμοῦσα ἐρρωμένον παραστήσει σε πρὸς ἡμᾶς· ἐξ οὗ καὶ πάσης γνώσεως καὶ βουλῆς τὴν ἐντελέχειαν σχοίημεν.

ἑτέρα πρὸς αὐτόν

XLIX (CXCVIII)

Πολλάκις μὲν ἐμοὶ χρηστόν τε καὶ ὠφέλιμον πρᾶγμα ἡ σὴ διομίλησις, ὦ τέκνον ἐμὸν Μουζάλων κάλλιστον, ἔδοξε καὶ μᾶλλον ὅτε ἐν τοῖς μάλιστα ἐνηργοῦμεν· νῦν δέ, ὅτε καὶ μάχης καιρὸς καὶ τῶν ἀγώνων ἐπρροὴ καὶ τῶν τροπαίων ἐλπὶς καὶ τῆς δόξης κλεϊσμὸς μνημονεύεται, ἀναγκαῖον τὸ χρηστόν τε καὶ τὸ ὠφέλιμον. ἀλλ' ἡ τύχη (καὶ αὐτὸ διὰ τὸ ἀναγκαῖον ἀναγκαιότατον) τὸν ἐμὸν εἶπω καὶ πνοῆς ἴσον καὶ ὑπὲρ τὴν πνοὴν διὰ τὴν ἀγάπησιν, διίστασθαι κατηνάγκασε, καὶ τοῦτο πάλιν ἐπαναλαβὼν λέξω, διὰ τὸ ἀναγκαῖον τὸ τῶν πολλῶν. τί γὰρ ἂν ἕτερον διεῖλε τὸν νοῦν λογικότητος, ἢ τὸν λόγον τῆς διανοίας, ἢ τῆς ἀγχινοίας τὴν εὐφυΐαν, ἢ τῆς εὐφυΐας τὸν νοῦν, ἢ τοῦ θείου τὸ προνοητικόν, ἢ τὸ ῥεῦμα τοῦ ποταμοῦ, ἢ τὴν πλήμμυραν ἐκ

---

15. *σφαῖρα*, corr. *σφαίρα* C.

XLVIII Argumentum. ' *Gaudium nobis affert quod te huc brevi venturum audimus* '.

XLIX Argumentum. ' *Publici commodi gratia longe a te abesse cogor, idque aegre fero. Sed, qui noster est amor, vel longissime absentes una esse videmur* '.

τῆς θαλάσσης, ἢ ἐκ τοῦ τροχοῦ τὴν στροφήν, ἢ ἐκ τῆς σφαίρας τὸ σφαιρικόν, ἢ ἐκ τῶν ἀστέρων τὸ τηλαυγές, ἢ ἐκ τοῦ τετραγώνου τὸ ἰσομερές, ἢ ἐκ τῆς μονάδος τὸ γεννητικόν, ἢ ἐκ τῆς χορδῆς τὸ ἀνειμένον καὶ τὸ ὀξύ, ἢ ἐκ τῶν ἀντιστρόφων τὸ συναντίστροφον, ἢ ἐκ τῶν ἑπομένων τὰ συνεπόμενα, ἢ ἐξ ἡμῶν τὸ κοινωνικὸν τὸ ὁμοῦ καὶ τὸ ἐν ταὐτῷ; ἀλλ' ὅπερ ὡς ἐκείνοις τὸ ἀναγκαῖον τὴν διάζευξιν ἔφερεν ἄν, καὶ τοῦτο οὐ μᾶλλον διὰ τὴν τοῦ ἀναγκαίου ἕνωσιν καὶ ἀνάκρασιν, οὕτω καὶ ἐν ἡμῖν τὸ ἀναγκαῖον, πάλιν εἶπω, τὴν ἀναγκαίαν διάστασιν ἀναγκαίως ἐπήγαγεν. ἥνπερ ὑποτόπαζε ὁλικὴν καὶ κοσμικὴν σωτηρίαν καὶ ὥσπερ κρηπῖδα ῥεύματος χεομένου συνεκτικήν τε καὶ ἀσφαλῆ. διὰ τοῦτο μᾶλλον ἑνούμεθα διιστάμενοι, ἢ διιστάμεθα διιστάμενοι. ἀλλ' ἔμμενε καὶ ἐπιτέρπου ἐμπρεπῶς καὶ ἐπιγάνυσο γηθοσύνως καὶ ταῖς ἡμῶν ἀγγελίαις συνεπικρότει καὶ ταῖς τροπαιουχίαις συνεπαγάλλου καὶ πάντως ἐξέχου τῆς ἡδονῆς (τοῦτο γὰρ ἡμῖν καὶ ἔφεσις καὶ πεποίθησις πρὸς Θεόν)· καὶ μετὰ τῶν ἄλλων ἐπιμελοῦ τῶν τῆς ἀρετῆς καὶ χρῶ σὺν τοῖς ἄλλοις τοῖς χρησίμοις καὶ τὰ ἀναγκαῖα μὴ παραβλέπῃς καὶ τῶν ὠφελίμων τῶν ἐπαίνων μετὰ τῆς συνούσης σοι ἀγχινοίας ἀντιλαμβάνου τὰ ὑπομνήματα.

ἕτερα πρὸς αὐτόν

L (CXCIX) Σὺ μὲν λαβὼν ἐξ ἡμῶν τὸ τῆς πράξεως τέλειον λόγῳ, φροντίζεις οὐδοπωσοῦν· ἡμῖν δὲ φροντὶς καθέστηκε καὶ διττή· ὅτι τῶν, ὧν βουλόμεθα πράξειν, λειπόμεθα παρ' ἑτέρων τῆς ἐντελεχείας κακίστως ἐμποδιζόμενοι, καὶ ὅτι τοῦ, ἐξ οὗπερ εἰς τὰ ἀτελῆ διιστάμεθα, τὴν ἐντελέχειαν ἐκλαμβάνοντες. τοῦτο δὲ πῶς ἂν ἄλλως γέγονεν ἢ ἐγένετο ἢ γένηται ἢ γενήσεται, ἢ διὰ τὸ χρειῶδες τὸ τῶν πολλῶν, ἡμῖν δὲ ἄχρηστον εἰς τοὺς λόγους; τί γὰρ ὀνήσιμον βαναύσοις συνομιλεῖν καὶ τοὺς λόγους ἀτημελήτους καταλιμπάνειν; ἢ τί τὸ διὰ τῶν χυδαίων

17. immo ἀλλ' ὥσπερ ἐκείνοις? || 23. ἐπαγάννυσο C. || 27. χρυσίμοις C.

I. Argumentum. '*Necessitate adducti doctrinae studia omisimus et nos ad res agendas totos contulimus. Bulgari nos fugiunt. Tu ut valeas cura*'.

ἢ τοῦ χυδαίου σωτηρίαν καὶ φυλακὴν ἀπολωλεκέναι τὸν λόγον κατὰ τοῦ λόγου; καὶ τοῦτο λόγος οἶμαι ὁ τοῦ Θεοῦ, καὶ Θεὸς ἡμῶν κατα-μέμψηται, ἐπειδὴ καὶ Σολομὼν ὁ σοφὸς τοὺς μὴ δρασσομένους παι-δείας ὀργίζεσθαι τὸν Κύριον καταγγέλλεται. ἀλλ' ὁ χρόνος ὁ τρόπος ὁ τόπος ἡ πρᾶξις ἡ αἰτία τὰ πρόσωπα πρὸς τὸ χείριστον ἡμᾶς μὲν συνήνωσαν, διέζευξαν δὲ τῶν καλλίστων ὡς κάκιστα· καὶ τοῦτο γέ-γονεν, ὅτι γέγονεν ἡ πρὶν θεωρία ὑλικῆς καὶ συρφετώδους τάξεως ὑπηρέτις. τίς ἡμῶν οὐ κατακαγχάσει; ἀντηλλαξάμεθα γὰρ τῶν καλ-λίστων τὰ χείριστα καὶ δεδώκαμεν λόγον καὶ ὠνησάμεθα τὸν χρυσόν, τὸ ἐλευθέριον τῆς ψυχῆς εἰς δούλωσιν ὕλης προσεφαρμόσαντες· καὶ γέγονεν ἡ τιμῆς ἀφορμὴ ἀφορμίας διὰ τὸ ἄλογον πρόξενος. τίς ταῦτα πρὸς τὰς βίβλους, ἐρεῖς, τίς ἐξαγγελεῖ τὰς ὑπομνήσεις; τίς μνημονεύ-σει τῶν κόπων καὶ τίς συναγρυπνήσει ταῖς ἀγρυπνίαις; ἀλλὰ καὶ τίς τὰς στενοχωρίας | συνάξει τάς, ἃς διὰ τὸν λόγον ὑπέστημεν; νῦν f. 7r ἔνθεν κἀκεῖθεν περισύρει τὸ βάναυσον, ὀφθαλμὸς λιχνεύεται τοῖς χει-ρίστοις, ἐξαπατᾶται τὸ τάχιστον, καὶ βαναύσων γλῶσσαι βοῶσι· 'βά-διζε ταχέως ἐν τοῖς βαναύσοισι' Ἆρ' οὖν οὐ θρηνήσει ταῦτα φιλόσο-φος; ἆρ' οὖν οὐ θαυμάσει συνήθης; ἆρ' οὖν οὐκ ἐκστῇ ἐν τούτοις εὐγενής τε καὶ μεγαλόψυχος; σὺ δὲ καὶ φιλόσοφος καὶ συνήθης καὶ εὐγενὴς κατὰ ψυχήν τε καὶ μεγαλόψυχος. Ἀλλ' ἰδοὺ δεσμοῦσιν οἱ κά-πηλοι (οὕστινας δὲ τούτους ὑποληπτέον) τὸ νοερὸν τῇ ψυχῇ καὶ ἀπά-γουσι πρὸς διαπερατώσεις καὶ συμπερατώσεις καὶ ἐκπερατώσεις τῶν αὐτοῖς βουλητῶν. βαβαὶ τῆς ἀπαγωγῆς. βαβαὶ τῆς προνομῆς τῆς σκυ-λεύσεως. ὁ σκύμνος διασύρει τὸν ἄρνα καὶ ἡ ἀλώπηξ τὴν περιστερὰν τῆς ἀκεραιότητος, καὶ κατακλυσμὸν ἄλλον οὐκ ἐῶσιν ὑποκοπάζειν ταύ-τῃ τῇ κιβωτῷ; καὶ κιβωτῷ τῇ συναγωγῇ τοῦ Θεοῦ, ἣν Ἐμῶν τε καὶ Σκυθῶν καὶ Ταυροσκύθων καὶ Μυσῶν καὶ Φρυγῶν καὶ Περσῶν κύ-ματα πονηρῶν ὑδάτων περιγυρίζουσι, μόνῃ κυβερνωμένην χειρὶ τῆς ὑπερενδυνάμου Δυνάμεως; Ἀλλ' ἰδού σοι τὰ τῶν ἐσχηματισμένων λόγων ἐσχηματισμένα σχηματιζόμενοι τελειώσαντες, πρὸς τὸν ἀσχη-μάτιστον καὶ ἁπλοῦν καὶ ὁρμητικόν, εἶπω καὶ ἀνδρικὸν καὶ φρόνιμον καὶ δίκαιον καὶ σωφρονικόν, διὰ ταῦτα δὲ καὶ ἐνάρετον, τὸν λόγον τῶν λόγων μετατιθέαμεν, γινώσκειν σε ποθοῦντες, ὅτι Θεοῦ προ-

---

27. συνάξει C. ‖ 29. ὑποληπτέ////ον (litura inter é et o) C. ‖ 31. ἀν C. ‖ 36. κυβερνωμένην scripsi: κυβερνωμένη C.

νοίᾳ καὶ τοῦ μεγαλομάρτυρος Τρύφωνος ἀρωγῇ τε καὶ προτροπῇ διὰ τῆς τῶν κρίνων καὶ τῆς τῶν θαυμάτων αὐτοῦ ἐξανθήσεως πρὸς τὰς δυτικὰς καταλαμβάνομεν πεδιάδας. καὶ καταλαμβάνομεν, ὦ φίλτατε καὶ ἰσόψυχε παῖ, θαρσαλεότητι καὶ ῥωμαλεότητι ἐχθρωδῶς ἀναψηλαφοῦντες τὸν Βούλγαρον ὑπὸ δίνῃσιν ἀνυποληψιῶν κρυπτόμενον πρίν, νυνὶ δὲ Θεοῦ δυνάμει τῇ παντεργάτιδι ὑπὸ φαραγγώδεις τε καὶ κοιλώδεις κρημνότητας τόπων σωματικῶς συστροβούμενον, σχισμαῖς τε πετρῶν καὶ λάκκων τὴν ἑαυτοῦ κεφαλὴν ὑποκρύπτοντα ἢ καὶ ὅλον ὑποκρυπτόμενον. Τέρπε γοῦν ἐπὶ τούτοις καὶ συνόδευε μεθ' ἡμῶν τῇ ψυχῇ καὶ τῷ σώματι· τὰ ὑπὲρ ἡμῶν ὑπὲρ σοῦ ἀρίστως πράττε μετ' ἐλλογότητος, ἐρρωμένος βαίνων ἐν τοῖς καλοῖς, ἐρρωμένος καὶ μετὰ νίκης πρὸς σὲ τὴν ἡμῶν ῥῶσιν καὶ πεποίθησιν τῆς ἀγάπης μετὰ ἀξιωμάτων τηλεφανῶν ἐπιδέξασθαι δυσώπει σὺν ἡμῖν λιταζόμενος τὸ Θεῖον, ὦ ἐρρωμένε καὶ διανοίᾳ καὶ νῷ καὶ πίστει καὶ πράξει καὶ πᾶσι τοῖς ἡμῶν δι' ἡμᾶς, ὅπερ ἐστὶ διὰ σὲ πρὸς ἡμᾶς.

ἑτέρα πρὸς αὐτόν

LI (CC)

Πᾶν ὅτι πράττει βροτός, εἰ πρὸς ἐπιστήμην ἀναχθῇ πρός τινος, θήλειαν ἀπολάβῃ τὴν κλῆσιν. τῷ γοῦν ἐρωτιῶντι καὶ στρατηγοῦντι πρὸς ἐπιστήμας ἐξισαζόμενα τὰ πραττόμενα θήλεα ἂν εὑρεθῶσι κατὰ τὴν σημασίαν. ὁ τοίνυν στρατηγῶν τῷ πρὸς ἔρωτας βλέποντι ἐρωτικῶς μάχεται, ὁ δ' αὖ ἐρωτικῶς διακείμενος ἐκστρατεύει κατὰ τοῦ στρατηγοῦντος, ἐπειδήπερ πρὸς ἔρωτας ἐκεῖνος οὐκ ἐνορᾷ καὶ τῇ καταλλήλῳ τε καὶ ἐξ ἴσου στρατηγίᾳ καὶ ἐρωτοληψίᾳ ἀντιμάχονται τὰ ἑπόμενα, κατ' ἀμφοῖν γὰρ τὸ δι' δ ἡ στρατηγία καὶ ἡ ἕξις. εἰ γοῦν δεινοτέρως ἡ μὲν σχηματίζεται καὶ τοῖς ἀρεϊκοῖς πέπλοις ἐναβρύνεται καὶ σεμνύνεται καὶ διὰ ταῦτα τῶν τροπαιουχημάτων τῆς ἐντελεχείας

LI Argumentum. ' *Neque amor erga te meus impedimento est quo minus acriter adversus Bulgaros bellum geram, neque amori obstat belli gerendi cura. Vincamus igitur et amemus inter nos* '.

1. *εἰ* scripsi: *εἰς* C. || 8. *ἐρωτιῶντι* requirere videtur *στρατηγιῶντι*, sed sequentia obstant. || 7. *ἐξίσου* C. || 8. *δ* scripsi: *δν* C.

ἀντιλαμβάνεται, ἐνθουσιᾷ καὶ καθυπεραίρεται τῆς ἑτέρας, ἡ δ' αὖ ὅτι γλυκύτητι τέρπεται, ὅτι τῇ καλλονῇ ἐνσεμνύνεται, ὅτι τῇ ὄψει σκιρτοκροτεῖ, ὅτι τῇ ἀγαλλίασει οἷον τῆς νίκης τὸ πρωτεῖον προσοικειοῦται καὶ τρόπαιον. μὴ δ' αὖ κατεπαιρέσθω τῆς θατέρου ἡ θάτερος· κοινῇ γὰρ γνώμῃ καὶ τάξει οἱ στρατηγοὶ καὶ ἐρωτιῶντες στρατηγεῖν καὶ ἐρωτιᾶν ἐβουλεύσαντο καὶ προσοικειοῦσθαι ἀλλήλοις τὰ πλεονεκτήματα ταῦτα ἐφιλοτιμήσαντο ἔκπαλαι. διὸ εἴ τις οἶδε τί λέγω, τὸν μὲν στρατηγοῦντα καὶ ἐρωτιῶντα ἐμὲ καὶ σὲ ἐννοείτω, τὰς δὲ ἕξῃς ἐπιστήμας, τὰς ἐκ τῶν ἐξ ὧν αἱ ἕξῃς· καὶ τοῦτο μεμαρτύρηται ἔκπαλαι. ἐρωτικεύου τοίνυν στρατηγικῶς, ἵν' ἐρωτικῶς τῶν ἀλόγων Βουλγάρων ἐγὼ καταστρατηγῶ καὶ μετ' ἐλλογότητος τοὺς βαρβάρους πρὸς τὴν ἀνθηρὰν τῆς σῆς ὑπολήψεως εἰλικρίνειαν περιάξω περιδεδεμένους περίπυστόν τε πολὺ τὸ δέος τοῖς μὴ παθοῦσιν ἐξ ὧν ἑωράκασιν ἐμποιοῦντας (παιδεύεται γὰρ καὶ πανοῦργος, πονηρὸν ἰδὼν τιμωρούμενον)· οὕστινας δὲ τούτους ὑποληπτέον, εἴτε δεσπότας, εἴτε καὶ ἀποστάτας, εἴτε τοὺς ἀνατολικοὺς σατράπας καὶ τοὺς ἕξῃς. ἡ γὰρ νίκη πρὸς τὴν ὁρμὴν ὥσπερ τις εὐθεῖα κυκλοειδῶς συστραφεῖσα συνέκλεισε τοὺς ἀγνώστους | εἰς ὅρον τούτους ἐνθήσασα τηρήσεως ὅρκων καὶ φυλα- f. 7v
κῆς. τοῖς δ' ἄλλοις ἐρωτικῶς μὲν διαγε· συνετῶς δὲ τοῖς ἄλλοις κατ-
αλλήλως τὸ κατάλληλον ἐφαρμόζων καὶ πρὸ πάντων ἔμμενε ἐρωμένος· καὶ μετὰ νίκης ῥῶσιν καὶ ῥώσεως νίκην ἰδεῖν ἀλλήλους ἐπεύχου καθὼς ἡμῖν τοῦτ' αὐτὸ καὶ ζωὴ καὶ πνοὴ καὶ ῥῶσίς ἐστι.

ἑτέρα πρὸς αὐτόν

Τῷ ἀπὸ ψυχῆς ἡνωμένῳ ἐμοὶ ὡς ψυχή, δαιτὸς μέρος ἢ καὶ αὐ- **LII** (CCI)
τῆς εὐωχίας ὡς εὐωχίαν μετὰ τῆς ὡς εἰκὸς ἡδύτητος στέλλω καὶ χαρμονῆς· μικροῦ δεῖν δὲ καὶ τὸ τῆς Κρυβοῦς καὶ τοῦ Στενιμάχου χαρμόσυνον τέρμα ἐξαποστεῖλαί σοι πέποιθα, καὶ τοῦτο θελήσει τῇ τοῦ θελήσει ταφέντος καὶ ἐκ νεκρῶν ἀναστάντος καὶ τῇ χαρμοσύνῳ

---

11. ἀντιλαμβα^{νό} C. || 23. περίπυστόν τε scripsi: περίπυστε C. || 23 sq. ἐμποιοῦντας corr. ex ἐμποιοῦντες C. || 25. δὲ scripsi: δεῖ C.

LII Argumentum. *' Laetitiae te meae participem esse volo: mox belli finem ad te nuntiatum iri spero '.*

1. ψυχή, scripsi: ψυχῇ C. || 2. ἡδύτητος iteratum, sed altero loco punctis notatum C.

καὶ ὑπερφυεῖ τούτου οἰκονομίᾳ τὸ πτῶμα ἡμῶν συνεγείραντος καὶ στήσαντός τε καὶ ῥώσαντος· δι' ὃν καὶ δι' οὗ καὶ σὲ ἐρρωμένον ἐρρωμένου νίκης ἐντελεχείᾳ θαρροῦμεν ἀξιῶσαι ἡμᾶς κατιδεῖν. προσμαρτυρεῖ δὲ τῷ λόγῳ καὶ ὁ χρυσὸς τὸ αἰθόμενον πῦρ κατὰ Πίνδαρον.

ἑτέρα πρὸς αὐτόν

LIII (CCII)

Καιρὸς ἤδη πολὺς ἐξ ὅτου δὴ ταῖς βουλγαρικαῖς κατεψυχράνθημεν βαρβαρότησιν, ἐκείνων ψυχραινομένων τῇ ἐλπίδι τοῦ μόρου καὶ τῇ ἐπινοίᾳ τῆς ἀπωλείας καὶ οἱονεὶ προσεπαπεμπόντων ἡμῖν δηλητηρίους αὔρας τε καὶ ψυχράς, ἀλλά γε σὺν τῷ γεννήματι τῆς δειλίας (τοῦτο γὰρ ψυχικὸν τὸ πάθος ἐστίν, ἐπείπερ κινεῖται κατὰ βάθος καὶ οὐκ ἐκτός, ὅτι ψυχῆς γέννημα τῶν ἐνδοτέρω ἢ καὶ τῶν ἐσωτέρω μᾶλλον, ὡς Ἀριστοτέλης φησί, τῷ ἐναντίῳ τοῖς ἐναντίοις παθήμασιν ἡμᾶς παρετρέψατο)· καὶ πάσχομεν φλογώσεις ἀνηλεῶς ὑπὲρ τὰς ἐν τῇ διακεκαυμένῃ γῇ διὰ τὴν τοῦ φωσφόρου γειτνίασιν· ἐντεῦθεν παρομοιούμεθα τοῖς ὁμοίοις. ἐκεῖθεν γὰρ, οὐκ ἔκφυσις βοτανῶν, ὅτι τὸ ἐπάλαμπον ἀκάνθεκτον· ἐνθένδε οὐ νοημάτων ἐπιβολαί, ὅτι τὸ Βουλγαρικὸν ἡμᾶς [διὰ τῆς δειλίας] ὁλοσχερῶς κατεξήρανεν. ὅθεν τί λέξω πρὶν παθόντες τῶν ἀρκτικῶν παθήσεις τῇ αἰσχρότητι τῶν βαρβαρισμῶν, νῦν δὲ ταῖς ἐκκαύσεσι καὶ ταῖς ἐκπυρώσεσι τῆς ἐπορεούσης κατοίνου ὕλης τῷ ἔθνει ἐξικμασθέντες; ξηροὶ διττῶς ἐγεγόνεμεν καὶ ψυχρότητι καὶ θερμότητι τοῖς ἐναντίοις παθαινόμενοι τὸ ὁμότροπον. τί γὰρ λέγω; μνήσθητι ποτὲ τῶν Ὑποπλακίων Θηβῶν· ἐκεῖθεν δ' αὖ τοῦ καύσωνος τῶν ἡμερῶν καὶ τοῦ Κρονίου τοῦ γεροντικοῦ ἐκείνου καὶ τοῦ ἐξ ὑγροῦ Ζαβαρειώτου ξηρότητα καὶ τοῦ φορτικοῦ τοῦ καιροῦ καὶ τῶν τεττίγων τῶν μουσικῶν καὶ τοῦ δυσχώρου τοῦ τόπου καὶ ἀνίκμου καὶ τοῦ φλοίσβου τῆς πολυκυμάντου θαλάσσης (ταῦτα γὰρ σεσημείωται καὶ ἐν

LIII Argumentum. '*Multis difficultatibus circumventi, acriter tamen adversus Bulgaros bellum gerimus et victoriae spem habemus*'.

11. νοημάτων ex νοήματα corr. C. ‖ 12. verba διὰ τῆς δειλίας valde incerta; hinc multis locis codex ita evanidas litteras praebet, ut scripturae vestigia vix cernantur; eiusmodi verba hic et infra uncis ([]) inclusi.

ἑτέραις ἐπιστολαῖς)· καὶ νοήσεις τὸ πάθος ὅπερ ἡμεῖς, σοφώτατε καὶ νοημονέστατε, πάσχομεν· οὐκ ἔστιν ἐνθαδὶ κόρης ἄρνησις ὡς ἐκεῖ, οὐκ ἔστιν ὀπωρῶν συλλογὴ τῶν χρησίμων καὶ ἀγλαῶν, οὐκ ἔστιν ἐλπὶς γεράνων καὶ κράτησις ἐρωδιοῦ καὶ κυνηγεσίων ἐκδρομαὶ καὶ ἐπιδρομαί, ἀλλὰ καῦσις ἡλιακὴ καὶ βαρβαρότης Βουλγαρικὴ καὶ ἐκστρατεία τοῖς ἐθέλουσι στρατηγεῖν. οἱ γὰρ βάρβαροι τῷ πάθει τῆς ψυχῆς παρακινηθέντες καὶ συναθροισθέντες ἐπὶ τὸν Αἷμον, ἐκεῖθεν πρὸς φαραγγώδεις κεκοιλωμένους τόπους τὰς διατριβὰς ποιεῖν καὶ κρίναντες καὶ ποιοῦντες, τῇ δειλίᾳ κατὰ τὸ ἔθος γεγόνασι κάτοινοι. ὅθεν ἐξ ἰσθμοῦ τινος τὸ πνεῦμα τὸ ἰοβόλον πεμπόμενον καὶ ταῖς ἡλιακαῖς ἀνατεινόμενον ἀκτινώσεσιν ἐκφλ[έγει] τοὺς φλογιζομένους ἡμᾶς. ὅθεν οὐχ ὕδωρ ψυχραῖνον τὸ ἐναντίον καθέστηκεν· Εὖρος γὰρ ὁ εὐρὺς καὶ πολὺς ταῖς ἡλιακαῖς βολαῖς ἐκθερμαίνεται, καὶ φλέγεται τὸ στράτευμα ἐξ αὐτοῦ διψῶν τε καὶ κορεννύμενον. τίς ἡμῶν κατα[δραμὼν] τοὺς φλογισμοὺς ἐκλυτρώσεται, τῶν βαρβάρων διαλύσει τὰς ἐξοινώσεις, ὑγρανεῖ, ψυχρανεῖ, [καὶ δωρεὰν] δωρήσεται τὴν προσήκουσαν, τὴν ἀνήκουσαν; πολὺς γὰρ ὁ φλογισμὸς καὶ οὐδεὶς συναίρεταί μοι τῷ δυσαχθήματι. πάντες πρὸς θερμοὺς κεκίνηνται τοὺς ἱδρῶτας καὶ τὰς λώπους ῥίπτουσι. πόρρωθεν λωποδύτης καὶ βάσκαν[ος πλὴ]ν τῶν Βουλγάρων ἐκτάνθησαν. κόραξ ἐσθλει καὶ ὁ σκύμνος σύρει ἀνηλεῶς. ὁ ἐλεήσων καὶ [βουλῇ] ὠνήσασθαι τὸ συμφέρον βρεφυλλίων βουλαῖς ἐναβρύνεται. γερόντια χθαμαλὰ [ἀδρανῆ] τῇ νοήσει, τῷ χρόνῳ, τῇ* * * τὸ δέον τάχα καὶ λέγουσιν· ἀλλὰ πρὸς κέντρον λακτίζει ὅτι τοὺς ἰδίους πόδας τάττει τις * * [βουλευόμεθα] τῇ φλογὶ τὴν ἄστεκτον ἐμβαλεῖν καὶ πυρκαιὰν ἀνάψαι τοῖς κτήνεσι καὶ τοῖς πράγμασι καὶ τὰ λήια ἐκτριψ[αι] ἀφανισμῷ καὶ τοὺς ἀμπελῶνας κατακαῦσαι πυρὶ Θεοῦ, συναρήγοντος ταῖς βουλαῖς τοῦ διδόντος πνοῇ ἀνθρώπων ζωήν· ἀλλ' ἐπείπερ καὶ καῦμα καὶ δρόσος καὶ ψῦχος καὶ παγετὸς καὶ θάλασσα καὶ ξηρὰ καὶ κτήνη | καὶ πτηνὰ καὶ νηπόδων γένη ἐπὶ τῶν ὑδάτων τὰς νήξεις μετα f. 8r
* * * * ὁ προφήτης βασιλικ[ώτατα καὶ] προφητικώτατα προεφθέγξατο θεῷ τῷ βασιλεῖ καὶ κινοῦντα καὶ [ἀκίνητα] * * * καὶ ἡμεῖς * * * μεθα τοῖς ἀλόγοις καὶ λογικῶς τὸν ὕμνον ἐπὶ τὸν [Λόγον]

---

26. ἐκστρατία, C. || 29. κεκοιλωμένους scripsi: καὶ κοιλωμένους C. καὶ ante κρίναντες deleverim, vel ante ποιεῖν traiecerim. || 41. σκῦμνος C. || 47. συναρρήγοντος C. || 51. evanuerunt 10-12 litt. || 51 sq. cfr. Psalm. VIII, 8 sq. || 52. evanuerunt 2-4 litt. || 53. evanuerunt 6-8 litt.

ἐξανατείναντες [ταῖς τῶν] Βουλγάρων [ἐκ]πυρώσεσι τοῦ φωσφόρου Θεῷ καὶ κινηθέντες ἐπιστρατεύσομεν, ἵνα τὰ φθαρτικὰ καὶ ἰοβόλα πνεύματα τούτων Ἑλληνικοῖς ἀλεξητηρίοις τοῖς δόρασι χωρίσωμεν τῶν σωμάτων, ῥιπτόντων τοὺς ὁιστούς, τὰς ἀσπίδας βαλόντων κάτωθεν, τὰς κόρυθας ἐπὶ τοὺς κρημνοὺς καὶ τὰ σώματα πρὸς τὸν μόρον. τοῦτο γὰρ ὡς λῆμμα πρωτότυπον δέδοται πρὸς Θεοῦ ἡμῖν τοῖς σοῖς καὶ σοὶ πεποθημένοις γνησίως, ὦ ἀντιστρόφως πεποθημένον καὶ φιλούμενον ἐμοὶ καὶ ψυχῇ, ἐμὸν τέκνον Μουζάλων, ἐρρωμένος δεσμὸς ἀλληλένδετος.

ἑτέρα πρὸς αὐτόν

LIV (CCIII)

Ἵππος καὶ ἀρετὴ διὰ τὸ τέλος· τῆς ἀρετῆς, ὅτι τῆς ἀρετῆς τὸ τέλος ἀγαθοῦ σκοποῦ καὶ τιμίου ὑπάρχει κατάληψις· καὶ ἵππου, ὅτι τοῦ καλλίστου ἀρετῆς τέλος καὶ τῆς τελειότητος ἐντελέχεια ἐν τοῖς ῥήτορσι γέγραπται δεξιότης, ποδώκεια μετὰ τῶν ἄλλων καὶ ἤθη, καθὼς ὁ Πολυδεύκης φησίν· ὅθεν, εἰ καὶ τὸ προσφερόμενόν σοι ἱππάριον, ὅτι ταχύ, ὅτι στρεφόμενον εὐφυῶς, ὅτι κινούμενον ἐν ῥυθμῷ, ὅτι κεκαλλωπισμένον ἐν χρώματι καὶ ἀρεταῖς ἵππων ὡς δεῖ, πεπόμφαμέν σοι, ὦ κάλλιστε, τῷ καλλίστῳ τὸ κάλλιστον· εἰ δὲ καὶ ἐκ βαρβαρικῆς χθονὸς τῆς κατ' Ἐπίδαμνον περικειμένης ἢ καὶ διακειμένης Ἀλβάνου τε κλήσει σεσημειωμένης, μὴ κατὰ τοῦτο βαρβαρίζειν τὴν ἐνέργειαν δόξῃ σοι, ὅτι ἀκραιφνὴς ἐν ἀκραιφνεῖ ὑπολήψει τοῦτο Χαβάρων προσέφερε· τὸ δ' ἐξ ἀγαθοῦ πρὸς ἀγαθὸν φερόμενον καὶ ἐξ αὐτοῦ δὲ στελλόμενον καὶ πρὸς ἀγαθὸν δυναμοδυνάμως ὑπάρξει καὶ ἀγαθόν. εὐφροσύνως τοίνυν τὸ ἀγαθόν, ἀγαθέ, δεξάμενος καὶ γηθοσύνως ἐπαινῶν τούτῳ ὡς δεῖ, εἰρηνικῶς διάτριβε καὶ ἐπιτερπῶς, ἐπιποθῶν ἡμᾶς κατιδεῖν τοὺς ταῖς Βουλγαρικαῖς παροινίαις ἐπιλελησμένους τῶν λογικῶν χαλινῶν τοῦ λόγου τε καὶ παιδευτικῶν. ἔρρωσο.

---

60. πεποθημένοις scripsi: πεττὸς θημένοις C.

LIV Argumentum. *'Equum nobilissimum ab optimo viro dono acceptum ad te carissimum mitto, ut eo cum gaudio utaris'.*

2. κατάληξις C. || 12. ἀν δε C.

ἑτέρα πρὸς αὐτόν

Μουζάλων μου, καὶ τοῦτο μετὰ πόσης σοι τῆς ἡδύτητος προσ- **LV** (CCIV)
φωνῶ. ἡ γὰρ ἐκ τῆς σχέσεως ἐν ἡμῖν γεγονυῖα ἑνότης ξυνεχὴς καὶ ἀξύμβλητος. τοῦτο γὰρ ἔχει τὴν δύναμιν ἰσχυρὰν καὶ τὴν τῆς δυνάμεως ὁρμὴν καὶ ῥοπὴν ὡς ἀπροσκορῆ καὶ τὴν κλῆσίν σοι μετὰ πόσης σοι τῆς ἡδύτητος κατονομάζειν ἠνάγκασε. οἷον γὰρ ἕτερον ἐν κόσμῳ κλέος τοῖς κατὰ κόσμον, εἴπερ κατὰ βίον καὶ κόσμον πολιτεύονται, τῆς ἡμῶν ἑνότητος ὑπερέκεινα; ἢ τίς ὁ κατὰ ψυχὴν ἔρως διακαὴς ἐν διτταῖς καὶ ψυχαῖς καὶ καρδίαις ἐκφλέγων τὰ νοήματα, τὰς πράξεις, τὰς ἐνθυμήσεις, ὡς ὁμοιωθῆναι τῇ ἡμῶν ἀγάπῃ καυχήσασθαι; ἢ τίς νοερὰ πλοκὴ καὶ δεσμὸς τῆς αὐτῆς καὶ καινῆς συζυγίας τῆς ἡμῶν ἀδιασπάστου πλοκῆς πεπλεγμένα ὡραιοτέρως ἢ λέξωσιν ἢ σεμνυνθῶσιν ἢ παρ' ἄλλου κατὰ τοῦτον τὸ ἐγκώμιον [ἀπο]λάβωσιν; ἀπηγόρευται γὰρ πᾶσα φιλία καὶ ἐξωστράκισται κανονιζομένη πρὸς τὴν ἡμῶν πρωτότυπον· [τίς γὰρ] καθέστηκε καὶ τῶν νῦν καὶ τῶν πώποτε γεγονότων καὶ τῶν ἔτι γενησομένων καὶ διὰ τοῦτο ὑπεξῃρημένως καθυπερτερεῖ; τοῦτο γὰρ ἀναγκάζει, καὶ ἡ ἀνάγκη τὸν πόρρω που διατρίβοντα λυπεῖ συνεχῶς, διότι οὐκ ἔστιν τῆς ἡμῶν φιλίας εἰκών. ἀλλὰ νῦν κατονειδίζουσιν οἱ λογισμοὶ τοὺς ἐμοὺς λογισμοὺς καὶ οἷον πρόσωπα φέρουσι [καὶ] κροτοῦσι μάχην καινὴν καὶ κατηγοροῦσί μου ἄτοπα. οἱ μὲν γὰρ οἱά τινες πολισταὶ πανακλεοῦς ἀκροπόλεως [ἐγκαλοῦσι] τὸ κριτικὸν ἐμὴν ἀποδημίαν ἐκ σοῦ, οἱ δὲ ἀντέχονται φεύγοντες τὸ κοινόν, ἀντιπαράστασιν φέροντες. ἀντεγκληματικοὶ γὰρ ἄλογοι ἐνὶ κριτῇ δυσὶν ἀδελφοῖς τοῖς λογισμοῖς προσάγονται τῷ νοΐ· τοῦτο δὲ νόμιμον καὶ οὐ νόμιμον καὶ διὰ τοῦτο δυσπόριστον καὶ εὐπόριστον· τὸ γὰρ ἓν καὶ ταὐτὸ παχὺ καὶ λεπτόν, μικρὸν καὶ μεῖζον, ἓν καὶ πολλά, ὡς οἱ μα-*

LV Argumentum. '*Bulgaros bello persequimur acriter, pericula et labores non detrectamus; nec tamen malivolentiam obtrectatorum fugere possumus*'.

18. *φιλία καὶ* scripsi: *φιλιακὴ* C. || 18 sq. *πρωτότυ*ο in extrema linea C. || 20. Georgium Acropolitam significare videtur.

θηματικοὶ λέγουσι, τοῦ λεπτοῦ ἢ παχέος καὶ μὴ διαφέροντος ἑλκτικόν ἐστι καὶ μᾶλλον παρακλητικὸν τῆς αἰσθήσεως καὶ διὰ τοῦτο τοῖς ἴσοις τρόποις οἱ λογισμοὶ ἑνὶ σκοπῷ κατηγοροῦσι καὶ βοηθοῦσί μοι. καλὸς ὁ λόγος ὅτι· τίς ἡ τοσαύτη ἐκ σοῦ ἀπόστασις ἀπ' ἐμοῦ; τοῦτο τὸ κατηγόρημα, ἀλλ' οἱ φεύγοντες τοῦ ἐγκλήματος κοσμικώτερ[ον] ἀποκρίνονται καὶ ταραχὰς ὑποψιθυρίζουσι καὶ ἀνωμαλ[εί]ας καιρῶν καὶ πραγμάτων συν|άγουσ]ιν καὶ βεβαιοῦσιν· ἅπερ κοσμικῶν εἰσι κοσμικὰ καὶ γεηρῶν γεηρὰ [καὶ] ἐκτελέως εἶπω τῆς ὑλικωτέρας μερίδος τῆς *
f. 8v ψυχῆς. ἀλλ' ὑπανφωσμένοι καθεστηκότες | * * * * *
ὁμοψυχίας τὰς συμπλοκὰς καὶ ἴσας τὰς * * * * * *
κατηγορεῖται ὁ σός· ἀλλὰ χαῦνος νοῦς ἐν τοῖς [πράγμασιν] ἀφήρπασεν ὁ τόπον * πόρρω που διεβίβασε [καὶ] πόρρωθεν καὶ πρὸς τὴν Φιλίππου τὰ νῦν * * στράτευμα κατηνάγκασεν καὶ μόχθοις ὅσοις καὶ κόποις καὶ ἀγρυπνίαις τοῖς ἴσοις κατὰ τρυτάνην. καὶ [ὀδυρό]μεθα ἐν ψυχῇ καὶ χαρμονικοὶ φαινόμεθα τοῖς ἐκτός, καὶ λυπούμεθα πρὸς τὸν νοῦν καὶ κατακαγχάζομεν ἐν τοῖς χείλεσι, κατὰ Παῦλον ἐξωνούμενοι τὸν καιρόν, ὅτι καὶ οὗτος ἐν τούτοις τοῖς μέρεσιν ὑπέμειν[ε] μάστι[γα]· τί ἂν τοίνυν σοι λέξω; ἐνθένδε ὁρῶμεν τὴν Φιλίππου πατρίδα καὶ Ἀλεξάνδρου, ἐκεῖσε τὸ ὄρος Ὀρφαϊκὸν καὶ πρόσθεν ἄπορα ὄρη Βουλγαρικὰ καὶ τῆς ἀλογίας. ταὐτὸν γάρ ἐστι καὶ ἀντίστροφον τὸ Βουλγαρικὸν καὶ τὸ ἄλογον· εἰ μὲν γὰρ ταὐτόν, καὶ ἀντίστροφον· εἰ δ' ἀντίστροφον, δυνάμει τε καὶ ταὐτόν. ἀλλὰ δυνάμει καὶ [ἐνεργε]ίᾳ Βουλγαρικὰς ὁρῶμεν ὄψεις καὶ ὄρια. ποῖα καρδία δέξεται ταῦτα; ὁπόστος καὶ ἵππου ταχυτῆτι καὶ σώματος [τόν]ῳ; ἡ τοπικὴ διάστασις ἐμποδών. τρέχει ὁ νοῦς, συντρέχει καὶ ἡ καρδία, τὸ σῶμα ὑπασχεῖται καθυπουργεῖν, καὶ ἡ τῶν [λο]γισμῶν ἀντιδικία τὸ ἐμποδών· φέρουσι γὰρ τὰς Βουλγαρικὰς παροινίας ἐν ὄψεσι καὶ πρὸς Σέρρας [σ]ύρ[ου]σ[ιν] ἀκρατῶς· ἡμεῖς δέ, βρεφυλλίων ὥσπερ τινῶν νοήματα καθυπουργούντων παιδαγωγῶν παραγγέλματα, τοῖς λελεγμένοις ἑπόμεθα καὶ βαίνομεν ἀσχέτῳ ὁρμῇ πρὸς ἀκαίρους μάχας καὶ ἀνυποίστους, ὥσπερ οἱ ἄνομοι Στρατηγόπουλοι καὶ δυσώνυμοι Τορνίκαι ἀπεξειργάσαντο. καλῶς γὰρ ᾠκονομήθη τὰ Βουλ-

---

27. τῆς αἰσθήσεως] immo τῆς διανοίας vel τῆς νοήσεως διὰ τῆς αἰσθήσεως. Cfr. Iambl. *De Comm. Math. Scientia*, p. 25, 10. 13 Festa. ‖ 32. βεβαίωσιν, ut vid., habuit C. ‖ 34. circ. 30-34 litt. evanuerunt. ‖ 35. evanuerunt circ. 30-34 litt. ‖ 37. evanuerunt 2-3 litt. ‖ 38. evanuerunt circ. 8-10 litt. ‖ 41 sq. Paul. Ephes. V, 16. Coloss. IV, 5. ‖ 48. ὄψει et mox ποῖα C. ‖ 49. ταχυτῆτι Treu: ταχύτητι C. ‖ 52. σέρας C. ‖ 55 sq. στρατηγοπλ' καὶ δυσσώνυμοι C.

γαρικὰ παρ᾽ ἡμῶν καὶ [ἡ] τούτων ὑπ᾽αὐχένος ἔπαρσις διὰ τὰς πρὸς τὰ ὄρη διατριβὰς τοῖς πολλοῖς κειμένη καὶ γέγονε, καὶ κλιτο[τρ]άχηλο[ι] οἱ ἀκαμπεῖς τοῖς Ἑλληνικοῖς στρατεύμασιν ἀπεφάνθησαν. ἀλλ᾽ ἡ τῶν ἀνόμων ἀνηκοΐα ἐρημώσασα τὸν στρατὸν κατατρέχειν τῶν χώρων ἡμῶν τοὺς Βουλγάρους κώνας ἐποίησε, καὶ διὰ τοῦτο ἀρχὴ ἀγώνων [νυ]νὶ προσεπέσκηψε. τὸ γὰρ ἐᾶσαι τὸ συμβὰν ἀτημέλητον, ὄλεθρον ὁρῶμεν παγκόσμιον· ἐπισπεῦσαι δὲ δι᾽ αὐτὸ πρὸς αὐτὸ μακρυσμὸν ὁρῶμεν τῆς ἐξ ἡμῶν ἐκ σοῦ διαστάσεως. ἅπερ διαλλήλως κατατρύχουσι τὴν ψυχὴν τοῦ σοῦ, [Μου]ζάλων ἐρασμιώτατε. καὶ τὸ πρᾶγμα καινὸν καὶ ὁ ὄγκος πολὺς καὶ τὸ πλάτος τῆς χρήσεως τοῦ καιροῦ ἀπαρ[αίτη]τον. διὰ ταῦτα τυραννούμενοί τε καὶ μή, πρὸς τὴν Φιλίππου κεκατηντήκεμεν καὶ γῆν ἐθεασάμεθα, ἄριστε, τὴν Ἀλεξάνδρου ποτὲ σκυλευομένην καὶ παιζομένην παρὰ Βουλγάρων ὀλιγοστῶν ἀσθενῶν, καὶ τῷ ἄλγει ἄλγος προσετίθ[ετο]· πάντες αἰτιώμεθα τὰς ἀρχάς, ἅς τινας δή σοι καὶ ὑποληπτέον ὡς δεῖ· ἐκείνων γὰρ τῶν οἰκονο[μούντω]ν τὰ ἔργα σήμερον ἀπεφάνθησαν· καὶ αἰτίας ἀπολαμβάνομεν οἱ μὴ πταίσαντες, ἅσπερ ἡμῖν προ[σήγαγον οἱ] τρυφήσαντες. ἄλλος γὰρ κατέσπειρεν ἀσκόπως εἰς τὰς ἀκάνθας καὶ νῦν οἱ πόδες ἡμῶν τιτρώσκονται καὶ [τύπτονται], εἰρήνην εὐαγγελιζομένων ἡμῶν πρὸς τοὺς τῆς ἀνομίας υἱούς. ποία γὰρ πρὶν ἡ μέθοδος τῶν καλῶν; τίς ἡ οἰκ[ονομία] τῶν τυχηρῶν; τίς ἡ γυμνασία τῶν εὐυπόπτων; τύχη ἔφερεν ἅπαντα καὶ τὸ συμβεβηκὸς ἐλατρεύομεν. [ὁ ῥῆξ] τετέλεσται φυσικῶς καὶ ὁ μετὰ ταῦτα παρὰ φύσιν γε διαπαίζεται. τίς εἶδεν ἀσπίδα Βουλγαρικὴν [ἢ σήματα]; ἢ τοῦ Ἐνυαλίου καὶ ἠκροάσατο; πάντες φεύγουσι πρὸς τὰ ὄρη, καὶ μάχονται τοῖς ἡμῶν οἱ ἡμῶν· ἀντίποινα τῆς [εὐποΐας] αὐτά, ἣν προσήξαμεν ὡς ἐπίστασαι. καὶ σεμνοτέρως αἰτιώμεθα τοῖς ἡμῶν τὰ συμβάματα καὶ στερούμεθα [ὅρω]** ὅτι καὶ παντοίως ἡμᾶς κατεκλάδασαν. [ποῦ] γὰρ ἄρχων ὁ ἀγωνισάμενος μετὰ τὴν τοῦ ἐμοῦ πατρὸς τελευ[τὴν] δοῦλος ὑπηρετήσας, ἢ τοῦ αἵματος ὁ συναποθνήσκων; πάντες καθ᾽ ἡμῶν αὐθάδως, ὅτι καὶ τὰ [πράγματα] καθ᾽ [ἡμῶν]· τὸ δὲ μεῖζον καὶ καθ᾽ ἡμῶν, ὅτι πόρρω σὺ ἀφ᾽ ἡμῶν, καὶ τοῦτο οὐ διὰ σὲ καὶ ἐμέ, ἀλλὰ διὰ τοὺς καθ᾽ ἡμῶν. ποία γὰρ καθέστηκεν ἡ βουλή; ποία νεότης ὑπηρετοῦσα; ποία δύναμις

57. ὑπανχένος C; fort. ὑψαύχην vel ὑψαυχένων? Sed, ut videtur, ἔπαρσις ὑπ᾽ αὐχένος κειμένη est quasi *superbia demissa*. || 74. Cfr. Ierem. IV, 3 et Ev. Matth. XIII, 7. 22. || 75. Cfr. Act. Apost. X, 36 et Hose. X, 9. || 77. τυχῆ C. || 82. αὐτ᾽ C. || 83. evanuerunt 2. 3 litt. || 86. ἀνθαδῶς C. || 88 sq. ποία C.

ὑπουργοῦσα; καὶ πῶς συν[άγων] * * τοὺς ἀγῶνας; πάντως μόνος σὺ ἀπαντῶν αὐτόθι βοηθεῖς ὅση δύναμις. ἀλλ' [ἐγ]γύτερον ὁ π[αν]τοκράτωρ τῶν συναγομένων. ὁ σὸς ὑπάρχει μονώτατος, προοδοποιός, οὐραγός, μεσαίτατος καὶ σκοπ * * * * ἐν τῷ στρατεύματι ἄγγελος εἷς μεθ' ἡμῶν, ὅτι καὶ αὐτὸς ἐξ ἡμῶν καὶ ὅσ * * * * * * * * * * * * τὸ ποιοῦσιν· οἱ μὲν ὑμνοῦσιν, οἱ δὲ κυμβαλίζουσιν, ἄλλοι σιωπῇ πορεύονται τὴν ὁδόν, ἄλλοι * ὅτι οὐ νοοῦσι τὰ μελετώμενα τὴν εἰσβολὴν μεμαθηκότες ποι[ῆσαι] * * * * * οἱ δὲ πρὶν ἀπιστοῦσιν, οἱ ἕτεροι καθυβρίζουσι καὶ αἰτιατῶν * *

f. 9r * | * * τοῦτο ὡς οἶδασι κοιλαι * * * καὶ ἡμᾶς πλήμμυραν ἴστ * * * * * * * * * *
* * * * * * * * * * * * *
ἀργαλεώτερον φέρομεν. ἀλλὰ μὴ λύπη ἐν τοῖς λόγ[οις] * * *
* * * * * * * * * * * * *
τὰς [ἀνδ]ραγαθίας τοῦ παρανόμου πραίτορος ἐκ * * * *
* * * * * * * * * * * * *
[ἀρετ]ὰς ἀπετέλεσε· τῇ γὰρ τῶν κακιῶν ἐκφάνσει ἡ ἀπόβασις [τῆς] ἀληθείας καὶ τῇ ὑποκρύψει τῶν ἀρετῶν ἡ τῶν κακῶν πληθὺς ἀνεπήδησε· τίς δίκαιος κατὰ δύσιν ὡς ἄδικος ὁ Τορνίκης; τίς ἀνδρῶν ἐν τοῖς πολέμοις ὡς αὐτὸς καὶ ψοφοδεής; τίς τὸ φρόνημα σταθηρὸς ὡς αὐτὸς εὐηθέστατος; τίς καὶ σώφρων ἐν ταῖς ὀρέξεσιν ὡς αὐτὸς καθωμολόγησε τὰ ἀνόσια; βιάζεται γὰρ τῇ τυράννῳ νόσῳ ὁ τύραννος καὶ καθυβρίζεται οἰκοθεν τῇ δ[ει]λίᾳ ἐκθροηθεὶς καὶ τῇ παρανομίᾳ ἐκβιασθείς· καὶ ἐκφαίνεται σώφρων τῇ πληθύι τῶν ἀνομημάτων, καὶ τὸ τῆς * * ίας ὑπέρμεγα εἰς τὰς τῆς Ῥοδόπης δείκνυσι κορυφάς· τὸν θώρακα ῥίπτει καὶ τρέχει ἀσχετον ὁ δειλότατος * * * τῶν κακῶν θριαμβεύων ἐν τοῖς στρατεύμασιν, ὅτι πονηρὸν γερόντιον εὐήθως αὐτὸν κατεμόλυνε καὶ ταῖς ἀνοσιουργίαις τῶν ἑκατέρων νῦν ἡμεῖς ἀρχῶν ἀρχόμεθα τῶν πολέμων. καὶ νοσεῖ ὁ ἐλεεινὸς καὶ πρὸς Θεσσαλονίκην ἐκζητεῖ που δραμεῖν. ἀλλ' ἡμεῖς μέν, ὦ παμφιλτατε καὶ γλυκύτατε, ὡς μηθὲν αὐτὸν λογιζόμενοι, τὰ περὶ αὐτὸν ἐῶμεν < εἰς > προστομίαν ἐπιστρέφοντες τὸν αὐλὸν ἐν παλινῳδίᾳ πρὸς

---

91. ἀπαντῶν Treu: ἀπατῶν C. || 91. ὅση scripsi: ὡς εἰ C. || 96. ὑμνοῦσι Treu: ὑπνοῦσι C. || 109. ἀνδρῶν] fort. ἀνδρεῖος. || 118. εὐηθῶς C. || 121. αὐτόν Treu: ἑαυτὸν C. || 120. ἐκζητ˜ || 122. εἰς addidi, προστομίαν scripsi: πρὸς τὸ μὴ ἂν C.

τὴν προτέραν ᾠδήν. καὶ πεφθακέναι ἡμᾶς πρὸς τὴν Φιλίππου σοι [λέ]-
γομεν [τῇ] ἐλπίδι τοῦ ἐν τέσσαρσιν ἡλίου κυκλοφορίαις τῇ τοῦ νοητοῦ
καὶ ὑπερφώτου ἡλίου φωταγωγίᾳ πάντων τὴν νίκην ἐν τῷ [Με-
λ]ενίκῳ ποιήσασθαι καὶ ὥσπερ ἐν ἀκροπόλει πόλεως ἀναστήσασθαί τε
τὸ τρόπαιον καὶ τὸν καταβληθέντα τοῖς στρατεύμασι τῶν ἀστρατηγή-
των Ἑλληνικὸν ἀνδριάντα πρὸς τὰς ὑπερβολὰς ἀναστήσασθαι τῶν
ὀρέων, καὶ ταῦτα διὰ τὴν σὴν χάριν, ἢ διὰ τὸν δν ἡμεῖς ποθοῦμεν
ἰδεῖν ἴσα καὶ πνοὴν καὶ ζωὴν καὶ παρ' ἄλλο πᾶν, οὗ φύσις ἀνθρώ-
πων ἐρᾷ καὶ πρὸς γῆν καὶ ψυχὴν καὶ θείαν κινουμένη τὴν κίνησιν ἐν
ὑπερφυεῖ τῇ φιλίᾳ καὶ ἑνότητι καὶ πλοκῇ ἐρρωμένον, ὦ ἐρρωμένε τοῖς
ἐμοῖς πᾶσι [κατὰ] ψυχήν, Μουζάλων Γεώργιε, ἐρρωμένος δεσμὸς ἀλ-
ληλένδετος.

ἑτέρα πρὸς αὐτόν

Λέγουσιν οἱ σοφοί· ἐκ τῶν τελῶν [τὰ] πράγματα κρίνονται· καὶ **LVI** (CCV)
τοῦτο δή, ὅτι οὐδέν ἐστι πρᾶγμα μὴ τέλος ἔχον· εἰ γάρ τοι τὸ πρᾶγμα
εἶδον, καὶ τὸ τέλος γε εἶδοσαν· εἰ δὲ τὸ τέλος οὐκ ἐγνώκεισαν, τοῦ
πράγματος τὴν γνῶσιν οὐκ εἰσηγήσαντο· ὃς δέ γε τὴν γνῶσιν οἶδε
καὶ τὸ πρᾶγμα τεθεώρηκε καὶ τὴν τοῦ τέλους ἐντελέχειαν, ὄνησιν
ἀριστοκράτιστον οἶδε τῆς Αὐσονικῆς κραταρχίας. κατέθυσε μὲν τὸ
σῶμα κινδύνοις καλοῖς καὶ ποικίλοις, ἔδραμεν ὡς εἰκός, ἐκοπίασεν
ἱκανῶς, ἐτεχνάσατο μηχανήματα καὶ τὰς πάλαι πολιορκίας ὑπερηκόν-
τισε, τὰς ἐνέδρας διέλυσε καὶ τὸ κράτος ἐκύρωσε. πολλὰ ἔχω λέγειν,
ἀλλὰ στενώτατος ὁ καιρός, ὅτι γε πρὸς σὲ τὴν αἰτιατικὴν ψυχὴν ὑπερα-
κοντίζω καὶ ἐξακοντίζω τὸν λόγον, ὅτι γε τὸ ἔργον σύμφωνον καὶ ἀσύμ-
*φωνον, ὅτι μὲν * * συμφωνίας μεστόν, ὅτι δὲ πρὸς τὰς τοῦ*
καιροῦ φωνὰς οὐκ ἐξηχεῖ τὰ λεγόμενα, τῶν ἀδυνάτων καθέστηκε,
καθάπερ οἱ ἐν φθινοπώρῳ ἄνθη συλλέγοντες καὶ ἐν ἔαρι τοὺς καρ-

---

LVI. Argumentum. *' Victoriam consecuti sumus industria et alacritate summa '.*

2. δή scripsi: δὲ C. τοι], τι C, sed supr. οι.

πούς· πῶς γὰρ ἂν συμβιβασθῶσι τὰ πράγματα, ἢ πῶς τὸ τέλος ἀντεισάξῃ τις ἀντὶ τῆς ἀρχῆς; καὶ τὴν ἀρχὴν δὲ πῶς καταγάγῃ ἐπὶ τὰ ἔσχατα; ἀντιπεπονθότων παρὰ τῶν [ἀκρ]οτάτων ἐν πράγμασιν ἄνισα γενήσονται τὰ τελέσματα. διὸ γεωμετρικώτερον τὰς ἀποδείξεις σοι ποιησάμενος, ταῦτά σοι * * δὲ ὡς λήμματα τὰ δεδεγμένα παραλαβών, κυβικὸν ἀνάστησον τὸ θεώρημα, ἐπεί τοί γε ἑδραιότατον καὶ σ[τερεώ]τατον [καίπερ] ἐστὶ τοῦτο· ἀκροῶ δὲ σὺ τῶν καλῶν. ἑδράμομεν ἐν Θεῷ καὶ τὴν νίκην ἐν τῷ αὐτῷ, εἶτ' οὖν εἰργασάμεθα * * * * * * * ἢ τὸ [ἔστιν] ἀπέδειξε, σεμνύνομεν δὲ τοὺς λόγους τῇ σιωπῇ καὶ τῆς ἐντελεχείας τὸ ἄκρον ἐπερατώσαμεν * * * κατ[ὰ τὴν] ἐντελέχειαν. εἰ δὲ ζητήσεις τὴν ἐντελέχειαν διὰ τὴν τῆς Τζεπαίνης λεῖψιν, ἐν οὐδενὶ εἶπω τι εὑρήσεις * * * [ἐντελέχειαν] * * πᾶσι λεῖψις, ὅτι εἷς ὁ προτέλειος· τὰ δ' ἄλλα λείπεται καὶ οὐ λείπεται βουλομένου τοῦ * * * * * γὰρ ἀπολαύσουσιν ἄνθρωποι, ὡς τὸ θεῖον τὰς προχύσεις ἐκχέει· στερίσκονται δέ που * * σοφ[ῶν] καὶ ἡ θεία γραφὴ δογματίζει σοι τὰ λεγόμενα. ἔνθεν τοι μὴ τῆς * * * * * * * * * * * ἄκρον ζητῶν κατ' αὐτῆς ἡδονῆς τὸ συμπέρασμα μήτ' αὐτῆς ἀγαλλιάσεως τὸ τερπνόν, μήτ' αὐτῆς * * * * * μήτε τοῦ γλυκέος τὸ εὔφραντον, μήτε τοῦ εὐφροσύνου καὶ τοῦ εὐθύμου τὸ τερψίθυμον καὶ ὑπέρογκον * * * * * * * * * * * * κατάλληλος καταλλήλῳ εὐωχίας πνευματικῆς

f. 9v ἀξυμ | * * * * * * * * * * * *

ὦ πόποι καὶ ἡμεῖς συνορχούμενοι κυμβαλικῶν * * * * μέντοι γε μετὰ τοῦ πολέμου τὸ ἄκρον τὸ κορυφαῖον * * * * * * * * * * * 'Αλεξάνδρου ὅτι γε τὰς προπομπάς τε καὶ τὰ προαύλι[α]* * * * * * * * * * ταῖς γραφαῖς, ἀλλά γε ταῖς ἀληθείαις. Μουζάλωνι ὁ [αὐτοκράτωρ] Θεόδωρος Δούκα Δάσκαρις, ἐμὸν τέκνον Μουζάλων ἐρρωμένος δεσμὸς ἀλληλένδετος.

15 sq. ἀντεισάξει C.

ἑτέρα πρὸς αὐτόν

LVII (CCVI)

Ἐγ[ὼ] δὲ μετὰ τὴν πρώτην γραφὴν τὴν χάριν δίδωμι τῆς ἐλεύσεως, καὶ σὺ δὲ μετὰ τὴν πρώτην χαρὰν τὴν ὑπ[απάντησιν] εὐτρέπιζε τῆς συνάξεως, ἵνα καὶ τῆς ἀντιστροφῆς τὸ κοινὸν ἐν διανοίαις καὶ ψυχαῖς τε καὶ σώμασι[ν ἑκατέρων] γενήσεται καὶ ἵνα ὁ μὲν ἐσεῖ[τ]αι ὡς εἶδος, ὁ δ' αὖ ὡς ὑποκείμενον εἴδους καὶ τὸ παρ' ἑκατέρου τῶν παρ' ἑκα[τέρου] ὅλον τί ἐν ὅλῳ τινί, ἃ ὅλον τί ἀπεργάζονται· τὰ γὰρ ἐξ ἄλλου καὶ ἄλλου συνδραμόντα κατὰ τὸ τί, ἄλλο τι τῶν ἀλ[λου] καὶ ἄλλου ἐργάζεται τί, ὅπερ ἐστὶ συνδρομὴ διαφόρων εἰς ἕν, καὶ κίνησις καινῶν εἰς κοινὸν [καὶ ἕνωσιν] δι' ἀλλήλων εἰς ἄλληλα. τοῦτο δέ γε τί ἐστιν ἄλλο, ἢ γε κοινότης, ἢ γε καὶ οὐσιότης, ἢ γ' εὔκλεια, ἢ γε καὶ ἕξις [πεισμονῆς], ἢ γε καὶ ὁμοψυχία, ἢ γε πᾶν ὅ τι ἑνωτικὸν καὶ συνδετικὸν καὶ εἴ τι ἄλλο φιλοσόφως συνδέει ἰσορρόπους καὶ ὁμοτρόπους καὶ ὁμοψύχους; ἔστωσαν ἄρα τὰ μὲν ἡμῶν ἐν ἡμῖν, τὰ δὲ τῶν ἀλλοτρίων καλὰ ἐν ἡμῖν, [ἵνα] τοῖς ἀλλοτρίοις καὶ ἡμῖν ἀγαθά τε καὶ αἰσχιστα, τὰ μὲν δραπετεύσωσι, τὰ δὲ συνεισέλθωσιν, ὦ [Μουζάλων]· καὶ τίς ὁ λόγος; τοῦτο γὰρ συναναφαίνεται τὸ ὁμόψυχον, ὦ ψυχῆς καὶ ζωῆς καὶ καρδίας ἐπέκεινα· καὶ τοῦτο συναναφαίνεται τὸ ὁμόψυχον τῆς ἡμῶν ὁμοζωίας τε καὶ ὁμοψυχίας, ὦ πάντα τὰ ἐμὰ καὶ ψυχῆς καὶ ζωῆς καὶ νοῦ καὶ καρδίας καὶ σώματος· ἐν τούτῳ δέ γε οὐδὲν ἀπελείφθη κενόν· ἔχεις γὰρ πάντα τὰ ἐμὰ πρὸς αὐτὸν καὶ στερίσκῃ σὺ οὐδαμῶς, καὶ λείπῃ οὐδ' ὁπωσοῦν· καὶ εἴ τι ἐμόν γε, καὶ σόν· καὶ εἴ τι σόν, καὶ ἐμόν· καὶ τοῦτο ἀντιστρόφως καὶ διαλλήλως. σὺ δὲ οὐκ ἀντίστροφος εἰς ἐμέ, ἀλλ' εὐθύτατος εἰς ἀγάπησιν, ἀκλινέστατος ἐς ψυχήν, ἀσφαλέστατος ἐς καρδίαν, γλυκύτης μοι ὀφθαλμῶν, νοὸς ἀγαλλίασις, ψυχῆς εὐθυμία, ζωῆς εὐεξία, σαρκὸς σύν[αρσις], ἀνδρείας στερρότης, φρονήσεως συνεργός, δικαιοσύνης τρυτάνη, σωφροσύνης

LVII. Argumentum. *' Ut primum ad te curram ut tua praesentia et amore tuo fruar '.*

11. *πεισμονῆς* scripsi: verbum evanuit in codice, sed olim *πεισμὸς* mihi videbar legere. || 22. *συ* C. || 24. *καρ* C. || 26. *τρυτάνη* scripsi: *τριτάνη* C.

εἰς τὰ μὴ τῷ Θεῷ ἀρεστὰ στλέγκιστρον τιμητικώτατον, πάντων τῶν ὄντων ἐμοὶ ἀγαθὸν ζωῆς ὑπερέκεινα· σύ μου καρδία, καὶ οὐδεὶς ἀμφιβάλλων τῷ λόγ[ῳ· καὶ ψυχ]ὴ δὲ μηδενὸς ἀντερίζοντος, καὶ ζωὴ δὲ ἄρτου οἷον μὴ καυχωμένου, καὶ πνοὴ νικῶσα πνευμάτων πν[εύσεις καὶ πᾶν] ὅτι τῆς ἐμῆς ὀντώσεως καὶ συστάσεως. διὸ καθάπερ θρυαλλὶς ταῖς πολλαῖς ὑγροτέρων ἐμπνεύσ[εων] συμπνιγομένη περιφοραῖς καὶ μή τι φυσικῶς δρᾶν ἔχουσα ἀνατρέχει πρὸς τὴν τοῦ φωσφόρου λαμπάδα ἡλιακὴν οὖσαν κατὰ τὰς πρώτας, κἀκεῖθεν τὴν ζωπύρησιν ἀναλαμβάνουσα τὴν ἐν ταύτῃ ὕλην ἀναφλέγει θερμαίνουσα, οὕτω δὴ καὶ αὐτὸς τὰς τῶν ἀσεβούντων καὶ ἀνομούντων καὶ παρανομούντων καὶ ἀπιστούντων νιφ[άδας διασκεδα]σάμενος ἀνατρέχω πρὸς σὲ τὸ ἡμῶν κοινὸν ἐνδείξασθαι τοῖς πολλοῖς καὶ τῶν τῆς ἡμῶν ὁμοζυγίας ἀξι[ωμάτων] κατατρυφῆσαι.

ἑτέρα πρὸς αὐτόν

LVIII (CCVII)

Ἆρ' οὖν ἱκανόν σοι πρὸς ἀλήθειαν τὸ λεγόμενον; λεχθήσεται γὰρ δ δὴ σὺ ποθεῖς· τοῦτο δὲ τί; ὅτι καθέστηκεν δ ποθεῖς· ποθεῖς δέ, ὦ τέκνον Μουζάλων, ὅπερ ἐν δέλτοισι κατέχεις καρδιακαῖς· καὶ τί [ἄρα] τοῦτο; ἐκεῖνο δέ ἐστιν ὅπερ πνεῖς ὡς ζωήν· καὶ μὴν καὶ ζωῆς κρειττόνως τὰ μάλιστα καὶ δ τῇ μὲν ζωῇ** λεγόμενον κρεῖττον, σαφέστατα· τὸ δὲ λέγειν σε ἡ γραφὴ τὸ ποθούμενον κρινεῖς ἂν γε τῶν ἀληθῶν. οὐχ [οὕτως] ἔχει ταῦτα; 'ναὶ μήν', οὑτωσὶ ἡ συνείδησίς μοι ἀνταποκρίνεται. 'καὶ τί ἐστι τοῦτο;' ἐρωτήσεις γὰρ ἐμέ ἄν· 'τί ἔστιν, ὦ φίλτατε, τί;' ἡ ζήτησις τῆς χαρᾶς. ἀλλ' ἀντὶ σοῦ ταῦτα λέγω· 'καὶ τίς ἡ χαρά;' ἐγὼ δέ· 'ἥνπερ σὺ [ποθεῖς] ὡς πνοήν' καὶ σὺ πρὸς αὐτό· 'τὸ πνοῇ ἐξισαζόμενόν μοι μυστήριον ἢ τοῦ ἐμοῦ δεσπότου ἐνδημία καθέστηκε'** ἀλλὰ σὺ σοφώτατος. 'ἀλλὰ σοφῶς ἐρωτᾷς;'.

---

32. *ὑγροτέρων* scripsi: *ὑγρότεροι*, ut vid., C.

LVIII. Argumentum. *'Iam ad te venturus vehementer gaudio efferor. Catulum nostrum excipe benigne et me ipsum expecta'.*

2. *ποθεῖς* altero loco scripsi: *πο* C. || 4 sqq. non intellego.

'ναὶ μήν, σοφῶς ἐρωτῶ'. 'ἀλλὰ καρδιακῶς [γε καὶ] φλέγομαι'. 'πῶς δὴ καὶ φλέγῃ;' 'τοῦ ἐμοῦ τῆς ἀποδημίας ἕνεκα' 'ἀληθῶς εἰρήκεις, ὦ ἄνθρωπε;' 'ναὶ μήν γε, προσφυῶς καὶ φιλικῶς'. 'καὶ τί τὸ ζητούμενον;' 'ἆρ' οὖν ἀγνοεῖς, ὅτι δεσπότου πάσχω τὴν στέρησιν;' 'ἄρα πῶς φανεροῦται τὸ δύσληπτον θεώρημα, ὡς φάσκεις, καὶ τί ἄρα λέγεις;' 'τοῦ ἰδεῖν τὸν ἐμὸν ἐπαθυμῶ κύριον'. 'χαῖρε τοίνυν ἐπιτερπ[όμενος]' '[τίνος ἕνεκα];' 'ὅτι τὸ ζητούμενον λύεται· καὶ λύεται ἄρα ἀληθῶς σοι βοῶ' 'πότε δὲ τοῦτο [πάλιν,] φίλτατε;' 'ναὶ μὴν ἀ[ληθῶς], ναὶ μὴν ἀληθέστατα, καὶ ζῇθι ὁ γράφων μοι πολυχ[ρονίως]

* * ' ὥσπερ τοῦ ἐμοῦ τε καὶ σοῦ ταῖς [ποικίλαις] | περιπλοκαῖς f. 10r
καὶ οἷον τοῖς καρδι[ακοῖς] ψυχ[αλγή]μασι τῷ μόνῳ [ἐμῷ] καὶ τῶν ἐμῶν [ἰδίων] ἢ καὶ τῶν ἐξα[ιρέτων] ἐξαιρέ[τῳ] καὶ τῷ διόλου τοῖς ἐμοῖς ὅλοις ὁλικῶς ὁλικῶν ἀλ[ηθεστάτως] φωνῶ, καὶ τὸ χαῖρε σοὶ ἐν διαλόγοις τοῖς βραχυτάτοις διαλογικῷ χαρακτῆρι ἀναβοῶ, ἐπεὶ τοί [γε] Πλατωνικὸς καὶ τῶν ἐξαιρέτων ἐξαίρετος.

Σὺ δὲ τὸν ἐμὸν Σκύθην Κλεόπαν τὸν φίλτατον εἰσδεξάμενος, τὰς ἐμὰς ἐν αὐτῷ ἐκτέλεσον γνώμας, [ἵνα μὴ] τὸ κυνίδιον τῶν σημείων τοῦ δεσπότου παραλλαττόμενον θηριωδέστερον τὴν ὑλακὴν ἀναπέμψῃ σοι. ἀλλὰ χαρμοσύνως δεξάμενος, εὐθυμίας ἀνάπλησον· μετὰ δὲ τὴν ταχυτῆτα τοῦ κυνὸς τὸν σὸν ἐκδέχου ταχύτατα ταχύτατ[ον] κύριον. ὦ [λό]γος· τίνος ἂν ἰσόσταθμος χαρμονῆς; ὦ χάρις· τίς διαύγεια λίθων ταύτῃ ἐξισωθῇ; ὦ λέξεως ὕψωμα· ποία σάλπαγξ εὐηχέστερον ἠχήσει καὶ ἀλαλάξει; συνεπακροτοῦσι τοῖς ὕμνοις σου ἄγγελοι καὶ μουσουργοῦσι τὰ ἐπινίκια τὰ περὶ τὴν χθόνα φυτά· ὁ ἀὴρ ἀγάλλεται σήμερον· τὰ ὕδατα ἠχοῖ ἐμβοᾷ· ἡ γῆ λαμβάνει τὸν ἑδρασμόν, τὸ πῦρ τὸ καρδιακὸν τοῦ πόθου ἀνάπτει τὴν χαρμονήν· συναλλοιοῦται δὲ τοῖς στοιχείοις ὁ αἰθήρ τε καὶ τὸ κενόν· πάντα χορεύουσι, πάντα συγχαίρουσιν καὶ ἐπὶ πᾶσιν ἡ ἐμὴ καρδία ἀκιχήτῳ κρατεῖται παλμῷ διὰ τὴν ἤδη ἐγγύτητα τοῦ καιροῦ, ἔστ' ἂν τὴν σὴν ὄψιν τὴν γλυκυτάτην καὶ ἐμοὶ ποθεινὴν κατίδω, Μουζάλων ἐμὸν τέκνον, ἐρρωμένος δεσμὸς ἀλληλένδετος.

---

30. παραλαττόμενον C. || 35. ἀλλαλάξει C.

ἑτέρα πρὸς αὐτόν

LIX (CCVIII) *Ὁ ἀρχαῖος Ἀδὰμ καὶ ὕστατος διά τε τὴν πτῶσιν καὶ τὴν ἐκ νεκρῶν ἀνάστασιν καταλαμβάνει πρὸς σὲ τὴν σάρκα ἔχων ἐσταυρωμένην διὰ τὴν νέκρωσιν· εἰ γὰρ καὶ ποτε τῷ ξύλῳ ἐντεταμένην εἶχε διὰ τὴν πτῶσιν τὴν σάρκα, ἀλλ' οὖν ἔρριπται πρὸς τὴν νέκρωσιν· καὶ ἔχει τὸ μὲν σῶμα ζῶν καὶ λαλοῦν, τὸ δὲ πνεῦμα παρακινητὸν ἢ παρακινούμενον πρὸς τὰς μεθοδίας τοῦ πλάνου. διὸ τοῦτον πρὸς ἐντάσεις καὶ πρὸς τρίψεις παρακινήσας διὰ λουτρῶν τῇ ἀποπλύνσει τοῦ ῥύπου σὺν τῇ Εὔᾳ ἀνάγαγε· κατάγαγε δὲ τὰ τούτου αἴσχη πρὸς βάραθρα, ἵνα τῇ ἀναβάσει τε καὶ τῇ καταβάσει ἕτερόν τι ἐκτελεσθῇ τὸ συμπέρασμα, ὅπερ οὐ διαβαίνει πρὸς ἔχθραν, ἀλλ' εἰς εἰρήνην αἰνιγματωδῶς τῶν πατερικῶν καὶ θείων ὀργάνων ἐμπνεύσει· τοῦτο γὰρ καὶ ὁ Διδυμοτείχου τοῖς νυκτερινοῖς φύλαξι τοῦ ἄστεος διὰ τυμπάνου διδάξας σαφέστατον ἀπέδειξε τοῖς πολλοῖς.*

Δοθήτω δὲ τῷ ῥηθέντι λίτρον στατήρων χρυσίου φιλοτιμίας ἕνεκα.

ἑτέρα πρὸς αὐτόν

LX (CCIX) *Πολλὰ μὲν ἐδέσματα τῇ χαρᾷ καὶ παντοδαπῇ καρυκείᾳ ἐξ ἀρτυμάτων ποικίλων τε καὶ παντοδαπῶν, ὦ πολλὲ καὶ ποικίλε τε καὶ παντοῖε τοῖς γε κατὰ κόσμον καὶ βίον πᾶσι, πρὸ δὲ πάντων καὶ μετὰ πάντων λόγος τὸ κάλλιστον· λόγος γὰρ ἔταξε καὶ τὸ ταχθὲν ἐκ Θεοῦ, λόγος ἐλόγωσε, λόγος ἐκίνησε, λόγος ἐπηύξησε, λόγος ἀπήρτισε, λόγος τετέλεκε καὶ πρὸς ἐντελέχειαν ἤγαγε. πάντα τοῦ λόγου*

LIX. Argumentum. '*Homini, quem ad te mitto, parcas, eiusque culpas obliviscaris*'.

2 sq. cfr. Paul. Rom. VI, 6. || 3. *καὶ ποτε* scripsi: *καὶ ὁ τὲ* C. || 6 sq. *ἐντάσεις* scripsi: *ἐντάσει* C. || 14. *λι τρ'* C.

LX. Argumentum. '*Sermonem composui et tibi dicavi, amoris mei testimonium*'.

2. *ποικιλε* C.

καὶ ἐν τῷ λόγῳ, ὅτι καὶ τοῦ λόγου ἡμεῖς· ἡδύτης βρωμάτων τί; καὶ τίνος ἔστιν ᾠδὴ μουσικῶν; ἐξ οἵων καὶ ὁποίων καθέστηκε; διαφορά τε ἡδονῶν τῶν ἐν διαφοραῖς ὅθεν τε καὶ ὁπόθεν εἰσέρχεται; ἐκεῖνος δὲ νοῦς ἐξεταστικός, ὅτι καὶ τὰ κατ' αἴσθησιν ἡδέα καὶ μὴ ἐκ τῆς μεγάλης ἐκχύσεως ἐκείνης τῆς πόρρω που καὶ ἐγγὺς ὑπαρχούσης ἐκκέχυνται· ἧς ὁ λόγος τὸ γέννημα, ἐν ᾧ καὶ δι' οὗ ἐγεγόνει τὸ κτιστόν. ηὔξατο μέντοι καὶ τις πρωτοθύτης καὶ ἄλλος καὶ ἄλλος, ὡς ὁ καιρὸς ἀπήτει καὶ κατὰ τὴν ἕξιν τῆς ἐπιστήμης αὐτῶν· ἀλλ' ἔγωγε ὡς ὑπερανῳκισμένην τὴν ἐν σοὶ κεκτημένος ἀγάπησιν μετὰ τὴν τῶν προαύλων καὶ εἰσαύλων τελετήν τε καὶ εἴσοδον ταῦτά σοι λέγω, τὴν τῆς καρυκείας τε καὶ δαιτὸς εὐφροσύνην ἐν λόγῳ τρεψάμενος. τὸ νέον πρὸς αὔξησιν, τὸ χαροπὸν πρὸς ἐπίτασιν, τὸ ἁγνὸν πρὸς ἐπιμονήν, τὸ εἰλικρινὲς πρὸς διαύγειαν, τὸ εὔστροφον πρὸς στερρότητα, τὸ στερρὸν πρὸς παχύτητα, τὸ εὔγλωττον πρὸς τὰς ἀντιρρήσεις καὶ κρίσεις μετὰ τοῦ συνόντος σοι ἀξιώματος, τὸ εὔτυχον ἐν τῇ μάλιστα τιμῇ καὶ τῇ κρείττονι, τὴν τάξιν τοῦ ἤθους μετὰ πολιτικῆς καταστάσεως τῆς γνώμης, τὸ ἀμετάβολον μετὰ ῥύμης τῆς πρὸς τὸν λόγον, τὸ προσηνὲς ὅπου δεῖ καὶ ὡς δεῖ, τὸ μεγαλοπρεπὲς κατὰ τὴν πάλαι σοι παίδευσιν παιδευθεῖσαν, τὸ ταχὺ οὐ πόρρω λόγου, ἀλλ' ἐν τῷ λόγῳ καὶ τὸ ἀνδρικὸν φιλοτίμημα καὶ τὸ φρόνιμόν σοι ἐμπόρευμα καὶ τὸ δίκαιον μάλιστα διὰ τὸ σῶφρον ὅση δύναμις καὶ τὰς τῶν ἀρετῶν ἁπασῶν ἁπάσας παραφυάδας ἐπεύχομαι θεόθεν δοθῆναί σοι, ὦ ἐμὸν κατὰ ψυχὴν ποθεινότατον καὶ πρᾶγμα καὶ ὄνομα καὶ εἴ τι ἄλλο τῶν καλλίστων ἐρασμιώτατόν τε καὶ κάλλιστον. τῷ τοι καὶ τὸν λόγον τοῦτον μικρὸν μὲν ὄντα, ἐφιέμενον δὲ καὶ τῆς περὶ τῶν λόγων ἐπιφανείας τοῦ ἅπτεσθαι, γέγραφα, ἵνα τῇ ἐκ τῶν καρυκευμάτων καὶ τῶν τροφῶν ἡδονῇ | τὴν λογ[ικὴν ταύτην] μίξῃς καὶ ἐπιστημονικὴν f. 10ᵛ πρὸς τὴν κατανόησιν ἀνέλθῃς τοῦ ἐπουρανίου ἐκείνου ἄρτου, δι' οὗ καὶ τροφαὶ καὶ πᾶν ὅ τι τοῖς κατὰ κόσμον ἐγένετο. σοὶ δὲ καὶ γνῶσις ἔντιμος καὶ παιδεία ἐλλογωτάτη καὶ φρόνησις ἀνεπίληπτος· τῶν λεγομένων ῥευστικώτερον τὰ καλὰ συλλεξ[άμενος] τῶν μὴ καλῶν τὸ ἄτιμον ἔκφυγε καὶ πάντων τῶν καλλίστων τῷ κάλλει τὸ σὸν κάλλος περικαλλῶς κατακάλλυνε.

---

7. τῷ C. || 24. ὅπου scripsi: ὡς που C. || 27. ὅση scripsi: ὡσεὶ C. || 37. ῥευστικώτερον Treu: ῥευστὴ πότερον, ut vid., C. || 39. περικαλῶς C.

ἑτέρα πρὸς αὐτόν

LXI (CCX) *Ἐγὼ μὲν λίαν τυραννήσας τὴν ἡδονὴν τοῦ μὴ τυραννεῖν ἡμᾶς ὅτι πόρρω σὺ ἀφ' [ἡμῶν, οὐκ] ἰσχυσα τυραννῆσαι ταύτην τοῦ μὴ τυραννεῖν ἡμᾶς τῇ τῆς σῆς ἀποδημίας τυραννίδι τυραννι[κῶς]. διὸ βασιλικῶς ἤ λεοντιδείῳ θάρσει πρὸς αὐτὴν ἐμβριμησάμενος ταῦτ' εἰρηκα· ' ἤ πόρρω βάδισον ἀφ' ἡμῶν, ἡδονὴ πικροτάτη, καὶ μὴ πρὸς ἑαυτὴν ἕλκῃς τὴν ἡμῶν αἴσθησιν τῇ λείψει τοῦ ποθουμένου μοι, ἤ τυράννησον τὸν ἡμᾶς τυραννήσαντα καὶ τυραννήσασα ἐφέσει τῇ δι' ἀλλήλων μετὰ πολλὰς τὰς ἡδονὰς καὶ χαράς, καὶ οἷον ἀναπαύσεις καὶ κυνηγεσίων διεκδρομὰς καὶ εὐωχίας καὶ εὐθυμίας καὶ εὐεξίας καὶ τερπωλάς τε ὅτι πολλὰς ἐπίστρεψον πρὸς ἡμᾶς.' τοῦτο τῆς χάριτος, καὶ τίς ὁ λόγος; ' ἀγάλλομαι'. καὶ ὁ ἀγαλλόμενος τί ποιεῖ; χαίρει κατὰ ψυχήν· καὶ ὁ χαίρων τίνος ἕνεκα χαίρει; τῆς τοῦ χαίροντος ἐπελεύσεως. τοῖς δ' ἄλλοις εἴτε τυραννούμεθα εἴτε ἀγαλλιώμενοι γλυκαινόμεθα, τῆς σῆς ἐστιν ἀγάπης, ὦ ἐμὸν κατὰ υἱοθεσίαν Μουζάλων τέκνον ἐρασμιώτατον, καὶ κατ' ἀξίαν καὶ θέσιν ἀδελφὲ σαρκικώτατε, ψυχικώτατε, διανοητικώτατε, νοερώτατε καὶ πᾶν ὅ τι ἐν τοῖς ἐμοῖς βαθυτάτοις ἐστὶν ἐμόν.*

LXI. Argumentum. ' *Nil cogito, nil exopto, nisi ut quam primum una esse possimus* '.

4. *λεοντείῳ* (ut infra in versiculis) vel *λεοντοειδεῖ* scripserim. || 6 sq. *τυράννισον, τυραννίσαντα* et *τυραννίσασα* C. || 16. In fine addit C.

τέλος τῶν ἐπιστολῶν τῶν παρὰ τοῦ σοφωτάτου καὶ ἀοιδίμου βασιλέως κυροῦ Θεοδώρου Δούκα τοῦ Λάσκαρι γραφεισῶν πρὸς τὸν αὐτάδελφον αὐτοῦ πρωτοσεβαστὸν <καὶ> πρωτοβεστιάριον καὶ μέγαν στρατοπεδάρχην κυρὸν Γεώργιον τὸν Μουζάλωνα.

*ὡς εὐφυής, κράτιστε, * * * **

τὸ πρὸς λόγους, κράτιστε, τραχὺ καὶ γρίφον,
τὸ μαλακόν τε καὶ κατηυτελισμένον
τὴν σὴν ὑπεμφαίνουσιν εὐγενῆ φύσιν·
βασιλικῷ γὰρ καὶ λεοντείῳ θράσει
θρασὺς σθεναρὸς τοῖς ἐναντίοις φέρῃ,
μετριοπαθείᾳ δὲ καὶ ψυχῆς λύσει
παιδαριώδης, ὕπτιος καὶ τῶν κάτω.
ὡς ἀνυμνῶ σε, κηδεμὼν καὶ τῶν κάτω.

Τοῦ αὐτοῦ ἐπιστολαὶ πρὸς τὸν περιπόθητον αὐτάδελφον τῆς βασιλείας αὐτοῦ πρωτοσεβαστὸν καὶ πρωτοβεστιάριον καὶ μέγαν στρατοπεδάρχην κυρὸν Γεώργιον τὸν Μουζάλωνα Vind. 321 f. 72r

LXII (CCXI)

Ἄγρα δὴ πρὸς ἡμᾶς, καὶ ἄγρα τοῦ ἐκ μακροῦ [μακρῶν χρόνων] ἀγρεύσαντος ἡμᾶς εἰς αὐτὸν λόγῳ φιλίας, ἑνότητος συμπλοκῇ, ἀνατροφῆς ἀνακράσει καὶ ἐν ᾧ τινι ἄλλῳ φύσις οἶδε βροτῶν συναρμολογεῖν τοὺς ἀνθρώπους αὐτῆς. ἡμεῖς δὲ τὴν ἄγραν, οἷόν τινες ἁλιεῖς ἐμπειρότατοι δεξιώτατα μεμαθηκότες τιθέναι τὸ ἀγκιστρον καὶ δελεάζειν διὰ τῶν φασμάτων δὴ τὰ ἐνάλια, τὴν ἐπιστολὴν δὴ ταύτην, ᾧ θαυμασιώτατε τῇ ψυχῇ ἢ θαυμασιωτάτη πλήμμυρα θαλάσσης ζωοτοκούσης, χαριεστάτως σοι ἀποστέλλομεν. καὶ σὺ δὲ ἐπιτέρποιο καὶ γηθοσύνως ἀγκαλίζου τὸ δόμα καὶ ζῆθι πολυχρονίως μετὰ τῆς συνούσης σοι χάριτος, ἣν δή τινα κατονομάζω χάριν ἐγώ, Θεοῦ δῶρον ὡς γεώργιον ἀγαθόν, κάλλιστον ἐν καλλίστῳ, θαυμασιώτατον ἐν ἐξῃρημένῳ, ἀσύγκριτον <ἐν> ἀσυγκρίτῳ, εὐγενὲς ἐν σεμνῷ, ἄριστον ἐν ἀρίστῳ, κράτιστον ἐν κρατίστῳ, ἐξηνθημένον ταῖς χάρισιν εἰς ἐξηνθημένον ταῖς καλλοναῖς καὶ πᾶν ἄλλο ῥοδωνιᾶς ἀρίστου καλλιγραμμούμενον, εὐφυλλότατον, ὡραιότατον, θαυμασιώτατον γέννημα πρὸς στέλεχον ἢ καὶ ῥίζαν καὶ κλάδους ἀληθείας, ἀνδρείας, ὑπολήψεως, πίστεως, σωφροσύνης, δικαιοσύνης τε καὶ φρονήσεως.

Τὰ δ' ἄλλα τῶν κοσμικῶν, ὅταν δὴ πρὸς ἡμᾶς ὁ καλὸς ἡμῶν ἐλεύσηται | ἀδελφός, σύ, κατὰ τὸ εἰκὸς ἀπερισκιάστως ἐξαγγελοῦμεν f. 72v *κατὰ τὸ σύνηθες.*

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

LXIII (CCXII)

Χάρις καὶ ἦθος, εὐαρμοστία καὶ κάλλος σεμνότητι, σταθηρότητι, ὀξύτητι, δεξιότητι συνεπλάκησαν, Θεοδώρα Γεωργίῳ τῷ ἐμῷ ἡ αὐτοῦ

LXII. Argumentum. ' *Donum tuum cum gaudio accepimus et tibi omnia bona optamus* '.

1. *μακρῶν χρόνων* delevi || 2. malim *αὐτόν*. || 4. *αὐτῆς* an *αὐτῇ*? || 7. *πλημμύρα* V. || 9. *ἀγγαλίζου* V. || 12. *ἐν* addidi.

LXIII. Argumentum. ' *Theodoram tuam tibi summa dilectione coniunctam esse, vosque ambo mutuo amore diligi vehementer gaudeo, vobisque omnia bona precor* '.

ἢ μᾶλλον κοινῶς τοῦ Θεοῦ. καὶ τῆς χαρμονῆς τὴν τέρψιν τίς ἐξηγήσεται; ὅρα σὺ πρὸς τὸ κάλλος σου, καὶ τὸ κάλλος σου δὲ πρὸς σέ, καὶ πλέκεσθε πεπλεγμένως καὶ πρὸς ὥραν διάστασθε ἀναμεμιγμένως, ἀεὶ δὲ καὶ συνεχῶς τοῖς ἡμετέροις καλοῖς καλλύνεσθέ τε καὶ ὡραΐζεσθε, ὦ καλὴ ξυνωρὶς καὶ δυὰς ἐν μονάδι ἰσοψυχίας (τούτου γὰρ ἕνεκα ἐξιλεοῦμαι καὶ πρὸς τὸ θεῖον), καὶ πάντοτε ἐρρωμένως ῥωννύεσθε τοῖς καλοῖς. ὃν δὲ πρὸς ἀρχὰς ἐρώτων ὁ γενναῖος ἀνὴρ ἐκινήθη, μετακινῆσαι οὔποτ' ἂν κινηθῇ. τοῦτο γὰρ τούτῳ ἐκ φιλοσοφίας λῆμμα δεδώρηται, τὸ μένειν ἐν ταύτῃ, παρ' ἧς καὶ τὸ κράτος τὰ πάντα εἴληχεν. ὑμᾶς δὲ ἡ χάρις, τὸ ἦθος, ἡ εὐαρμοστία, τὸ κάλλος, ἡ σεμνότης, ἡ σταθηρότης, ἡ ὀξύτης, ἡ δεξιότης κρατίστως, ἀρίστως ὡραΐζέτωσαν, κατακαλλυνέτωσαν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

LXIV (CCXIII) Τίνος ὁ δανείζων δανείζει ἢ τίνος ὁ χαρίζων χαρίζει, ἢ πάντως τοῦ οἰκείου πρὸς τὸν οἰκεῖον; ἀλλ' ἐν ἄλλοις λόγον ἐκ λόγου πρὸς τὸν ἐκ λογίου λόγιον ἐχαρίσαμεν· νῦν δὲ ἐκ σηροφοινίκων ὑφασμάτων ἑξάδα πέπλων χρυσοπάστων ὡραιοτάτην τούτῳ πεπόμφαμεν, ἐκ Μαγνήτιδος αὐτὴν ἀνελκύσαντες καὶ πρὸς τὸν ἡμῶν ἀδάμαντα στείλαντες, τῷ τελείῳ τοῦ ἀριθμοῦ τὴν τελικότητα τῆς ἡμῶν ἀγάπης δεικνύντες αὐτῷ, καὶ τῷ ξένῳ τοῦ εἴδους τὸ ξενοφανὲς τῆς ἀγάπης ἡμῶν, καὶ τῷ ῥαντισμῷ τῷ τοῖς ὑφάσμασι τῶν χρυσῶν νημάτων ἐγκεχυμένῳ τὸ περιφανὲς τῆς ἡμῶν κοινῆς ἀσυγκρίτου λαμπρότητος, καὶ τῷ διαφόρῳ τῷ τῶν χρημάτων τὸ ἀειθαλὲς καὶ ποικίλον τῆς τηλίκης ἡμῶν ἰσοψυχίας καὶ εὐζωίας· καὶ παντοίως ἐν πᾶσι διὰ τὸ κοινὸν τῆς ἑξάδος τῷ τελείῳ καὶ τῆς δεκάδος. ἀρ' οὖν ἐν ἀριθμῷ, ἐν χρώματι, ἐν ὑφάσματι τριττὴν ἑξάδα τῇ ἡμῶν μονάδι τῆς ἀγάπης πεπόμφαμεν, ἥ ἐστι σύ, ὁ ὡραῖος καὶ μόνος, καὶ μόνος ὡραϊσμένος ἐμοί, καὶ μεμονωμένος ὡραϊσμῷ καὶ παντοίως ἐν ταῖς ἐμαῖς μονάσι μονώτατος. μονάδας λέγω

---

3 sq. ἐξηγήσεται corr. ex ἐκδιηγήσεται V. || 6. ἀεὶ δὲ scripsi: ἀεί δε V. || 7. δυὰς V. || 11. μένειν scripsi: μὲν in extrema linea V.

LXIV. Argumentum. *' Vestes purpureas ad te mitto amoris mei summi tenue testimonium. Me laetum laetus quam primum ad te venturum expecta '.*

7. αὐτῷ] αὐω- sic V. || 10. τηλίκης corr. ex ποιλίκης V.

ψυχὴν καὶ σῶμα, ὕλην τε καὶ τὸ ἄυλον, καὶ τῶν μονάδων μονώτατον σὲ τὸν μοναδικῶς εἰς σὲ μόνον ἐμὲ καὶ μόνον ἑνώσαντα. καὶ τοῦτο λόγῳ ἀριθμητικῷ ἐκ τῆς χρυσῆς Μαγνησίας, νεώτερον εἶπω τὸ ἀστέισμα, | πορισάμενος. ἀλλ' ἀγάλλοιο, ἡ τῆς ἐμῆς αἰτία ἀγαλλιάσεως, καὶ f. 78r
τέρποιο, ἡ τῆς ἐμῆς τερπωλῆς ἀφορμὴ γενική, καὶ συνορχοῦ καὶ συσκίρτα τε καὶ συγχόρευε τῇ πρὸς σὲ ἐμῇ ἑνδημίᾳ, ἡ ἐμὴ τῶν τελείων ἡδονῶν τελικωτάτη τελείωσις, συνήθως εἶπω, ὦ Μουζάλων Γεώργιε, ἐμὸν τέκνον ἐρρωμένος δεσμὸς ἀλληλένδετος.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

LXV (CCXIV)

Αἱ τῶν πραγμάτων ἐναντιότητες ἕτερόν τι τῶν φαινομένων περαίνουσι, καὶ τῶν τελῶν τὰ τεκμήρια παραπεπήγασι ταῖς ἀρχαῖς. καὶ ἔστι ταῦτα τοῦ ἀληθοῦς· αἱ μὲν γὰρ ἢ τὰ πράγματα λύουσι παρ' αὐτὰ ἢ πρὸς ἑτέραν κινοῦσι τάξιν νεύσει τοῦ κρείττονος, τὰ δέ, διὰ τῶν σημειώσεων τῶν κινήσεων τῶν ἀρχῶν, τῶν τελῶν τὴν στάσιν ἐμφαίνουσιν. ὥσπερ γὰρ ἡ ἀρκτικὴ τοῦ πόλου περίοδος τὴν ἀνταρκτικὴν συγκινεῖσθαι ποιεῖ, οὕτω δὴ καὶ ἡ καλλίστη ἀρχή, διὰ τῶν ἐν ταύτῃ σεβασμίων δὴ σημειώσεων, τὴν καλλίστην ἄγει τελείωσιν. πότερον διαφόρων πραγμάτων κινήσεις ἐναντίως βαδίζουσαι τῇ τῆς ἀνωτάτω προνοίας νεύσει εἰς μίαν ἀρίστην συναρμολογεῖν διατρέχουσι, καὶ τὸ τεκμήριον θηριώδους ἀρχῆς; ἢ μᾶλλον ἀλόγου καὶ μηδέπω ἐγνωκυίας Θεὸν τιθάσσευσις προσημαίνει τοῖς εὐφρονοῦσι πολλῶν καὶ μεγάλων ὑπερφερῶν ὑψηλοτάτων βαθμίδων ἀνάβασιν ὑπεμφαίνουσα; ἡ γὰρ τῶν ἐναντίων συνδρομὴ ἐν αὐτῷ καὶ ἡ τῶν διακεχωρισμένων ἐννοιῶν πηλικότης ὁμονοίας εἰς ἕνωσιν τὴν τῶν τροπαίων μαρτυρεῖ μοι τελείωσιν. τίς εἶδε ταῦτα ἢ τίς γε καὶ ἤκουσε; δίδωσιν ἀλλ' ὅμως ἐκεῖνος ἡμῖν, ὃς καὶ τὸ ἄρχειν καὶ τὸ ὁρᾶν, καὶ τὸ διδόναι καὶ τὸ λαμβάνειν

---

18. ἀστέισμα scripsi: ἀστείασμα V.

LXV. Argumentum. *' Hostium victores nos Deus reddidit, quod ut nobis ita tibi tuisque summum gaudium afferre par est '.*

1. τι scripsi: τε V. || 8. ἡ scripsi: καὶ V. || 6 sq. Γνῶ mg. V. ἀρκτικὴ scripsi: ἀκτικὴ V. || 9. βαδίζουσαι scripsi: βαδίζουσα V. || 14. immo ἐν ταὐτῷ = εἰς ταὐτό?

κατὰ τὰς ἀξίας ἀντιστροφὰς βασιλικῇ τῇ φύσει καὶ θεικῇ κέκτηται. ἀλλὰ τίς τούτοις τὸ ἀντίξουν προσάξειε; Θεὸς γὰρ ἐξ ἀνατολῶν πρὸς δυσμάς, ὁ αὐτὸς ἐκ τῶν δυσμικῶν πρὸς ἀνατολάς, ἐν τῷ μέσῳ αὐτός, ἐν τοῖς ἄκροις αὐτός, ἐν ταῖς ἀντιδόσεσιν ὁ αὐτός, ἐν ταῖς δυσχερείαις ὁ ἐξευμαριστής, ἐν ταῖς θηριώδεσιν ὁρμαῖς ὁ ποιμενικός, ἐν ταῖς ἀγριότησιν ὁ γλυκύς, ἐν τοῖς πειρασμοῖς ἡ τῆς ἀειζωΐας βρύσις ἀθάνατος, ἐν τοῖς χαλεποῖς ὁ φυλακτικός, ἐν πᾶσι τοῖς γε λυποῦσι τὴν ἀνθρωπίνην φύσιν ἡμῶν ὁ βασιλικὸς θησαυρός, ὁ πᾶσαν τὴν πενίαν τῆς φύσεως καθ' ἑκάστην θεοειδῶς πλουσιοπαρόχως εὐεργετῶν, ἐν τοῖς πολέμοις καὶ μᾶλλον ὁ στρατηγός, ὁ τὰ σκῆπτρα τῆς βασιλείας νικητικαῖς ταῖς σημειώσεσιν ἀνυψῶν. οὗτος καὶ μόνος ἐν πᾶσι
f. 73v τὰ πάντα πρὸς τὸ συμφέρον ἡμῶν γινώσκεται. πότερος | καὶ τοὺς Περσάρχας πρὸς ἡμᾶς φυγάδας δεικνύει καὶ φυλακτικοὺς ἡμᾶς τῶν ποτε νομιζομένων ἐχθρῶν; τῷ τοί γε καὶ τῶν ὑψικαρήνων φρονημάτων τὰς ὑπερβολὰς ταπεινοῖ, καὶ τῆς Αὐσονικῆς προστασίας οἰκτροτάτας φάραγγας δείκνυσι, τῇ πίστει τὴν νίκην δωρούμενος καὶ τὴν φύσιν κλείζων διὰ τῆς πίστεως. ὁρᾷ γὰρ τὸ πλῆθος τὸ τῶν Περσῶν μέγαν ἄρχοντα ὑποχείριον τῆς Ἑλληνίδος φυλῆς· καὶ διὰ τῆς τοῦ φεύγοντος ἥττης τε καὶ χειρώσεως τῆς τοῦ διώκοντος τοῦτον ἐλπίδι θείᾳ τὴν ἐξανάλωσιν προσημαίνεται. ἐντεῦθεν χαρά μοι καὶ ἀγαλλίασις, ὅτι τοιούτων ἔργων θεατής, ἤ γε καὶ τελετής, ταῖς τοῦ τελειοποιοῦ ἐνεργείαις Θεοῦ γινώσκεται τοῖς πολλοῖς. οἷα εὐφροσύνη τῇ Ῥωμαΐδι τὴν σήμερον· ὄντως αἱ τῶν τοιούτων πραγμάτων ἐναντιότητες ὑψηλοτάτην ἕδραν τῇ Ῥωμαΐδι προετομάζουσι· καὶ τῷ σοφῷ θεμελίῳ τιμαλφεστάτην ἀνεγείρει τὴν ἀναδόμησιν Θεὸς οἰκοδόμος· καὶ πῶς οὐκ οἰκοδομηθήσεται τάχιστα; ναί, μάλα γε καὶ γενήσεται τῇ πνευματικῇ σφραγῖδι ἀπαρτιζόμενον. συγχάρηθι τούτοις καὶ σύ, ὦ φιλτατέ μοι ἀδελφὲ κατὰ θέσιν, υἱὲ κατὰ σχέσιν, ἰσόψυχε κατὰ προαιρεσιν, καὶ σώματι καὶ καρδίᾳ ταὐτοφυής, συμφυής, πεπλεγμένε, ἀρίσταρχε, ἀριστοπρεπής, στρατηγικώτατε, εὐγενέστατε διανοίᾳ, σὺν τῷ πολλῷ καὶ μεγάλῳ δομεστίκῳ τῷ σῷ ὁμαίμονι εἰς ἀρρήτου χαρᾶς χαρμονήν, Μουζάλων Γεώργιε, ἐρρωμένος δεσμὸς ἀλληλένδετος.

---

22. ἐξευμαριστής V. || 25. ἀνδρωπίνην supra lin. et in mg. add. V. || 44. συγχάριθι V.

XXV

AD HAGIOTHEODORITAM

ET

GEORGIUM MUZALONEM

τοῦ αὐτοῦ σοφωτάτου βασιλέως πρὸς < Γεώργιον τὸν Μουζάλωνα καὶ Ἁγιοθεοδωρίτην > Laur. 59,35 f. 121v

Τοῖν δυοῖν ἐμοῖν φυτευμάτοιν καὶ βίου στηριγμάτοιν χαίρειν προσαποφθέγγομαι. εἶθε δὲ τὰ γαμήλια ἐπεράστως ἐγένοντο ὑμῖν, τοῖς ἐμοῖς κατὰ πάντα, καὶ τὴν ἀνθοῦσαν πρωτόπειρον καλῶς διῳκήσατε, ὡς ἐμὴν οὖσαν καὶ τοῦ ἐμοῦ ἀδελφήν. οὐδεὶς γὰρ ἄλλος τόσον ἐμός ἐστιν ὡς σύ, ὁ εἷς τῆς δυάδος Γεώργιος, ἐμῆς ψυχῆς ζάλης ἡμεραγωγέ. διὸ καὶ τὴν σὴν ἀδελφὴν ἐμὸν τέκνον εἶναι νομίζω, καθὼς οἶδας καὶ σύ, καὶ τὴν αὐτῇ καὶ ὑμῖν θυμηδίαν τὰ νῦν γενομένην ἀσμένως ἀνιστορῶν τέρπομαι πάμπολλα κατὰ νοῦν, τὴν κόρην ὁρῶν νοερῶς | ἀποστίλβουσαν χάριτας, εὐπρόσωπον, ἀξιέραστον· ἀλλὰ δὴ I (CCXV) f. 122r *καὶ τὸν νυμφίον ἀγαθόν, ὡραῖον καὶ καλόν, τὴν συνάθροισιν ἐραστὴν καὶ τοὺς κηδεστὰς καὶ νυμφαγωγοὺς πάνυ φίλους ἐμούς, καὶ πάντα ὡς εἰπεῖν τὰ σὰ καὶ διὰ σὲ τελούμενα ἀγαθὰ καὶ καλά. σὺ δέ, νυμφαγωγὲ καὶ ἡμεδαπὲ Ἁγιοθεοδωρῖτα, τί πράττεις; ἐγεύσω τῶν ποθει-*

I. Argumentum. ' *Cum alterius vestrum soror alteri nuptura sit, vos in magna laetitia esse scio, eademque et ego propter vestrum amorem ut praesens fruor* '.

In. tit. nomina omisit F, ex ipsa epistula nullo negotio supplevi ego.

1. *χαίροιν* F. || 7. *τανῦν* F. || 11. *κηδεστοὺς* corr. in *κηδεστάς* F. || 13. *ἡμεδαπὲ* scripsi : *ἡμιδαπέ* F.

νῶν σοι ὄψων; εἰστιάθης τὸν τρισκοπάνιστον ἄρτον; ἐρρόφησας τοῦ ἀνθοσμίου; ηὔλησας τὴν ᾠδήν; τῆς μουσικωτέρας ἐτρύφησας διέσεως; ἦψω τοῦ ἐπῳδοῦ; ἐμελούργησας ἄριστα; ηὐφράνθης κατὰ ψυχήν; παντοίως ἐτρύφησας; ἐγὼ γὰρ οἶμαι ὡς πάντα ταῦτα ἐτέλεσας, ἐπεὶ καὶ φίλος καὶ ἀδελφὸς τοῦ ἐμοῦ ὑπάρχεις Μουζάλωνος. ἀλλ' ἰδοὺ καὶ τὴν σήμερον ᾄσεις τὰ ἐπαύλια καὶ τὴν μετὰ τὴν σήμερον τραπῇς εἰς πλείονα χαρμονήν, ὡς κυρίαν οὖσαν καὶ γαμικήν. ἡμεῖς δὲ τὴν πολύφλοισβον παροδεύοντες οὐδὲν ἕτερον ἔχομεν, ἢ τοὺς μουσικοὺς τέττιγας, τοὺς βαρεῖς, ληροῦντας τὰ δύσφημα καὶ ἄμουσα καὶ ἀνόνητα καὶ μὴ πρὸς τὴν Στρύλου ἐξηχοῦντας ᾠδήν, ἀλλὰ πρὸς κακίστην ἠχὼ ᾄδοντας ὡς μὴ ὤφελον. ἴδομεν δὲ ἡμεῖς ὑμᾶς τάχιστα τερψόμενοι |
f. 122v πρὸς ᾠδὴν καὶ συνήθη χαράν.

τοῦ αὐτοῦ βασιλέως πρὸς τὸν Ἁγιοθεοδωρίτην

II (CCXVI) Σὺ μέν, ὦ Ἁγιοθεοδωρῖτα, ἐκ τῆς πενθερικῆς προτροπῆς ἐσχηκὼς τὴν αὐτεξουσιότητα, τὰς εὐαγγελικὰς ῥήσεις ἀποφθέγγῃ ὡς βουλητόν. ἐγὼ δὲ ἀναξιώτατος τούτων ὄντως καθεστηκὼς οὐ ψαύσω τῶν τοιούτων λόγων, ἀλλὰ τῇ Ἑλληνίδι διαλέξομαί σοι διαλέκτῳ, ἣν καὶ < μᾶλλον > ἠσπασάμην ἢ τὸ ἀναπνεῖν. τοίνυν οὖν οὐκ ἀγορεύσομαι ἐκ πίθου, οὐ μαντεύσομαι τῇ Πυθίᾳ ἀρυσάμενος ἐξ αὐτῆς τὰ νοήματα (τὰ μὲν γὰρ μεθυόντων, τὰ δὲ ἐπῳδῶν καὶ τῆς ἀρρήτου φιλοσοφίας, ἅτινα καὶ παραλειπτέον)· ἀλλὰ τῆς Πυθαγορικῆς ποθεινῆς ἐμοὶ ἐπιστήμης ψαύσας τὰ νῦν, ἀντλήσω νόημα ὅτι κάλλιστον καὶ σοὶ τούτῳ ἐξομοιώσω σὺν τῷ ἐμοὶ ποθητῷ ἀγαν Μουζάλωνι. τοιγαροῦν δύο διαστάσεων οὐσῶν ἐν ἀριθμῷ πολλαπλασιαζομένῳ, σφαιροειδὴς καὶ κυκλοειδὴς καὶ ἀποκαταστατικὴ εὑρίσκεται ἡ <τοῦ> αὐτοῦ ἐπανάληψις. ἐπεὶ γοῦν καὶ ὑμεῖς πολλαπλασιαζόμενοι τῇ διαστάσει πρὸς ἐμὲ τῆς πενταχοῦς

---

14. ἐρόφησας F. || 19. fort. ᾄσει et τραπήσῃ? || 24. ὄφελον F.

II. Argumentum. *' Vos absentes summo desiderio mente repeto. Multa sunt hic molesta, nec tamen ridendi causae desunt '.*

3. ἀναξιώτατος scripsi: ἀναξιότητος F. || 5. μᾶλλον addidi. || 6. Proverbium ἐκ πίθου ἀντλεῖν (Apostol. VI, 93 f in *Corp. Paroem.* II, 390) respicere videtur. ἀρρυσάμενος F. || 11. πολλαπλασιαζομένῳ scripsi: πολλαπλασιαζομένων F. || 12. τοῦ addidi.

αἰσθήσεως κυκλοῦντες, κυκλοῦτε ἐν ἀληθείᾳ, τῷ ὄντι ἀποκατάστασιν
ἔχοντες τὴν ἀρχήν. διὰ τοῦτο σὺν ἐμοὶ ἀπαριθμούμενοι | τῇ ἀριθμη- f. 123r
τικῇ ἀναλογίᾳ τῇ συνεχεῖ εἰκονίζετε. καὶ γὰρ ὡς ὁ εἷς πρὸς τὸν μετ'
αὐτόν, ὁ μετ' αὐτὸν εἰς τὸν πρὸ αὐτοῦ. διὰ τοῦτο καὶ συνημμένη ἡ τοι-
αύτη ἀναλογία ἐστί. τοίνυν οὖν καὶ ἡμεῖς, οἷα μέλη συνημμένα ὄντες
τῇ πρωτουργῷ δυνάμει ὑμῶν καὶ πρὸς τὴν ἀρχὴν ἀποδιδόντες καὶ ἐξ
αὐτῆς ἐξερχόμενοι, τῇ τριττῇ διαστάσει τε τῆς ὑμετέρας ψυχῆς πολ-
λαπλασίως ἀπαριθμούμενοι σὺν ἐμοὶ κατὰ πολλαπλασιασμὸν κυκλοειδῆ
καὶ σφαιροειδῆ, καὶ ἀποκαταστατικὴν ἐν ἐμοὶ τὴν ἐπανάληψιν ἔχετε.
διὸ ἀφορῶντες πρὸς τὴν μονάδα, τὸν ὑμῶν κύριον, ὅλοι ἦτε ἐμοὶ ὡς
ἐξ ἐμοῦ ἔχοντες ἅπαντα. καὶ ταῦτα μὲν οὕτω.

Παίξομεν δὲ πρὸς μικρὸν οἱονεὶ συναυλοῦντες καὶ συνορχούμε-
νοι καὶ διὰ γλώττης καὶ χειρὸς κυμβαλίζοντες. ἀκμὴν μὲν τὴν πολύ-
φλοισβον παροδεύομεν, τοὺς μὲν τέττιγας ἕως νύκτωρ βαρὺ ἄλγος
ἔχοντες· ἡλίου δὲ δύναντος χθὲς εἴδομεν καὶ δυτικὸν ἐσβεσμένον ἀν-
θήλιον. οὐκ ἤδειν δὲ εἴτε προσημάντορες αὐτοῦ ὑπῆρχον οἱ τέττιγες,
εἴτε οὗτος τὰς πάντων αὐτοῦ φλυάρους φωνὰς ἀνεμάξατό τε καὶ
ἀπερρόφησε καὶ οὕτω τόσσα ληρεῖ· εἰκονίζει δὲ τὴν αὐτοῦ κεφαλὴν
καὶ τὸ τοῦ Χαριόρους ἄστυ ἔκ τε τῆς ἄγαν ξηρότητος ἔκ τε τῆς
ὑπαιθρίου θέσεως καὶ ἀληθῶς ὡς εἰπεῖν ἐκ τῆς συνοικούσης | τού- f. 123v
τῳ κουφότητος. διὸ καὶ τὸ ζῆν τῇ τοιαύτῃ ξηρᾷ κεφαλῇ ὡς βαρὺ
νομιζόμενον, ἑπομένως καὶ Ζαβαρειώτην ἔσχε παιδαγωγόν, πάνυ δὲ
καὶ τοῦτον ξηρόν· ἡ γὰρ τοῦ φλεγματικοῦ χυμοῦ ὑγρότης εἰς τοὺς
πατρικοὺς τούτου κατασκήψασα πόδας, τὰ σπερμογόνα μόρια αὐτοῦ
ἄνικμα ὑγρότητος ἔμειναν, καὶ οὕτως ἐγεννήθη ὁ Ζαβαρειώτης ξηρός.
ἀμφοτέρωθεν δὲ ἑνορῶντες ἡμεῖς οὐδὲν ἄλλο ἐβλέπομεν, εἰ μὴ πάντα
ξηρά· κρανίον γεροντικὸν καὶ ξηρόν, λόφον ὑψηλὸν καὶ ξηρὸν καὶ Ζα-
βαρειώτην λεπτὸν καὶ ξηρόν. ταύτης γοῦν τῆς ξηρᾶς δυναμοδυνάμεως
ἐνωθείσης καὶ οἱονεὶ τῷ χθὲς καύματι συνοδευσάσης, φλὸξ ἐγεννήθη
ξηρασίας εἰς ἡμᾶς ἐξ αὐτῆς. πεποιθότες δὲ ἐπὶ τὸν Βατραχωνίτην καὶ
τοῖς Δαμασκηνοῖς αὐτοῦ μέλψομεν τὴν ᾠδήν, ἐκ κοιλίας ᾅδου
ῥυσθέντες, τοῦ καύσωνος, καὶ πρὸς τὸ Ἀχλαδερὸν κατανεύσαντες
ἀλλ' οὐχ ὡς ἀχλαπιδοκουβαλοῦντες, ἀλλ' ὡς πρὸς μαυρομματούσας

---

36. τοῦτον scripsi: τοῦτο F. || 42. ἐγενήθη F. || 44. cfr. Ion. II, 3. || 45. κατανεύσαντες scripsi: κατουνεύσαντες F. Cetera non intellego.

βλέποντες. εἶθε δὲ τούτων ἀξιωθείημεν καὶ τὰς πόρτας παρέλθομεν μηδὲν φέροντες φορτικόν, ἀλλὰ πάντα χρηστά τε καὶ ἐλαφρά, ἵνα καὶ ἡ τοῦ Χριστοφόρου γομφόλοξος ῥάχις ἀνανεύσῃ καὶ τὸ στῆθος
f. 124r παρεκβῇ, καὶ οὕτως ἴσος ἐκτελεσθῇ. ἐν τοσούτῳ δὲ καὶ | ὑμᾶς κατοψόμεθα σὺν ἡμῖν ἐντρυφῶντας ξύμπασι πράγμασιν.

49. ῥαχις F. ‖ 50. ὑμας corr. ex ἡμας F.

XXVI

AD SENACHERIM ET FRANGOPULUM

Τοῦ αὐτοῦ ἤγουν τοῦ σοφωτάτου βασιλέως κυροῦ Θεοδώρου Laur. 627 f. 10v
Δούκα τοῦ Λάσκαρι ἑτέρα ἐπιστολὴ γραφεῖσα πρὸς τοὺς κατὰ Νικαίαν ἐλλογίμους διδασκάλους τῆς ῥητορικῆς τε παρὰ μέρος καὶ τῆς ποιητικῆς, τὸν Σεναχηρεὶμ κυρὸν Μιχαὴλ καὶ τὸν κυρὸν Ἀνδρόνικον τὸν Φραγγόπουλον, ὅτε ἐξ αὐτῶν πρὸς αὐτὸν ἀνῆλθον οἱ παῖδες, ἐστράφησαν δὲ παρ' αὐτοῦ διὰ πλείονα μάθησιν πάλιν εἰς τὴν σχολήν

Οὐδὲν ἕτερον τὴν τοῦ φυτουργοῦ εὐφραίνει ψυχήν, ἢ τὸ ὁρᾶν (CCXVII)
τὸν οἰκεῖον λειμῶνα εὐθηνούμενόν τε καὶ θάλλοντα. εἰ δὲ καὶ τὴν ἄνθησιν τῶν φυτῶν συνάγει περὶ τὴν ὄψιν ὡραίαν οὖσαν καὶ ἀνθηράν, αἰνίττεται κἀκ τούτου εὐκαίρως καὶ τῶν καρπῶν ἀπολαύσειν τῆς ἡδύτητός τε καὶ καλλονῆς. καὶ γὰρ οἱ λιχνότεροι τῶν ἀνθρώπων, ἔτι δὴ τῆς πεπάνσεως μὴ ἀχθείσης ἐν τοῖς φυτοῖς, ὀμφάκων τελούντων τῶν ἀναβλαστανομένων ἐν τούτοις καρπῶν, πειρῶνται τῆς γεύσεως ἐκλαβεῖν, τὸ φυτουργικὸν ὡς αἰτίαν προθέμενοι καὶ πρὸ τῆς ὥρας ἐφέσει τοῦ μείζονος τῶν καρπῶν τρυφᾶν καταναγκαζόμενοι. διὸ τίς ἂν φυτουρ-

---

Tit. 5. φραγγο (πλ') et mox αυ (τ) pro αὐτῶν C.
Argumentum patet ex titulo.
4. ἀπολαύσειν scripsi: ἀπολαύσει C.

γὸς ὡραίων φυτῶν ὡς ὁ λογικὴν συστησάμενος πραγματείαν καὶ μαθηματικὸν καὶ μαθητικὸν λειμῶνα προάξας ἐπὶ τῆς γῆς, ὁ γνῶσιν δι' ἧς τὸ τῆς ψυχῆς ὄμμα καθαίρεται, ἐπὶ τὴν ἀνωτάτω ἀνάγων φιλοσοφίαν; ἄριστος φυτουργὸς ὁ ταῦτα ποιῶν ἐν βαθυξύλοις δρυμῶσι λόγου τὴν πολυάσχολον παιδείαν ὡς φυτουργῶν. ἑωράκειν γὰρ ἐγὼ τοὺς νέους νυνί, οὓς ἐκ τῆς ἐμῆς τεθείσης σχολῆς ἐν τῇ Νικαέων ἡ νικοποιός μου τὸν λόγον ἐβλάστησε καὶ ἠγαλλιασάμην ὡς φυτουργός, καὶ εἰ μὴ καὶ τῶν καρπῶν ἐδεξάμην τὸ ἐντελές, ἀλλ' οὖν ἐγνώκειν ἐκ τῆς εὐφυΐας τὸ ἀληθὲς καὶ γνούς, οἷά τις φυτουργὸς ὡραίου λειμῶνος, τῷ φυτουργῷ τῆς ζωῆς τὴν δόξαν ἀνέπεμψα, ὅτι δὴ τοὺς ἐμοὺς τῶν λόγων κλάδους Ἑρμοῦ τε γεννήματα ἰδεῖν κατηξιώθην τῶν εὐγενῶν. εἰ γὰρ καὶ τῇ περὶ τὰς στρατηγικὰς ὑποθέσεις ἐνασχολίᾳ ὅτι πολλῇ ῥοίβδην ἐτινασσόμην, χεομένου τοῦ νοῦ ἔνθεν κἀκεῖθεν διὰ τὰς ἄνω κάτω περιπετείας στάσεσι, μάχαις, ἐνστάσεσιν, ἀντιστάσεσιν, ποικιλίαις, μεταφοραῖς, ἀπειλαῖς καὶ τῶν ἀπειλούντων ὑπονοστήσεσι, ταῖς τῶν ὁμορούντων δὴ βοηθείαις, ταῖς τῶν ἀπωκισμένων καταδρομαῖς καὶ τοῖς ἄλλοις, οἷς δὴ ἡ τοῦ κοινοῦ συντήρησις ἡμᾶς ἐπιβαίνειν ἠνάγκαζεν,
f. 11r ἀλλ' οὖν οὐδέποτε τὸν ἡγεμόνα νοῦν ἐκ τῆς | τοῦ λογικοῦ λειμῶνος καλλονῆς ἐχωρίσαμεν. ἔτρεχεν ἐν ταῖς ἐργασίαις, ἀλλὰ νοερῶς καὶ τούτου εἰργάζετο· ἐθεωρημάτιζεν ἐν βουλαῖς, ἀλλ' οὐδ' ἐκεῖνον μὴ κλαδεύεσθαι παρεχώρει· συνεσφρίγα τῷ σώματι περὶ τὰ πολεμικά, ἀλλ' οὐδὲ μὴ καὶ τῆς ἐννοίας τοὺς ῥύακας πρὸς αὐτὸν ἐκχέειν ἀρδην ἐπαύετο. ἐκύκλου γὰρ τὰ νοήματα καὶ ὅθεν ἂν ἐπέβαλλε τῷ τεχνάσασθαι, ἐκ τοῦ λόγου τὰς ἀφορμὰς ἀπελάμβανεν· ἐμάχετο, καὶ ὁ λόγος τούτῳ δὴ συνεμάχετο· εἰρήνευε, καὶ ἐκ τούτου αἱ ἀφορμαί· πρὸς πολιορκίαν ἐχώρει, καὶ ἐξ ἐκείνου τὰ μηχανήματα. ὅθεν δὴ τῆς ἀνταμείψεως ἡ στροφὴ ἐπανέστρεφε τοῦτον πρὸς τὸν λειμῶνα καὶ οὐδέπω κεχωρισμένος ἦν τῆς καλλονῆς τῆς τούτου καὶ τῶν φυτῶν. ἀλλ' εἶδον ἐγὼ καὶ μετακινουμένους ῥαδάμνους, οὐχ ὅτι καλοῦ κίνησιν ἀπροαίρετον, κάρτα γὰρ ἐκείνῳ καὶ μαρασμός, ἀλλὰ προαιρετικήν τε καὶ ζωτικὴν κίνησιν νέων, καινῶν < καὶ > νέων φυτῶν ἐκ νέου λειμῶνος πρὸς νέον φυτηκόμον καὶ φυτουργόν. ἐπαινῶ διὰ ταῦτα ὁ τοῦ ἀμπελῶνος τοῦ λογικοῦ κύριος τοὺς μισθωτοὺς δι' ὧν ἐκεῖνος ἐκάρπευσε. τίνες οὗτοι; ὁ τὴν ἐγκύκλιον τῶν λόγων ῥοὴν ἐκχύσας ἐν τοῖς

---

11 sq. cfr. Iamblich. *De comm. Math. scientia* p. 68, 26 sq. Festa. || 38. καὶ C. || 40. καινῶν < καὶ > νέων scripsi: καὶ νέων νέων C.

φυτοῖς καὶ ὁ τὴν σπερματικὴν τῆς ῥίζης καταβολήν, ἰσχύν τε καὶ δύ-
45 ναμιν. ἔστι δὲ τοῦτο ἀφωσιωμένον ἁρμοδίως τοῖς ἑκατέροις, τὸ μὲν τῷ διδάσκοντι τὴν ποιητικήν, τὸ δὲ < τῷ > τὴν γραμματικήν, τῷ πολλῷ μου Σεναχηρείμ, τῷ ἐμοὶ μὲν γνωστῷ, πολλοῖς δὲ ἐθελοντὶ μὴ γνωστῷ, καὶ τοῦτο οὐκ ἐν αἰνίγματι, εἰ καὶ τῶν φιλοσόφων τὰ λόγια ὡς αἰνίγματα κρίνονται· τοῖς μὲν γὰρ ἄλλοις αἰνίγματα, οἷς δὲ
50 μετοχὴ διὰ τὴν ἐπιστημοσύνην ἐστί, νενοημένον τὸ ἀσαφές. τῷ δὲ θατέρῳ δοτέον ἡ χάρις, ὅσος ὁ ἔπαινος, ἄνδρας πρὸς νίκας Ἀνδρονίκῳ ἀνάγοντι. εἰ γὰρ καὶ στρατιωτικῆς ἐπιστήμης ἄσκησιν τίς διδάσκει πρὸς πολεμίους ὅτι σωματικοὺς ἔχει τὴν χάριν τε καὶ τὸν ἔπαινον, πόσον ἂν ἔχῃ ὁ φιλοσόφους μέλλοντας γίγνεσθαι ἀνάγων διὰ τῆς
55 παιδείας ἐπὶ τὸ κράτιστον; ἡ ἀντιστροφὴ τῶν θατέρων ἐρασμία καὶ ἐνδοξος· ὁ μὲν ὑποβάθρα, ὁ δέ γε τῆς ὑψηλότητος. καὶ αὖθις ἐκ ταύτης δὴ τῆς κλίμακος τῆς ὑψηλοτέρας ἀνάξει, ὅτε καιρός, ἐπὶ τὴν βασιλικὴν ἡμετέραν ἐρώτησιν, ἵν' ἴδωμεν τοὺς καρποὺς ὅπως δὴ ἐκ τῶν προσεχῶς φυτουργῶν ἐπεπάνθησαν. ἐπαινῶ τοὺς τῶν ἐμῶν πολλῶν
60 ἐγκωμίων ἐκπαιδευτάς, ἐκθειάζω ἐκ τῆς μερικῆς παραφυάδος τὰ κλήματα, καὶ τὰς κατὰ τὸν σοφώτατον Ὅμηρον ἀγλαοτάτας μηλέας περσέας τε γλυκερὰς ὑπεράγαμαί τε καὶ τέθηπα. πόσον γὰρ τὸ ἐγκώμιον, ὁπόταν ὁ καρπὸς μαρτυρῇ τὸ φυτόν; πόση δὲ ἡ ἡδονὴ καὶ τὸ γλύκιον, ὁπόταν τις ἐκ τῶν πτόρθων εὐθεῖα ἀνάβασις ἀγχινοίᾳ τῇ εὐγε-
65 νεῖ ἐπὶ τὰ τῆς ῥητορικῆς ἀνέλθῃ ὑψώματα καὶ μεγαλύνῃ τὸν πρώτως μὲν αἴτιον καὶ Θεὸν καὶ τὸν δι' οὗ δευτέρως συνέστηκε τὸ παγκράτιον; τί καὶ γάρ ἐστι πάλη καὶ τίνος χάριν δοράτων ἀντώθησίς τε καὶ ἀντιμάχησις; μάχης αἰτία καὶ φόνου καὶ ἔριδος ἀφορμή, καὶ ὅσα δὴ περὶ τὸ παγκράτιον τῷ ὁμοίῳ ἐξετάζονται τρόπῳ, καινῶς ἐν κοι-
70 νοῖς ἢ καὶ μάλιστα ἐν καινοῖς ἄλλην ἐξ ἄλλης ἀφορμὴν κακίας ποιοῦντα καὶ συνιστάνοντα. πόση ἡ σύγκρισις τούτων περὶ χλιδὴν καταγινομένων τοῦ λογικοῦ τὲ παγκρατίου περὶ τὴν εἰρηναίαν τῆς ψυχῆς κατάστασιν ἀγομένου; τίς γὰρ παραλληλισμὸς ἐνσάρκων καὶ ἀσάρκων ἐχθρῶν; ὥσπερ γὰρ οὐδὲ οἱ τῶν ἑκατέρων ἀνταγωνι-
75 σταὶ τὸ ὅμοιον ἔχουσιν, οὐδὲ οἱ μαχόμενοι τὸ παρόμοιον, ψυχὴ καὶ σῶμα, ψυχικὸς ἐχθρὸς καὶ σωματικός. ὡς ἡ ἄρα θέσις ψυχῆς καὶ σώ-

---

46. τῷ addidi. || 47. πολλοῖς] λλ- πο C. || 52. ἄσκησίν τις conieceram; sed τίς = ὅστις. || 56. μὲ (sic) ὑπὸ βάθρα C. || 61. sq. Hom. η 115 sq. λ 588 sq., unde μηλέας ἀγλαοκάρπους συκέας τε γλυκερὰς scribendum erat. || 69. καινῶς scripsi: καινὸς C. || 72. τε scripsi: δὲ C. || 76. ὡς ἡ scripsi: ὅση C.

ματος, οὕτωσὶ καὶ τῶν ψυχικῶν ἐχθρῶν καὶ σωματικῶν. ἀλλ' οἱ τὸν
διαυλον τῆς ψυχῆς μετερχόμενοι καὶ λογικῶς ἀναγόμενοι, ἐπιστημονι-
κῶς παιδευόμενοι καὶ πρὸς τὴν ἄνω φιλοσοφίαν ἀναβιβαζόμενοι, ἐκεῖ-
νοι τῆς ἀύλου μοίρας καὶ ἐναρέτου, ὅτι καὶ πρὸς ἀύλους ἐχθροὺς 80
παιδεύονται μάχεσθαι, πάθη τὰ τῆς σαρκός τε καὶ δαίμονος· ὅσοι δὲ
ἀσπίσι καὶ δόρασιν, ἱππεύσεσί τε καὶ προασπισμοῖς καὶ δίσκοις καὶ διαύ-
λοις καὶ ἅλμασι δαπανῶσι τὴν σάρκα τί ἂν ποιῶσιν, εἰ καὶ πρὸς ὥραν
φαίνεται τὸ πρὸς ὄνησιν, ἢ ματαιοῦνται ἐν ματαιότητι τὴν ζωήν; ἡμῖν
δὲ τοῖς λογικοῖς τε καὶ συντρόφοις τοῦ λόγου λόγος ἑστίασις· ἐσθιο- 85
μεν, τὸν λόγον κατέχομεν· ἱστάμεθα, τὸν λόγον συνίστορα ἔχομεν·
δημηγοροῦμεν, πρὸ γλώττης φέρομεν· πρὸς κρίσιν ἀγόμεθα, ἐκεῖνον
ὡς δικαστὴν καὶ συνήγορον ἐκλαμβάνομεν· τὴν τῆς βασιλικῆς διαίτης
ἐκτελῆ ὑπήρεσιν βουλόμεθα, καὶ ὡς βασιλικόν τινα οἰκονόμον αὐτὸν
προτρεπόμεθα. τί τοῦ λόγου μὴ τίμιον; τί τοῦ λόγου μὴ ἄξιον; τί τοῦ 90
λόγου μὴ τῆς ἀνωτάτω ἀξίας ἐξεύρημα; πάντα τοῦ λόγου καὶ οὐδὲν
δὴ ὃ τὸ μὴ τοῦ λόγου ἐστί. καὶ τὴν μαρτυρίαν ἄγει πρὸς τοὐμφανὲς
ἡ τῶν νέων ἑξὰς ἡ πρός με πεφθακυῖα, ὦ σοφώτατοι ἀνδρες καὶ
ἀξιέπαινοι. οὗτοι γὰρ πεντὰς καὶ ἑξάς· ἡ μὲν πεντὰς ὡς ἀρχὴ αἰσθη-
τικῆς καὶ ζωικῆς ὑπάρξεως, γραμματικῆς δηλονότι· ἡ δὲ συντελεστικὴ 95
μονὰς τῆς ἑξάδος ποιητικῆς ἐστι προσβολή. ἐξ γὰρ οἱ νέοι, οἱ πέντε
γραμματικῆς, ὁ δ' αὖ τῆς ποιητικῆς αἰτίας μείζονος γνώρισμα ἀνα-
καλουμένης πρὸς τὴν ῥητορικὴν καὶ ἕξῆς πρὸς τὰς ἑξῆς τε καὶ ἑφε-
ξῆς. τί τοίνυν εἶπω περὶ αὐτούς; μαντικώτερον εἶπω· οἱ μὲν πέντε
f. 11v ὡς τῶν πέντε αἰσθήσεων συναγωγή τε καὶ τάξις ἐδέχθησαν | παρ' ἐμοί, 100
ὁ δ' αὖ ἕτερος ἀρχὴ βαθμίδος ποιητικῆς ἀνάγων ἐπὶ ῥητορικήν, τὸ
δὲ μετὰ ταῦτα πρὸς τὴν ὀργανικήν. σιωπῶ, ἐπειδήπερ οὐ χρὴ τοῖς
φυτοῖς ὕδωρ βάλλειν πολύ, ἵνα μή πως μαρανθείσης τῆς ῥίζης οὐ
φυήσονται οἱ καρποί. ἐπαινοῦμεν γραμματικήν, μεγαλύνομεν ταύτην,
οὐκ ἀποστεροῦμεν ποιητικῆς, οὔτ' αὖ γε ῥητορικὴν τοῖς ποιητικοῖς. 105
εὕρῃ γάρ, ἂν τις ἐπιστημόνως ἐξετάζῃ τὰς ἐπιστήμας, ἀλληλουχίαν
ἐν ταύταις καὶ συνεξάρτησιν. ὥσπερ γὰρ ἐκ τῆς γῆς ἐπὶ τὸ κουφότε-
ρον τὸ ὕδωρ ἀνάγεται, εἶτα διαδεχομένου τοῦ ἀέρος αὐτὸ ἐπὶ τὸ πῦρ
ἐπανάγει καὶ μετὰ ταῦτα συνεκδεχομένου τε τοῦ πυρὸς πρὸς τὸν αἰ-
θέρα ἐκφέρεται, καὶ τοῦ αἰθέρος πρὸς τὸ κενὸν ὑπὸ μιᾶς γραμμῆς ὡς 110

---

85. ἐσθίασις C. ‖ 89. ὑπήρε^{σ} ‖ 92. ὃ τὸ] fort. ὅ τι. ‖ 101. fort. < ὡς > ἀρχὴ.

ἐν ἄξονι τῆς στοιχειακῆς ὑποκυκλουμένης φορᾶς ἐμπεριειλημμένων ὄντων τῶν ἀστρώων σωμάτων, τῶν τε πεπλανημένων καὶ τῶν ἀπλανῶν, ἐστ' ἂν ἐπὶ τὸ κενὸν ἡ τῶν κτισμάτων ἀλληλουχία ἀνέλθῃ καὶ λήξῃ περὶ τὸ ἄπειρον πέρας τῆς ὑπερουσίου φύσεως ἐκείνης καὶ μακαρίας, ὡς οἱ τῶν
115 ἐντὸς καὶ ἐκτὸς ἐφιλοσόφησαν εὐδαίμονες ἄνθρωποι· οὕτω δὴ καὶ ἐπὶ τῶν μαθημάτων ἐστί· συνεκδέχεται θάτερον τὸ ἕτερον· γραμματικὴν μὲν ποιητική, ποιητικὴν δὲ ῥητορική, ῥητορικὴν δὲ ὀργανική, καὶ ἑξῆς αἱ ἀνώτεραι τούτων καὶ ὑψηλότεραι. θεασάμενοι γοῦν τοὺς νέους ἠὐφράνθημεν τῇ ψυχῇ, ὅτι δὴ τοῦ λογικοῦ παραδείσου τὴν συνδενδρίαν εὐ-
120 φυεστάτην, εὐφυλλοτάτην, ὡραιοτάτην κατείδομεν καὶ τοὺς καρπούς, εἰ καὶ μὴ ἐντελῶς, ἐτρυγήσαμεν (ἠδύτερον γάρ ἐστί τινι ἐξ οἰκείου ἀγροῦ ἐλαίας κλάδους ἀναλαμβάνειν καὶ στέφεσθαι, ἢ ἐξ ἑτέρου τοῦ τὸν κόπον καὶ τὴν καταβολὴν τοῦ σπέρματος κεκτημένου παρ' ἄλλου)· ἰδόντες οὖν τοῦ λογικοῦ λειμῶνος τὰ ἄνθη ὅτι εὐπρεπῆ θεωρίᾳ καὶ
125 ὅτι εὐγενῆ εὐφυΐᾳ, ὅτι εὐανθῆ ἀγχινοίᾳ, οὐ τῆς λογικῆς ῥίζης ἀποκοπῆναι πρὸ τῆς ὥρας ἐκρίναμεν δίκαιον (τοῦτο γὰρ ἀτιμία καὶ ὕβρις τῆς φύσεως)· ἀλλὰ καὶ πάλιν τὴν ἄνθησιν τούτων τῇ μητρὶ τῆς λογικῆς εὐφραδείας, ῥητορικῇ, προσηρμόσαμεν, τὸ πολιτικὸν φιλοτιμούμενοι ταύτῃ τῶν πολιτικῶν ἀτιμιῶν ἐξελόμενοι. καὶ τοῦτο Σταγειριτικῶς,
130 ὡς ἄν τις εἴπῃ, φιλοτιμούμενοι, ὅ τι δὴ καρπὸν ἐκ τοῦ παραδείσου ἐξητησάμεθα, οὐχ ὅ τι τοιοῦτον, εἴπῃ τις ἄν γε, τὸν πρὸς ὥραν ἐντελεχείας πεφυκότα κατὰ καιρόν, ἀλλ' ὅ τι ὀσφράδιόν τι γραμματικῆς, ὡς εἰπω, μέρος λειτουργικόν, στοιχεῖα ἐγχαράττειν εἰδός, ἵν' ὅπως ἐξυπουργῇ τὰ ὧνπερ οὐκ ἔστι χρεία τελεωτέρα. τοῦτο τὸ αἴτημα. ἀλλ' ἡ
135 πρόνοια τοῦ Θεοῦ μετήγαγε πρὸς τὸ ἐνδιάσκευον τὸν ἁπλούστερον, καὶ ἄλλα ἡμῶν αἰτούντων, ἀντ' ἐκείνων ἔφερεν ἕτερον, φιλοτιμίας μείζονος καὶ γνώρισμα καὶ κατόρθωμα. ἡ γὰρ τῶν νέων ἐπέλευσις ἐνταυθοῖ τὸν ἡμέτερον νοῦν πρὸς τὴν τοῦ λειμῶνος παρεκίνησε θέαν, καί, εἴ τι δήπου ἐργαλεῖον τούτῳ ἀπέλιπε, πρὸς τὴν κατασκευὴν καὶ
140 κλάδευσίν τε καὶ περιποίησιν ἐκτελέσαι παρακεκίνηκε· διὸ τοὺς νέους ὑποδεξάμενοι καὶ προφητικώτερον τῆς διανοίας τοὺς ὀφθαλμοὺς ἀνατείναντες καὶ ὅτι ἐν βραχυτάτῳ χρόνῳ ἐκ τούτων μεγίστη ἀνθήσει εὕρεσις ἐπιστήμης νοήσαντες, μετὰ φιλοτιμίας τῆς προσηκούσης ἀντιστρέφομεν ἐπὶ τὸν παράδεισον, ἵν' ὅπως οἱ κλάδοι τῇ ῥοῇ τῶν λογι-

---

123. κεκτημένου scripsi: κεκτημένον, ut vid., C. ‖ 130. ὅ τι δὴ scripsi: ὅτι δὲ C. ‖ 134. incertum utrum τελειωτέρα an -τέρως C.

κῶν ὑδάτων εὐτραφέστεροι γένωνται καὶ ἐκβλαστήσωσι τοὺς καρπούς, καὶ πρὸς ἡμᾶς, ὅτε δὴ καιρός, τὴν ἡδονὴν τῶν ἐπαίνων ἀντιμισθίαν προσάξωσιν, ὑμῶν προϋποδεχομένων ὡς δευτέρων φυτουργῶν ἐξ ἡμῶν τὰς πρώτας τιμάς. τούτων οὕτως ἐχόντων, ὦ σοφώτατοι ἄνδρες, ὑποδέξασθε τοὺς νέους ἀσμένως, οὐκ ἀποδεδοκιμασμένους (οὐ μὲν οὖν), οὐδὲ μὴ ἀξίους τῶν ἄθλων καὶ τῶν γερῶν (οὐκ ἔστιν)· ἀλλὰ διὰ τῆς πατρικῆς ἐμοῦ πρὸς αὐτοὺς ὑπονοστούσης φιλοστοργίας καὶ πρὸς τὴν αὔξησιν τῶν λόγων σπουδάσατε. ἐντελῆ γὰρ καὶ ἀνελλιπῆ τὰ χρειώδη τοῖς διδάσκουσι καὶ διδασκομένοις πεποιηκότες, ὑπετυπώσαμεν ἐν τῷ ἡμετέρῳ συντάγματι, ὅπερ δὴ τυπωτικῶς τῷ μεγαλομάρτυρι ἀνεθέμεθα Τρύφωνι, ὦ Σεναχηρεὶμ κάλλιστε πολλοῖς καὶ λόγοις ὀνομαστέ τε καὶ πράξεσι, καὶ Ἀνδρόνικε τῆς γραμματικῆς ἀκριβείας διάδοχε.

151. ὑπονοστούσης scripsi dubitanter: ὑπονόστης ex -ας, ut vid., C.

APPENDICES

Hi sunt codices, quibus in Appendicibus usi sumus

V = Vindobonensis Philos. 321,
B = Baroccianus 131,
A = Ambrosianus C, 308 inf.,
C = Laurentianus *Conv. Sopp.* 627,
L = Laurentianus 87, 16.

APPENDIX I

THEODORI LITTERAE
AD CIVES DE PACE A BULGARIS PER RUSSOS PETITA

Τοῦ αὐτοῦ ἐπαναγνωστικὸν ἀποσταλὲν πρὸς τοὺς ἐν τῇ Ἔφ, ὅτε ὁ τῶν Ῥώσων ἄρχων ἦλθεν εἰς τὸν τοιοῦτον βασιλέα ἱκετεύων λῦσαι τὴν κατὰ τῶν Βουλγάρων μάχην, ἀντιδοῦναι δὲ αὐτῷ τὸ κάστρον τὴν Τζέπαιναν

Τὰ κατὰ θείαν νεῦσίν τε καὶ μέθοδον ἐκτελούμενα τὸ ἀναντίρρη- V. f. 318r
τον ἔχουσι, καὶ τῶν ἀνθρωπίνων ὑπερανίστανται λογισμῶν καὶ τῶν φρονημάτων τῶν κατ' ἐπίνοιαν ψιλὴν κειμένων εἰς γῆν. ἔστι μὲν γάρ, ἔστι πολὺ τὸ διάστημά τε καὶ τὸ διάφορον τῶν ἀφεστηκότων κατὰ θέσιν ἀνθρωπίνων τε καὶ τῶν θείων· καὶ νικοποιὰ τὰ ἀνώτερα καὶ δοῦλα καὶ ὑποκείμενα τὰ κατώτερα. ἀλλὰ κατὰ τὸν ἀρχαῖον μὲν καὶ νέον λόγον ἐν τοῖς ἄνω τὸ θεῖον ἐξιλεούμεθα, ἐν τοῖς κάτω γινώσκομεν τὸ ἀνθρώπινον. τῶν δὴ τὸ ποσόν, κἂν ὑπερφυές, κἂν ἀσύγκριτον, ἀλλά γε μετέχει καὶ τινος τῆς συγκρίσεως σφαιρικαῖς καὶ γραμμικαῖς ταῖς ἐκθέσεσι. καὶ τὸ μὲν ἔχειν οὕτως αὐτὰ τῶν ἀναγκαίων ἐστί, τὸ δὲ μεῖζον καὶ μάλιστα καὶ τῶν λεγομένων ἀσύγκριτον καὶ πρὸς τὴν ἀλήθειαν ἀκλινέστατον καὶ πρὸς τὴν φανέρωσιν φανερώτατον, ὅτι τῶν ἀνθρωπίνων ἐννοιῶν τε καὶ λογισμῶν τὰ κατὰ θείαν βούλησιν, ὡς εἴρηται, ἐκτελούμενα ἀσυγκρίτως ὑπερανφώκισται. ἐντεῦθεν λημματίζει ταῦτα ἡ Βασιλεία μου καὶ σημειοῦται τοὺς λόγους διὰ τῶν θε-

---

Tit. 2. *Ῥώσσων* V. De rebus hic expositis cfr. Georg. Acrop. Ann. cap. LXII, p. 184 sq. Bekker.

18. *θειαν* V.

<ἐκ>ῶν ἐκτελεσμάτων καὶ ἀποτελεσμάτων. ὁ γὰρ εἰρηται <ὑπὸ τοῦ> λόγου οὐδ< ἔπω, ἤδη > περαίνεται πρὸς τοῦ ἔργου. καὶ ὅπερ δὴ Θεὸς ἐπανεύσας εὐλόγησε διὰ τῶν <ἔργων> ἐπισφραγίζει τὰ μάλιστα· καὶ τῆς νίκης τὴν ἐντελέχειαν ἐνδελεχῶς διὰ τῶν κατὰ βραχὺ τροπαιουχημάτων ἀποπληροῖ μοι τὰ νῦν. καὶ τοῦτο θαυμασιώτατον· ὁ παραχωρήσας γενέσθαι τὰς ταραχὰς κατ' εὐδοκίαν εἰσῆξε καὶ τὸ γαλήνιον· ὁ παιδεύων διὰ τὴν γνώμιγν διὰ τὴν ἰδίαν φιλανθρωπεύεται ἀγαθότητα, ὁ φιλόστοργος, ὁ φιλάνθρωπος, ὁ φιλάγαθος. τίς ἂν ἐξείπῃ τὰς
f. 318v θείκὰς μεθόδους αὐτοῦ, | ὅτι οὐκ ἀμέσως ἐργάζεται, οὔτε κἂν τοῖς ἄλλοις βουλεύεται, οὔτε ἀσθενεῖ ἐν τοῖς ταλαιπώροις, οὔτε ἐν καιρῷ οὐ συναρήγει τοῖς ἰσχυροῖς; ἔχομεν ὅπλα· καὶ τίς τὰ τῶν ἐναντίων ὅπλα συνέτριψεν; ἔχομεν ἰσχὺν δεδωρημένην ἐξ αὐτοῦ πρὸς ἡμᾶς· καὶ τίς ἀνισχύρους, ἰσχυροποιοὺς νομίζοντας εἶναι, ἐς τὸ παντελὲς ἐξενεύρισεν; ἔχομεν βουλὴν ἀσφαλῆ· καὶ τίς ἐξεῖπε τὴν νόησιν; τίς ἂν ἐξείπῃ Θεοῦ τοῦ λόγου τὰ κατορθώματα; ἐκινήθη ὁ πόλεμος, καὶ ὡς εἰρηνάρχος τοῦτον κατέπαυσεν· οἱ τῶν ὑπεναντίων ἐστίλβωσαν τὰς ῥομφαίας, καὶ τὰ τόξα τούτων συνέπεσον· ἐκλονήθησαν οἱ μαχόμενοι, καὶ οἱ καρτεροῦντες λύτρον γεγόνασι, καὶ ἔδνον εἰρήνης ἡ πολλὰ λεγομένη Τζέπαινα δίδοται. ἐλέχθησαν μὲν κατὰ τὰς ἀρχὰς αἰτημάτων λήψεις καὶ δόσεις χρημάτων, ἐπεί τοι γε τὸ βασίλειον μεγαλύνσει τῇ τοῦ Θεοῦ κατὰ τῶν ἐναντίων αἰτήσεις ἔχει μεγάλας συνήθως αἰτεῖν· ἀλλ' ἀνδρὸς δεξιοῦ παράκλησις πρὸς τὴν Βασιλείαν μου ἐκεῖνα μὲν σιωπᾶν αὐτὴν κατηνάγκασεν. ἕλκει γάρ, ἕλκει καὶ πόθος καὶ μάλιστ' ἀνδρὸς ὁμιλία τε καὶ παράκλησις τὸ πατρικὸν φίλτρον καὶ πρὸς κατάνευσιν. οὑτωσὶ γὰρ ὁ τῶν Ῥώσων ἀρχων ὁμωμοκὼς τὴν Βασιλείαν μου κατωνόμασε πατέρα καὶ τῶν αὐτοῦ πάντων κύριον ἀληθέστατα. ἀλλ' ἐκείνου τοίνυν ταῖς παρακλήσεσι καὶ τῶν προὐχόντων λαοῦ τοῦ Βουλγαρικοῦ, ἐπεί τοι γε καὶ ἐκ τούτων οἱ καλλίους προσέδραμον πρὸς τὴν Βασιλείαν μου, ἐκάμφθην ἄνθρωπος ὤν, τὰς οὑτωσὶ τῶν αἱμάτων χύσεις Βουλγαρικῶν καθ' ἑκάστην γινομένας ὁρῶν· ἐντεῦθεν πρὸς οἶκτον ἐκινήθην τοῖς σπλάγχνοις· καὶ τὰ μὲν αἰτήματα πάντα κατέλειψα καὶ πρὸς τοὺς ἰδίους πρὶν ὅρους Σπάρτῃ καὶ Δόρατι

---

16 sqq. cfr. quae de codice V. adnotavi ad Epist. XLII, 21. || 18. τῶν < ἔργων > scripsi: ωνη, ut vid., ante lacunam V. || 24. οὔτε κἂν V. καὶ οὔτε? || 33. λύτρον et ἔδνον V. || 44-46. ἐκάμφθην et ἐκινήθην scripsi coll. 47 κατέλειψα: ἐκάμφθη et ἐκινήθη V. || 45. βουγαρικῶν V.

τὴν τῆς Ῥωμαΐδος δυτικῆς χθονὸς γῆν <ἀφωρι>σάμην ἐντελεχῶς. ὅθεν καὶ πρὸς ὅρκον αἰτούμενος ἔρχεσθαι <πίστεως ἀληθ>ινῆς σημεῖον περιφανῶς ἐκτετέλεκα, ἐκεῖθεν τοῦ ἀπολακτίζοντος τὸ ἴσον ἀναλαβόμενος. ἀπελύθη γὰρ πρὸς τὴν Βασιλείαν μου τὸ εἰρημένον λαμπρότατον ἄστυ ἡ Τζέπαινα, ὃ δὴ πρὸς τὰς ὑπερβολὰς τῆς Ῥοδόπης ὑπέρκειται περὶ τὸ τῆς Κνισάβας ὄρος περιφανές, ἄστυ ἐρυμνόν τε καὶ περιβόητον καὶ περικύκλῳ ὀχυρωτάτοις τόποις περικλειόμενον, ἐγγιστα τῶν Βουλγαρικῶν μερῶν ἐνδοτέρω τὰς συναφὰς καὶ τὰς κλίσεις ἔχον τῶν ὑπ' αὐτό, πάνυ ὀχυρώτατον, δυσκολώτατον κοινῶς εἰπω, τέλεον ἀπολέμητον, μόνῃ Ῥωμαϊκῇ καὶ βαλλόμενον καὶ νικώμενον καὶ κρατούμενον καὶ | ἀπαράδοτον, ἐκμαχόμενον δὲ ταύτῃ μόνῃ f. 65r
ἡττώμενον· ἄστυ ἐν ᾧ πολλαὶ καὶ μεγάλαι γεγόνασιν ἔριδες. τίς γὰρ δι' αὐτὸ οὐχὶ συνεμάχησε; τίς δὲ πρὸς τὰς ἀρχὰς οὐκ ἐθωρακίσθη; ὁ ἔχων ἡττᾶται τῇ λήψει τούτου καὶ ὁ στερισκόμενος ἀνακαλεῖ τοῦτο κράτιστον. τί χρὴ τὰ πολλὰ λέγειν; ἐν τούτῳ ὁ πολεμόκλονος Ἄρης καὶ Βουλγαρικὰ καὶ Ῥωμαϊκὰ στρατεύματα ἔστρεψε, καὶ ἡ ἅμιλλα ἐν τ' αὐτῷ καὶ δι' αὐτὸ τὰ πολλά, καὶ ἡ ταραχὴ δι' αὐτό· καὶ οἱ πρὶν νεκροὶ Βούλγαροι δι' αὐτοῦ καὶ νῦν ζωὴν ζῆσαι ἠλπίκασι, καὶ τὸ ἡμῶν δὴ ἄριστον στράτευμα τῇ λήψει τούτου ἦρε τὰ νικητήρια. μέγα τὸ δῶρον, ὅτι Θεοῦ καὶ πρὸς ἡμᾶς τοὺς Θεοῦ, ὡς Θεοῦ δῶρον ἀφανὲς πρὶν κείμενον παραδίδοται καὶ φράττει τοὺς ὄρους καὶ τὸ λάχος ἅπαν σφραγίζει. διαφράττει γὰρ τὴν Σαρδικὴν μὲν ἔνθεν καὶ τὴν Φιλίππου πόλιν πρὸς τοὺς Μακεδόνας ἡμᾶς καὶ ὁρίζει τὸ Βελεβούσδιον, καὶ πρὸς τὴν πρὶν εἰσάγει κατάστασιν καὶ τὸ τῶν Σκοπίων θέμα περιφανὲς καὶ τὸ τῆς Βρανίας ἐξάκουστον, περικλείει τὸ Ἀλβανὸν καὶ μέχρι τῶν Σερβικῶν ὀρων καταντᾷ τὰ ὁρίσματα. καὶ πάντα εἰρηνικὸν καὶ βασιλικὸν λόγον πρὸς τὴν ἁγίαν γῆν τὴν ἐμὴν μητέρα Ἀνατολὴν ὡς δῶρον φέρει θειότατον. ὧν δὴ τὸ κάλλος καὶ τὴν κατασκευὴν ἐπειδὴ τῷ κοινῷ κοινοτέρως τὰς ἀγγελίας ὁμιλεῖσθαι δεῖ διὰ τῶν γραμμάτων τῆς Βασιλείας μου, ἤδη τὸ ἀπ' ἀρχῆς ἄχρι τέλους ἀφηγησόμενος ἔρχομαι· ἴστε δὴ πάντες. ταῦτα μὲν οὖν κατ' ἀλήθειαν καὶ γεγονότα καὶ πέλοντα τὴν φύσιν παριστῶσι τοῦ πράγματος καὶ τῶν τοιούτων καὶ τηλικούτων κόπων τοῦ στρατοῦ καὶ τῆς Βασιλείας μου τὰς ἐπικαρπίας ὑμῖν τοῖς

49. *ινης*, ut vid., post lacunam V. || 50. τὸ scripsi: τὸν V. || 56. κλίσεις ἔχον scripsi: κλήσεις ἐχων V. καινῶς an κοινῶς incertum V. || 61. ἀνακαλεῖ τοῦτο scripsi: ἀνεκαλεῖτο τὸ V. || 63 sq. ἔν τ' αὐτῷ scripsi: ἐν ταυτω V. || 72. ἄλβανον V.

ἐμοῖς ἀρίστως φανεροῦντα προσάγουσιν. ὃς γὰρ εἰδῇ κατὰ βάθος τὸ γεγονὸς ἀσφαλῶς, τὴν γνῶσιν τούτου ἐξακριβώ<σει>· ὃ δ' αὖ ἐπιπόλαιον, ἐπιπόλαιον· τῷ γὰρ σκύμνῳ κύων συνενωθ<εὶς> καὶ <ἄρκτος> πρὸς τὴν σύναξιν εἰσδραμοῦσα καὶ καθ' ἡμῶν κινηθέντα τῇ λαμάργῳ καὶ θηριώδει ὁρμῇ ὑπὸ τῆς λιχνότητος ἐκμανέντα, θεόθεν ἀρδην ἐξενικήθησαν. καὶ ἐκαρατομήθη ὁ κύων, καὶ ὁ σκύμνος φυγὰς διεσώζετο, καὶ ἡ ἄρκτος (τὸ παραδοξότατον, τὸ καινότατον) μεσίτης ἐγεγόνει τῶν ἀμφοτέρων καὶ τὰς ἁρπαγάς, ἃς δὴ τοῖς ὀδοῦσι
f. 65v τὰ θηρία ἀναλαβόντα πρὸς τὴν γαστέρα | ἐξέπεμψαν, ἐξεμεῖν ἐδυσώπησε ῥάβδῳ τινὶ κατὰ κορυφὴν θεικῶς πληττόμενα Ῥωμαϊκῆς ἐκστρατείας βασιλικῆς. εἰ τοίνυν καὶ σκύμνοι καὶ κύνες καὶ ἄρκτοι τὰ θηριωδέστατά γε τὰ λαμουργότατα τὴν τῆς Βασιλείας μου σπάθην δεδοικότα πρὸς σπονδὰς καὶ προσκυνήσεις ταύτης ἐκτρέπονται, οἷον ἂν βάρβαρον φῦλον ἕτερον πρὸς ταύτην ἀντιμαχέσηται; δυνάμει Θεοῦ ἄπορον τοῦτο κατὰ λόγον, κατ' ἰσχὺν καὶ κατ' ἔννοιαν. τὸ δὲ νικᾶν ἡμᾶς τοὺς Θεοῦ καὶ φέρειν κατὰ τῶν ἀντιπάλων τὰ νικητήρια ῥᾳδιώτατον, ἑτοιμότατον. ἐντεῦθεν καὶ πρὸς Θεὸν ὕμνους προσάγεσθαι δίκαιον καὶ πρὸς ὑμᾶς τοὺς τῆς Βασιλείας μου χαρμόσυνα καὶ ψυχοτερπῆ εὐαγγέλια. διὰ τοῦτο τὴν τοσαύτην καὶ τηλικαύτην χαρὰν καὶ χάριν ἐν τῷ βραχεῖ χάρτῃ τούτῳ συνάξασα ἡ Βασιλεία μου ὡς ἐν θειοτέρῳ πυξίῳ τε περικλείσασα πρὸς ὑμᾶς ἀπέσταλκε τῆς χάριτος κατατρυφῆσαι καὶ τῆς χαρᾶς τὸ ἄνθος ἀναπέμψαι πρὸς τὸν Θεὸν τὸν δόντα τὸ κράτος, τὴν νίκην, τῶν ἀριστευμάτων τὴν ἐντελέχειαν.

---

91 sq. θηριωδέστατά γε scripsi: θηρία δὲ στατάτε V. ‖ 97. ὕμνους scripsi: ὕμνος V.

APPENDIX II

SERMO ADVERSUS MALEDICOS

Τοῦ αὐτοῦ Θεοδώρου τοῦ Λάσκαρι τοῦ υἱοῦ τοῦ ὑψηλοτάτου βασιλέως τῶν Ῥωμαίων κυροῦ Ἰωάννου τοῦ Δούκα πρὸ τῆς τοῦ μαρκίωνος Βελτόρδου Δε Ὀεμβοὺργ πρεσβείας πρὸς τὸν αὐτὸν ὑψηλότατον βασιλέα λόγος ἀπολογητικὸς πρός τινας μισοπονήρως ἐνοχλοῦντας αὐτῷ, καὶ ἀποδεικνύων αὐτοῖς, ὅτι τὸ παρὰ τοῦ Κυρίου γενόμενον ἔδραῖον ὑπάρχει καὶ ἀκατάλυτον καὶ ὅτι δεῖ τιμᾶν τοὺς τιμωμένους παρὰ τοῦ βασιλέως A, f. 94r

Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος ἐκεῖ ἐκάθισα καὶ ἐμνήσθην τῶν εὐεργετημάτων τῆς θείας καὶ οὐρανίας Σιών· ἐπὶ τὰς σωτηρίους ἀναδενδράδας τῆς κυριακῆς καὶ θείας φωνῆς | ἐξεκρέμασα τὰ ὁρμητικὰ εἰς ἀρετὴν θελήματα τῆς ἐμῆς ἀγόνου ψυχῆς· ἐν τῷ μνησθῆναί με τῶν τῆς καλοκἀγαθίας καὶ εὐμενείας Θεοῦ δωρημάτων τε καὶ ἀγαθοεργιῶν δόξαν ἀνέπεμψα αὐτῷ δὴ τῷ Κυρίῳ μου καὶ εὐεργέτῃ μου. οἱ δέ γε συκοφάνται, τῶν πονηρῶν πνευμάτων οἱ συνεργοί, τῇ δυνάμει τοῦ Ἁγίου Πνεύματος καταγχόμενοι· ‘πῶς ᾄσομεν’ ἔφασαν ‘τὰς τῶν καρδιῶν ἡμῶν θελήσεις τὰς πονηρὰς καὶ f. 94v

---

Tit. 8. δεμοεβοὺρ (sic) A. || 5. αὐτῷ et αὐτοῖς scripsi: αὐτὸν et αὐτοὺς A. || 6. ἐδραῖον ὑπαρ A.

1 sqq. Psal. CXXXVI, 1 sq. || 5. σῆς ante καλοκἀγαθίας del. A. || 6. αὐτῳ δὴ sup. lin. add. A. || 8 sq. cfr. Psal. CXXXVI, 4.

αἰσχρὰς ἐπὶ τόπων κατησφαλισμένων Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι;' ἀλλὰ τί φαμεν ἡμεῖς πρὸς αὐτούς; εἰ ἐπιλάθωμαι τῆς τοῦ Κυρίου μου εὐεργεσίας ἡμιθανῆ τε καὶ κεκολλημένην τῷ λάρυγγί μου ἔξω τὴν γλῶττάν μου. ἐπιλησθείη δὲ καὶ ἡ τῶν ἔργων μου δεξιά, εἰ μὴ κατ' ἀρετὴν ποθήσω περιπατεῖν ἐν οἴκῳ Κυρίου πάσας τὰς ἡμέρας τῆς ζωῆς μου. καὶ γὰρ ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου· ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη πο-
f. 95r νηρὰ καὶ μισόθεα· καὶ | γὰρ ἐγὼ τὴν ἐμὴν καρδίαν ἐρευνήσας ἐκάθηρα καὶ ἐν αὐτῇ εὗρον ἐξῆς ἐπφοιτήσαντα θεῖον ὄντως διαλογισμόν, εἰς ὃν οὐ προετιθέμην συνθεῖναι ἐν τῇ καρδίᾳ μου πρᾶγμα παράνομον. ἀλλὰ πότε πρός με ἥξεις, τὸν δοῦλόν σου, Κύριε; ἐμελέτησα καὶ γὰρ ἐν σοὶ τῷ σωτῆρί μου ἐξ ὅλης καρδίας μου. ἐν ὄψῃ σε ὡς γῇ πίων ἔργοις ἀγαθοῖς ἀρετῶν ἐξεζήτησα. ἀλλὰ πότε ἥξεις καὶ ὀφθήσομαι τῷ προσώπῳ σου; καὶ γὰρ ἐγεννήθησαν τὰ δάκρυα τῆς ἀγόνου μου ὄντως ψυχῆς ἐμοὶ ἄρτος. ἀλλ' ἐν τῇ ἐπαγγελίᾳ σου θρέψω ἐν ἐλέῳ τὰς ψυχὰς τῶν πενήτων σου, ἤτοι τὰ μέρη τῆς σῆς δούλης ψυχῆς μου· μὴ καταλαβέτωσάν με καὶ ὄντως καταγελασάτωσαν οἱ ὑπερήφανοι, ὅτι τὰ ἐμὰ πάντα παρὰ σοῦ ἐκτίσθησαν· εἶπα καὶ γὰρ τοῖς παρανομοῦσι· 'μὴ παρανομεῖτε' καὶ τοῖς πρὸς ὄλισθον κακίας ἐν βεβορβορωμένῳ νοὶ ἀναστρεφομένοις· 'μὴ ὑψοῦτε κέρας καὶ μὴ ἐπαίρετε εἰς ὕψος τῆς ἀδίκου
f. 95v γλώσσης καὶ ἀναιδοῦς ὑμῶν | τὴν φωνήν· ὅτι οὔτε ἀπὸ δυσμῶν οὔτε ἐξ ἀνατολῶν, οὔτε ἀπὸ ὀρέων σατανικῆς καὶ δαιμονικῆς ἐπάρσεως ἥξει ἡ σωτηρία ὑμῶν, ἀλλὰ παρ' αὐτοῦ τοῦ σωτῆρος Χριστοῦ ἥξει τὸ ἀγαθὸν κατὰ τὴν αὐτοῦ δικαίαν κρίσιν καὶ τὸν ἀνείκαστον ἔλεον. ὃς καὶ δούλου μορφὴν διὰ πλείστην ἐδέξατο φιλανθρωπίας ὑπερβολήν, καὶ ταπεινώσας ἑαυτὸν καὶ κενώσας τὴν σωτηρίαν εἰς ἡμᾶς ὑπερύψωσε καὶ ἐπλήρωσε. παρὰ τούτου ἥξει τὸ ἔλεος, παρὰ τούτου καὶ σωτηρία καὶ ἄφεσις τοῖς τὸν ζῆλον αὐτοῦ καὶ δι' αὐτὸν ὑπὲρ αὐτοῦ κεκτημένοις χορηγηθήσεται. ἀλλὰ τί

---

11 sqq. Psal. CXXXVI, 5 sq. || 13. ἔξω corr. ex ἔξω A. || 14. cfr. Psal. LIV, 15. || 15 sq. Prov. VIII, 7. || 19. ὃν οὐ corr. ex ὃ νοῦ A. || 20 sqq. cfr. Psal. CXLII, 5 sq. || 22. ὄψῃ ex ὄψει et ἐγεννήθησαν in ἐγενήθησαν mut. A. || 23. sq. Psal. XLI, 4. || 25. cfr. Psalm. LXXIII, 19. || 26 sq. cfr. Psal. CXVIII, 122. || 28 sqq. Psal. LXXIV, 5 sq. παρανομεῖτε ex παρανομῆτε A. || 30. ἐπαίρετε ex ἐπαίρητε A. || 31 sq. Psalm. LXXIV, 7.

ταῦτα; καὶ τίνι λόγῳ καὶ τρόπῳ τὰ ἅγια βάλλει τις τοῖς κυσὶ καὶ τὸν πολύτιμον μαργαρίτην τοῦ λόγου ἔμπροσθεν ῥίπτει τῶν χοίρων; ὄντως τετύφλωται τὸ λογικὸν ὄμμα πάντων αὐτῶν καὶ διὰ τοῦτο πεπωρωμένῃ καὶ πεπορνευμένῃ ἐπιθυμίᾳ τὴν ὄντως ἀλήθειαν καμμύσαντες ἐθελοντὶ παρεβλέψαντο πρὸς τὸ ἐπιθυμῆσαι καὶ ἐντρυφῆσαι αὐτῆς, ἵνα μὴ | τῷ θυμικῷ κατὰ f. 96r
τοῦ ὄφεως καὶ τῆς αὐτοῦ πονηρίας καταστρατεύσωσιν, ἀλλὰ πρὸς δόλον λόγου ὄντως ἀλόγως τυφλωθέντες συνεργῷ χρήσωνται ὥστε διαπρᾶξαι αὐτοὺς ἔργα σκότους μεστά, τυφλοὶ τυφλῶν ὄντες αὐτοὶ ποδηγοί· οἳ καὶ εὐαγγελικῶς τὴν τῆς εὐαγγελικῆς διδασκαλίας καὶ ἀληθείας εὐθεῖαν ἀφέντες ὁδόν, κρημνῷ πονηρίας ἐνέπεσον, καὶ τῆς σατανικῆς ἐπηρείας μύσται γενόμενοι νοῦν καὶ ψυχὴν καὶ λόγον καὶ σῶμα ἐν τῷ Ἅιδῃ ὡς πρόβατα μὴ ἔχοντα ποιμένα θέμενοι πάμπαν τῆς σωτηρίας ἀπεπλανήθησαν. ἀλλὰ θάνατος ποιμανεῖ αὐτούς, καὶ κατακυριεύσουσιν αὐτῶν οἱ εὐθεῖς τὸ πρωὶ τῆς τοῦ ἀληθινοῦ ἡλίου αὐγῆς τοῦ Χριστοῦ, καὶ ἡ δόξα αὐτῶν ἐν τῷ Ἅιδῃ παλαιωθήσεται· πλὴν ὁ Θεὸς ἐν τούτῳ συνθλάσει κεφαλὰς ἐπάρσεως νοημάτων αὐτῶν· ὅτι ἐπληθύνθησαν ἐν πλημμελείαις ἀτόποις καὶ ἀναριθμήτοις ὑπὲρ τὰς τρίχας τῆς αὐτῶν σαθρᾶς κεφαλῆς. ὅθεν καὶ ἐπιστρέψει ὁ Κύριος, ἐπιστρέψει καὶ πάλιν ἐρῶ ἐπιστρέψει ἀληθῶς ἐν σπουδῇ καὶ τεμεῖ πᾶσαν | ἀδικίαν ἐκ προσώπου τῆς γῆς. ἀλλὰ καὶ ἥξει καὶ σώσει πάν- f. 96v
τας ἡμᾶς, πάντας τοὺς ἐπικαλουμένους ἐν ἀληθείᾳ αὐτόν· ἀλλ' οὐδὲ τοὺς τούτων συνεργάτας δαίμονας οὐκ ἐλέγξει τομῶς τῷ κριτικῷ καὶ διακριτικῷ καὶ καυστικῷ πυρὶ τῆς κολάσεως παραπέμψας αὐτοὺς παραυτά· ἀλλὰ ὄντως τε καὶ μόνος δίκαιος ὤν, τὸ μὲν σώσει, τὸ δὲ παύσει, τὸ δὲ πυρὶ δώσει διὰ τὸ τῆς κακίας λοιμώδες ὁμοῦ καὶ σαθρόν, ἵνα ἐν τῷ τελευταίῳ πυρὶ καθαρθῇ τὰ τούτων νοήματα. θησαυρίζει καὶ γὰρ πᾶς ἄδικος ἀνὴρ ὀργὴν ἐν ἡμέρᾳ ὀργῆς· τί καὶ γάρ, ὅλως ἄδικε, ὃ οὐκ ἦν σὸν σφετερίζῃ; τί δὲ ὃ ἐν κόποις καὶ μόχθοις ἑτέρων ἐκαλλιεργήθη εἰς ἐπίδοσιν ἀρετῆς οἰκείοις σεαυτῷ

40 sqq. Ev. Matth. VII, 6. || 42 sqq. Cfr. Hesai. VI, 10 et Ev. Ioh. XII, 74 sq. Paul. Rom. II, 6. || 45. αὐτῆς ex αὐτὴν, ut vid., A. || 48 sq. Ev. Matth. XV, 14. || 52. cfr. Psal. XLVIII, 15 et Ev. Matth. IX, 36. || 53 sqq. Psal. XLVIII, 15 sq. || 57. συνθλάσ|σει A. || 57 sqq. Psal. XXXIX, 13. || 62. Psal. CXLIV, 18. || 67 sq. Paul. Rom. II, 5.

ἀναιδῶς; ἢ οὐκ οἶδας ὅτι ὁ συνάγων τὰ τῶν ἀλλοτρίων κτήματα ἐν ἀλλοτρίοις δαπανήσει ταῦτα πάντα ἐν στεναγμοῖς, καὶ ὁ περὶ τὴν πλεονεξίαν σπεύδων καὶ δεινῇ ἐμμένων ἁρπαγῇ σατανικῶς τὰ κατ'
f. 97r αὐτὸν | ἁρπαγήσεται ἅπαντα ἐν καιρῷ δικαιοκρισίας Θεοῦ; εἶδον καὶ γὰρ τὸν ἀναιδῆ καὶ ἀσεβῆ ὑπερυψούμενον ἐν πλήθει πονηρῶν ἐννοημάτων αὐτοῦ, καὶ παρῆλθε μὲν ἐκεῖνος δυνάμει Θεοῦ, ἐγὼ δὲ ἐλθὼν ἐν παρρησίᾳ Χριστοῦ ἐζήτησα αὐτὸν καὶ οὐχ εὑρέθη πᾶσα ἡ τούτου βέβηλος συναγωγὴ καὶ σαθρά· πᾶν γὰρ δώρημα τέλειον ἄνωθέν ἐστι κατερχόμενον παρὰ τοῦ ὄντως ἀγαθοδότου Θεοῦ. οἶδε γάρ, οἶδε διδόναι δόματα ἀγαθὰ πᾶσιν οἷς οἶδεν εἶναι δούλοις αὐτοῦ· ἢ οὐκ ἔξεστι τῷ Κυρίῳ ποιεῖν ὃ θέλει ἐν τοῖς εὐνοϊκῶς καθ' ἑκάστην τούτῳ λατρεύουσι; διὰ ταῦτα πάντα ἐμνήσθην τοῦ Κυρίου ἐκ γῆς Ἰορδάνου, καὶ ἀληθῶς ἐξεβόησα· 'Κύριε, ἠγάπησα εὐπρέπειαν οἴκου σου καὶ τόπον σκηνώματος δόξης σου'· ὅτι τε πᾶσα δικαιοσύνη ἐν οἴκῳ Κυρίου ἐστί, καὶ ὅτι ὁ Κύριος ἐνομοθέτησε τίνι νόμῳ οἱ κατὰ παντὸς ἀγαθοῦ ὁπλιζόμενοι οὐ προσίενται, ἀλλὰ ἀντιτείνουσιν. αὐτὸς καὶ γὰρ ἔθετο σκότος ἀγνωσίας περικύκλῳ αὐτοῦ καθώς ἐστι καὶ τὸ δίκαιον. τίς καὶ γὰρ τῶν ἐν γῇ ἀναστρεφομένων τὸ ὄντως κυριώτα-
f. 97v τον ἐννοήσει δίκαιον, | ἢ μόνος ὃς τὸν γνόφον τῆς θεϊκῆς ἀκαταληψίας διὰ καθάρσεως καὶ τρόπου ἁπλότητος διελθὼν εἰσδύνει εἰς τὰ ἄρρητα τοῦ Θεοῦ; ὃς καὶ γνώσεται νόμον Θεοῦ, κἀντεῦθεν ἑλκύσει καὶ τὸ δικαιότατον πλήρωμα. διὰ ταῦτα πάντα καὶ τὰ παραπλήσια τούτοις ἅπασι λούσω καθ' ἑκάστην τὴν τῶν ἀρετῶν τῆς ψυχῆς μου κλίνην ἐν ῥανίσι φιλανθρωπίας Θεοῦ. ἐκοπίασα γὰρ ἐν τῷ στεναγμῷ μου· ἐγενόμην ὡσεὶ νεκρὸς ἀπὸ καρδίας τῆς ὁρμώσης πρὸς ὑλικὰ καὶ ὥσπερ σκεῦος ἀπολωλὸς τῆς τῶν ἀσεβῶν συμμορίας εἰς τὸ ἀπορριφῆναι ἔξω αἰσχρῶς. ὅτι ἤκουσα ψόγον πολλῶν παροικούντων κύκλοθεν· ἀλλ' εὐφρανθῆναί με δεῖ καὶ χαρῆναι ἐπὶ τοῖς τοῦ Σωτῆρος ῥηθεῖσι λόγοις καλοῖς τε καὶ ἀγαθοῖς,

---

74 sq. Paul. Rom. II, 6. ‖ 75 sqq. Psal. XXXVI, 35 sq. ‖ 77. ἐγὼ δε A. ‖ 79 sq. Epist. Iacob. I, 17. ‖ 83. cfr. Psal. XLI, 7. ‖ 84 sq. Psal. XXV, 8. ‖ 86. ἐνομοδέτησε ante corr. A. ‖ 90. ἐννοήσει corr. in ἐννοήσῃ? A. ‖ 94. τούτοις ἅπασι corr. ex τούτων ἁπάντων A. ‖ 94 sq. Psal. VI, 7. ‖ 95 sqq. Psal. XXX, 13. ‖ 98. ψόγον A. ‖ 98 sq. Psal. XXX, 14. ‖ 100. post ῥηθεῖσι del. ομένοις (fuisse antea patet ῥηθησομένοις) A.

ἵνα πιστεύσας τούτοις τύχω ζωῆς· καὶ γὰρ ἁπάντων πραγμάτων πίστις ἀληθῶς προηγήσατο. πεισθῆναι δὴ καμὲ λόγοις τοῖς τοῦ σωτῆρος Χριστοῦ δίκαιον. καὶ γὰρ οὗτος εἶπεν· 'εἴσελθε εἰς τὴν χαρὰν τοῦ Κυρίου σου' τῷ εὐνουστάτῳ δούλῳ αὐτοῦ, καὶ ὅτι 'ὁ δεχόμενος προφήτην μισθὸν προφήτου λήψε|ται', καὶ ὅτι 'ὁ μισῶν ὑμᾶς πρῶτον ἐμὲ μεμίσηκε', καὶ ὅτι 'ἃ ἤκουσα, ταῦτα λαλῶ ἐν τῷ κόσμῳ', καὶ ὅτι 'ἀπ' ἐμαυτοῦ οὐ λαλῶ ἐν ὑμῖν', καὶ ὅτι 'εἰ ἐν τῷ ὑγρῷ ξύλῳ ταῦτα ποιοῦσιν, ἐν τῷ ξηρῷ τί γενήσεται;' καὶ ὅτι 'ἠδυνάμην παραστῆσαι πλείους ἢ δώδεκα λεγεῶνας ἀγγέλων' εἰς αὐτῶν ἐξολόθρευσιν, κἂν μέγα τοῦτο μακροθυμίας θέσπισμα, καὶ ὅτι 'οὗτος καὶ οὗτοι μήτηρ καὶ ἀδελφοὶ καθεστήκασιν οἱ τὰ βουλητά μοι τελοῦντες ἀεί', καὶ ὅτι 'οἱ μὴ δεχόμενοι τὸ κήρυγμα ἐν κρίσει πυρὶ παραπεμφθήσονται ὡς αὐτὸν μὴ δεχόμενοι', καὶ ὅτι 'οὐκ ἔξεστί μοι ἐν τοῖς ἐμοῖς ὃ θέλω ποιεῖν;' καὶ ὅτι 'εἰ ὁ ὀφθαλμός σου πονηρός ἐστιν, ἀλλ' ἐγὼ ἀγαθός εἰμι', καὶ ὅτι 'ἑταῖρε, οὐκ ἀδικῶ σε', καὶ ὅτι 'ὁ μὴ ὢν ὑπὲρ ἐμοῦ κατ' ἐμοῦ ἐστι', καὶ ὅτι 'ὃς οὐ συνάγει μετ' ἐμοῦ σκορπίζει' θεῖα καὶ ἐξαίσια δόγματα, καὶ ὅτι 'ὃς εἰς τὸ ἐμὸν ὄνομα δώσει ὕδατος ψυχροῦ ἓν ποτήριον, λήψεται τοῦτο πολλαπλάσιον', καὶ ὅτι 'ἢ ποιήσατε τὸ δέν|δρον καὶ τὸν αὐτοῦ καρπὸν ἀγαθόν', ὡσαύτως καὶ κατ' ἀντιστροφὴν ὅτι 'ἐκ τοῦ καρποῦ τὸ δένδρον γινώσκεται', καὶ ὅτι 'ἐγὼ ἐξελεξάμην ὑμᾶς ἐκ τοῦ κόσμου', καὶ ὅτι 'πάτερ, οὓς δέδωκάς μοι, σοί εἰσι', καὶ ὅτι 'φύλαξον αὐτοὺς ἐν τῷ σῷ ἁγίῳ ὀνόματι', καὶ ὅτι 'οὐδεὶς ἐξ αὐτῶν ἀπώλετο, εἰ μὴ ὁ Ἰσκαριώτης αὐτός, ὅστις καὶ υἱὸς τῆς ἀπωλείας ἐστί', καὶ ὅτι 'ἐξερχόμενοι κηρύξατε καὶ διδάξατε πάντα τὰ ἔθνη', καὶ ὅτι 'ὁ δεχόμενος ὑμᾶς, ἐμὲ δέχεται' καὶ ὅτι ὃ δόξει

f. 98r

f. 98v

103 sq. Matth. XXV, 23. || 104 sq. Matth. X, 41. || 105 sq. Ev. Ioh. XV, 18. || 106. Ev. Ioh. VIII, 26. || 107. ἀπ' corr. ex ἀφ' ut vid., A. Ev. Ioh. XII, 49 cfr. etiam VIII, 28. || 108 sq. Ev. Luc. XXIII, 31. || 109 sq. cfr. Matth. XXVI, 53. || 111 sq. cfr. Matth. XII, 50. || 113 sq. cfr. Matth. XII, 41. || 114. αὐτόν, sc. *ipsum Dominum*. || 114 sq. Matth. XX, 15. || 115 sq. Matth. XX, 15. || 116 sq. Matth. XX, 13. || 117. inter σε et καὶ spatium 4–5 litt. foramine absumptum in A. Ev. Matth. XII, 30. || 118. Matth. XII, 30. || 119 sq. Matth. X, 42. || 120 sq. Matth. XII, 33. || 122. Matth. XII, 33. || 123. Ev. Ioh. XV, 19. || 123 sq. Ev. Ioh. XVII, 24; cfr. XVII, 9. || 124 sq. Ev. Ioh. XVII, 11. || 125 sq. Ev. Ioh. XVII, 12. || 127. Marc. XVI, 15. || 128. Matth. X, 40.

τῷ βασιλεῖ καὶ βασιλεῖ ὑψηλῷ, καὶ τὸ μέγιστον ὅ τι δὴ καὶ Θεῷ, νόμος
ἐστί· τοῦτο πάντας γνῶναι δίκαιον ὄντως καὶ δικαιότατον. ὁ γοῦν ἐμὲ
μὴ δεχόμενος πρὸς τὰ πρότερον ἀναγεγραμμένα ἐθελοντὶ βύσας τὸ
οὖς τῆς ψυχῆς καὶ μύσας τοὺς διανοητικοὺς ὀφθαλμούς, ἑαυτὸν ἐξετύ-
φλωσεν, ἔνθεν κἀκεῖθεν ῥεμβόμενος ἀτάκτοις νοήμασιν ἀφρόνως συμπα-
f. 99r ραφέρεται· καὶ ὃς δοῦλον οὐ δέχεται, πρῶ|τον τὸν κύριον ἐναργῶς ἐξε-
μίσησεν· ὃς δὲ τὸν ὄντως Κύριον καὶ Θεὸν ὡς ἄφρων ἐμίσησε, τῷ
δαίμονι εἰκονιζόμενος σκιαγραφεῖ τὸ τούτου σκότος ἐν ἑαυτῷ. ἐν
φλογὶ γεέννης καὶ γὰρ ἀνάψει πυρσὸν παρακοῆς ὡς ὑπεύθυνος. ἀλλὰ
λάμψουσιν αἱ τοῦ Χριστοῦ μου ἀκτῖνες τῷ προσώπῳ τοῦ δούλου
αὐτοῦ. αὐτὸς καὶ γάρ ἐστι Κύριος, αὐτὸς καὶ Θεός, αὐτὸς καὶ πολ-
λῶν γονέων ὑπερανέστηκε τῇ ἀγαθωσύνῃ, τῇ φιλανθρωπίᾳ, τῇ ἁγιό-
τητι· θησαυρὸς καὶ γὰρ πολυπληθὴς δωρημάτων οἷα καθεστηκὼς
ἀκαινοτομήτως πέμπει τὰς δωρεὰς ὡς Θεός, ὡς σοφός, ὡς πατήρ·
δι' ἡμῶν δὲ τῶν ἐλαχίστων δούλων αὐτοῦ καὶ τοῖς ὁμοδούλοις ἡμῶν
παρεκτικῶς χορηγεῖ ἃ τῇ ἡμῶν καρδίᾳ ἐμφυτεύει αὐτός. καὶ γὰρ
οὐδόλως καὶ τῶν φαυλοτάτων ἔργων γενήσεταί τι, ὃ οὐκ ἔστιν ἐν
f. 99v γνώσει αὐτοῦ. δεῖ γοῦν τὸ δόξαν τοῦτῳ | ὡς αὐτὸν ὅλον, τοῦτο ἅπαν-
τας σέβεσθαι· ὅτι καὶ ἡ τιμὴ τῆς εἰκόνος, ὥς πού τις θεῖος ἔφη ἀνήρ,
διαβαίνει πρὸς τὸ πρωτότυπον· ἀλλ', ὦ μέγιστε Θεέ, βάθος θείας
ἀκαταληψίας καὶ ἀνεξιχνιάστου γνώσεως πέλαγος, ὦ παντέφορον ὄμμα
τὸ καὶ τὰ λάθρα κατασκοπεῦον διὰ τῆς σῆς θείας καὶ παντεποπτικῆς
ἐνδόξου δυνάμεως, ὦ βασιλικωτάτη καὶ ὑψηλοτάτη θεία τῆς γνώσεως
πάντων ὑπεροχή, τοῖς μὲν ἀντικειμένοις τοῖς σοῖς ἀληθινοῖς τε καὶ φωτει-
νοῖς προστάγμασιν, αὐτὸς ὡς οἶδας τὸ συμφέρον οἰκονομῶν, σωστικῶς
ἀντιτάχθητι καὶ τούτους ἐξ ἀπωλείας συντήρησον. οἶδα καὶ γὰρ ὅτι
οὐ κατὰ τὰς ἀναριθμήτους ἀνομίας ἡμῶν παρέχεις ἡμῖν, ἀλλὰ κατὰ
τὸ σὸν ἔλεος πάντας πάσης βλάβης παρακοῆς καὶ μεγίστης ἀνοίας
ἐκλυτροῦσαι ὡς ἀγαθός, σὺ ὁ αὐτὸς εὔσπλαγχνος ὢν καὶ φιλάνθρωπος.
Κύριε, μὴ στήσῃς αὐτοῖς τὴν ἁμαρτίαν αὐτῶν· ἡμᾶς δὲ διὰ τῆς

---

137. *φλογὶ* ex *φλογός* A; fort. *ἐν φλογὸς γεέννῃ*, cl. Matth. XVIII, 9. ‖ 147. sq. Basil. IV, 149 C. ‖ 149. *παντεφόρον* A. ‖ 150. τὸ ex ὃ et *κατασκοπεῦον* ex *κατασκοπεύων* A. ‖ 151. *θεία* ex *θεια* A. ‖ 158. *στήσῃς* scripsi: *στήσοις* A.

σῆς βασιλικῆς καὶ θείας ὄντως εὐεργεσίας ὅλους συνάγων εἰς ἑαυτόν,
160 τοῦ τε δυσαχθοῦς βάρους προσαπαλλάττων τῶν πειρασμῶν γνησίους
δείξαις προσκυνητὰς τῆς σῆς ὑπερουσίου καὶ ὑπερφώτου θεότητος.

---

161. τῶν πειρασμῶν corr. ex τὸν πειρασμὸν A. || 162. δείξαι ex δεῖξαι A.

APPENDIX III

NICEPHORI EPISTULAE

A) Ad Theodorum

V, f. 115r *Ἐπιστολαὶ πρὸς τὸν βασιλέα κυρὸν Θεόδωρον τὸν Λάσκαριν τοῦ σοφωτάτου Βλεμμίδους*

I *Οὔποτ' ἂν ὁ ἥλιος ἐπὶ τοσοῦτον ἦν θαυμαστὸς σὺν ἄλλοις ἡλίοις ὁρώμενος ἐφ' ὅσον γε νῦν μονώτατος ὢν καὶ οὕτω μέγιστος καὶ οὕτω κάλλιστος καὶ λαμπρότατος. ἐξ ἑνὸς ὑποδείγματος ἔχοις ἂν μυρία προσεξευρεῖν καὶ πρό γε τούτου τὸ ὑπερηρμένον ἐννοῆσαι καὶ ἀρχικώτατον, ὁ βασιλεύτατος νοῦς ὁ ἀξύμβλητος. εἰ δὲ καὶ νυκτὸς ὁ ἥλιος ἔφαινε, τοῦτο δὴ τὸ πλεονεκτικόν τε καὶ ὑπερβολικόν, πάντως ἂν ἐδόκει φωτιστικώτερος ὅσον ἐκ τῶν ὑποκειμένων καὶ τοῦ καιροῦ· πλὴν οὐκ ἐρασμιώτερος. ἡδέος γὰρ παντὸς τῶν κατ' αἴσθησιν ὑφαιρεῖται τὸ ἐράσμιον ἡ συνέχεια. καὶ ἄλλως δ' οὐ πέφυκεν οὕτως ὡρισμένος καὶ συνηγμένος ἅμα περιλάμπειν καὶ καταλάμπειν τὸ πᾶν. τὸ μὲν γὰρ ἔχει κατὰ φύσιν ὡς ἐν ὁλότητι, τοῦ δὲ λείπεται ὡς ἐν μέρεσι· πλήν, εἴπερ ὁμοφυὲς ἐτύγχανεν ὂν τὸ σύμπαν καὶ τῷ περιέχοντι, πάντως ἂν*

Titulo in cod. V praemittuntur versiculi rubro colore conscripti:

τοῦ σοφοῦ σοφῶν Βλεμμίδους Νικηφόρου.
γράφει τεχνικῶς, κατακοσμεῖ τὴν βίβλον·
ὑπερέχων γὰρ τοὺς κρείττονας σεμνύνει,
λόγοις τε κοσμῶν σαυτὸν (sic) λαμπρύνει πλέον.

I. Exstat etiam in codice B, f. 171r sub titulo *τοῦ αὐτοῦ* post epistulam ad Michaelem despotam. Vide sis infra ep. XXXII.

1. *ὁπόταν* B. || 4. *προσεξευρεῖν* et mox *ἐννοῆσαι* corr. ex *ἐννόησον*, ut vid., B. || 5. *ὁ ἀξ.* V: *καὶ ἀξ.* B. || 6. *πάντων* B. || 7. *φωτιστικώτερον* comp. B. || 12. *ὂν* B. *καὶ* om. B.

ὁμοτίμους ἐδέχετο καὶ τοὺς φωτισμούς, ἀλλ' οὐκ ἂν ἐντεῦθεν ἡ σελήνη καυχήσαιτο καὶ μεγαλαυχήσειεν ὡς φύσει μὲν φωτιστικωτάτη, παρὰ δὲ τὸ τοῖς δεκτικοῖς πεφυκὸς ἀμαυρόφωτος. ὁ γὰρ ἔλεγχος λίαν ἐγγύς, εἰ καὶ πόρρω τῷ διαστήματι, καὶ ὅσον πόρρω, τοσοῦτον ἐγγύς. ἐχρῆν γὰρ τὴν οὕτως ἔγγιστα φωτίζειν μᾶλλον τοῦ πορρωτάτω καὶ λαμπρύνειν, εἴπερ ἐξῆν. οὐδεὶς οὖν ἀπολογίας τόπος αὐτῇ, μόνον δὲ τὸ οὕτω τετάχθαι ὑπὸ τοῦ πρώτου Φωτὸς λόγοις ἀρρήτοις προνοίας τοῦ ἄκρως συμφέροντος, ὃ καὶ φύσις ἐστὶ καὶ ἀπόλογος οἷς οὐκ ἔστι λογισμὸς καὶ προαίρεσις. σὺ δ' ἐξ ἡλίων ἥλιος ἐγγὺς καὶ πόρρω καθεστηκὼς ἑκατέρωθεν, οὐ μόνος τέ μοι καὶ μόνος κατανοῇ· τὸ μὲν διὰ τὴν σύγκρασιν τοῦ φωτός, τὸ δ' ὅτι γε τοῖος ἄλλος οὐδεὶς οὐδ' οὕτω συγκέκραται, οὐδ' οὕτως ὅλως ἡλίωται, ὅλως ἡλιοειδέστατος ὢν κατ' εἶδος, (ὃ φύσις καὶ οἷον ἡλιακή τις δυναμοδύναμις) καὶ διὰ τοῦτο θαυμασιώτατος. ἔχεις καὶ τοῦτο πλέον ἡλίου, τὸ φαίνειν καὶ κατὰ νύκτα, τὴν τῆς ἀμουσίας λέγω καὶ ἀκρισίας ταύτην δὴ τὴν βαθύσκοτον. καὶ διὰ τοῦτο φανότατος, ἅμα δὲ καὶ λίαν ἐράσμιος. τοῦ γὰρ ὄντως καὶ ἀνοθεύτως ἡδέος κόρος οὐδεὶς ἐξ ἐπιμονῆς. ἀλλὰ κἀν τῷ τὴν ἡμέραν τῶν αὐτοκρατορικῶν κατορθωμάτων καὶ πατρικῶν ταῖς τῶν ὑπερφυῶν προτερημάτων ἀκτῖσιν ἐπαφαιδρύνειν τοῦ τῆς ἡμέρας ἀστέρος πολὺ καθυπερτερεῖς· ἐπεὶ μετὰ φαίνοντος φαίνων καὶ ὑπερλάμπων μεθ' ὑπερλάμποντος τὸ ὅλον ὑπάρχεις αὐτός, καταλάμπεις τε καὶ περιλάμπεις τὸ πᾶν, ὑπερβὰς τοὺς δρους καὶ τὰς συναγωγὰς τῆς αἰσθήσεως. δειλαιοι τοίνυν οἱ σεληναῖοι καὶ ὑπερδειλαιοι πρὸς τοσούτους φωτισμοὺς καὶ τοιούτους μύσαντες αὐθαιρέτως, μᾶλλον δὲ καὶ αὐτὸ τὸ βλεπτικὸν περιελόντες ἀφ' ἑαυτῶν, ἐζοφωμένοι ζοφοῦντες, ἐσκοτισμένοι σκοτίζοντες καὶ τοῦ τῆς νυκτὸς ἄρχοντος κατόπιν φερόμενοι. ταῦτα πρὸς τὴν προκειμένην ὄψιν καὶ θεωρίαν | μικρά τε καὶ f. 115v
ἀμυδρά. τὸ δὲ τῆς σῆς ὅτι κρατίστης διανοίας ἄσκεπτόν τε καὶ ὀξυθεώρητον ἔχει συνεισενεγκεῖν τὰ μείζω καὶ ἐναργέστερα, καὶ μεγαλοπρεπὲς ἐκτελέσαι τὸ λογικὸν τοῦτο δὴ κατασκεύασμα. πάντα γὰρ οἶδας μεγαλοπρεπῶς ἐκτελεῖν· ἐπεὶ δὲ πάντα, καὶ τὴν τῆς ἡμετέρας εὐτελεσ-

---

14. καὶ om. V. || 19. ὑπὸ V: παρὰ B. || 26. φαίνειν V.: φέγγειν B. || 28. φανότευτος, ut vid., V. τοῦ B: τοῦτο V. || 30. τὴν iteratum V. ἡμέραν V: ἡμετέραν B. || 34. τε om. B. || 35. τῶν αἰσθητῶν B. || 36. αὐθερέτως V. || 39. προκειμένην ὄψιν V: προειρημένην σκέψιν B. || 40. σῆς om. V.

τάτης προσαγωγῆς προσδοχήν· τὸ γὰρ τὰ μέγιστα μὲν παρορᾶν, εἰ μὴ λόγος, νεύειν δὲ κατὰ λόγον ἔν γε τοῖς μικροτάτοις ἀκροτάτης μεγαλοπρεπείας τεκμήριον καὶ ψυχῆς βασιλικώτατον αὐχούσης τὸ κριτικόν, μᾶλλον δέ γε θειότητος· ὥσπερ γὰρ Θεὸς ἡγεῖτο μέν ποτε σμικρὰν κνίσσαν εὐωδίας ὁσμήν, ὅλας ἑκατόμβας ἀποστρεφόμενος, καὶ νῦν δ' ὑπὲρ ἅπαντα πλοῦτον ἐγκόσμιον θέλει ἄρτον, καὶ πόσον, ἐκ χειρῶν ὧν οἶδεν αὐτός, οὕτω καὶ σὺ θειότατος ὢν καὶ νοερῶς ἔχων ἐν πᾶσι καὶ λογικῶς, τῶν πολλῶν μὲν καὶ μεγάλων ὄγκων τῆς ὕλης μετὰ τῆς ἀνοίας καὶ τῆς ἀλογίας εἰσφερομένων οὐδ' ἐπιστρέφῃ τοῖς δ' ὀλιγίστοις καὶ βραχυτάτοις ἐνασμενίζεις, εἰ μόνον ἔστι τῷ ὄθεν τὸ ὑπερέκεινα, χρῄζων μὲν οὐδαμῶς (τίς γὰρ εἰς τοσοῦτον μανίας ἀφίκοιτ' ἄν, ὥστε δοξάσαι χρῄζειν ἀμφορέως ὑγροῦ τὸν ὠκεανόν, ὄθεν πηγαί τε καὶ θάλασσαι καὶ σύμπασα φύσις ὕδατος;). τοιαύτην καὶ σοὶ τὴν ἕξιν οἴδαμεν, τοιαύτην τὴν ἐντελέχειαν. διατηρῶν δὲ κἀντεῦθεν μνείαν τῶν σῶν καὶ τοὺς νοερῶς ἀεὶ καὶ ὁρωμένους καὶ ὁρῶντας ὁρῶν ἀτενέστερον, τοῦτο καὶ αὐτὸς ὑπὲρ τὸν ὅλον κόσμον ἐπιποθῶν ποιοῦμαι σφράγισμα τῆς ἐμῆς ὑπομνήσεως.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

II Εὖ ἔχοις· ὑπέρευγε πράττοις, βασιλευτάτη φιλτάτη μοι κεφαλή. οὕτω δ' ἂν καλέσοι καὶ πτέρνα καὶ πέλμα καὶ εἴ τι ἄλλο τῶν περιπεζίων ἐν μέρεσι τὸ προάγον τε καὶ κρατοῦν· φέρει γὰρ πρὸς τοῦτο καὶ ταῦτα μετὰ τῶν κρειττόνων τὴν σχέσιν τοῦ συμφυοῦς καὶ διὰ τὸ εὐτελὲς οὐκ ἀφῄρηται. συνηρτήμεθα τάχα πως καὶ ἡμεῖς τῇ ὁλομελείᾳ, καθάπερεί τινες ὄνυχες ποδῶν ἢ εἴ τι φαυλότερον, καὶ οὐκ ἂν τις διάνοιαν ἔχων ἀπόνοιαν ἡμῶν ἐντεῦθεν καταψηφίσαιτο· καὶ γνῶσις γὰρ καὶ λόγος ἡμᾶς ἑκατέρους καὶ γνώμη συνέδησεν, εἰ καὶ τύχῃ

---

44. προσαγωγῆς B: προσαγωγὴν V. || 49. ἐγκόσμιον corr. ex ἐγκώσμιον V. τὸν ἄρτον B. || 50. ὧν om. V. || 53. ὀλιγίστοις B: ὀλίγοις V. || 55. δοξάσαι corr. ex δοξάζειν V. || 56. θάλασσα B.

II. Exstat etiam in cod. B, f. 353r, unde titulum sumpsi, quem om. V.

1. post ὑπέρευγε deletum βασι (inchoaverat scilicet vocem βασιλευτάτη) V.

καὶ ἀρετὴ καὶ γένος ἀποδιέστησε. πλὴν ὥσπερ τὴν ἡρακλείαν λίθον
καταμανθάνομεν ἀνοίκειον οὐσίαν τάττειν μεθ' ἑαυτῆς καὶ διὰ τοῦτο
θαυμάζεσθαι πλέον τῶν ἄλλων ὁμοφυῶν, οὕτω συνάπτεις καὶ τὰ διε-
στηκότα ὁ στερρότατος σὺ καὶ τῶν ὁμοειδῶν ὑπερέξοχος κατὰ πᾶν
προτέρημα κάλλιστον, ὃς ἥρω κλέος γῆς καὶ θαλάσσης ἁπανταχοῦ
καὶ ἄνευ τῆς ὕλης καὶ τῶν ὑποκειμένων, ἄτερ ὀργάνου | παντὸς οὐ- f. 116r
ράνιον ἐδομήσω πύργωμα τὸ καινότατον. οὕτω δόξαν ἐπὶ δόξῃ δη-
μιουργεῖς καὶ εἰς ὕψος αἴρῃ λίαν ὑπέρτατον ἔκ γε τῆς τοῦ χθαμαλω-
τέρου προσλήψεως, καί γε τῆς ἄκρας συγκαταβάσεως, ἧς ἐκ τοῦ πάν-
των δεσπότου μεμύησαι λογικῶς καὶ πρακτικῶς. ὅποι δὲ τὸ πρόσλημμα
τὸ κυριακὸν ἐγνωκὼς συνανυψοῖς καὶ αὐτὸς ὁ προσείληφας ταπεινόν,
καὶ μέλος κρίνει τὸ τιμιώτατον· διὰ τοῦτο θαυμαστὸς εἶ καὶ ὄντως
νοερός τε καὶ λογικὸς νῷ καὶ λόγῳ συναρμοζόμενος. διὰ τοῦτο νοῦς
καὶ λόγος ὁποιοσοῦν καὶ ἡλίκος πρὸς σὲ τὸν νοερώτατόν τε καὶ λο-
γικώτατον ἐκδημεῖ καὶ σπεύδει πρὸς αὐτὸν ἐκεῖνον, οὗ μὴ κεχώρισται
πώποτε καὶ τὰ τῆς ἡσυχίας τυραννήσας δεσμὰ κροαίνει κατὰ πε-
δίων βουνῶν φαραγγῶν. ἀλλ' ἑρμαϊκῶς καὶ πρὸς τὸν ποθούμενον
φέρεται, κἂν που μεταξὺ καὶ κατέχηται. καὶ τοῦτο διὰ τὸ πρῶτον
αἴτιον, καὶ τοῦτο διὰ τὸ πρώτως στεργόμενον. τῷ γὰρ ὁμοψύχῳ τοῦ
στεργομένου παρακατέχεται, καὶ ὥσπερ ἡ τῆς εἰκόνος τιμὴ διαβαί-
νει πρὸς τὸ πρωτότυπον, οὕτω πρὸς σὲ τὴν πηγὴν τῶν καλῶν
ἡ ἐνταῦθοί μετὰ σεβάσματος προσκαρτέρησις διαπέμπεται, ἡ πρὸς
τὴν ἐμὴν δέσποιναν, τὸ σὸν ῥεῖθρον τὸ διειδέστατον καὶ εὐπρόχυτον,
τὸ σὸν ἔσοπτρον τὸ διαυγέστατόν τε καὶ ἀκηλίδωτον, τὴν κρινωνιὰν
τὴν ῥοδωνιὰν τὸν βαλσαμῶνα, τὰ τερπνὰ καὶ εὐώδη καὶ ἄδρεπτα, τὸ
ἀγλαόκαρπον δένδρον καὶ ἄθικτον, τὴν καλλίβοτρυν ἄμπελον καὶ
ἀτρύγητον, τὸν κεκλεισμένον καὶ πανταχόσε κατησφαλισμένον παρά-
δεισον, τὴν τῶν ἀγαθῶν θημωνιὰν τὴν πάμπαν ἀνεπαβούλευτον, τὸν
ἀσύλητον καὶ ἀπρόσιτον βασιλικὸν θησαυρόν, τὴν κατωχυρωμένην
παντοίως ἀκρόπολιν καὶ ἄκρως μὲν φυλαττομένην, ἄκρως δὲ τὸν
κεκτημένον φυλάττουσαν, τὴν τῇ σωφροσύνῃ σὺν σοί, τῇ φρονήσει
δὲ μετὰ σέ. ταύτῃ τὴν δέουσαν τιμὴν ἀφοσιωσάμενοι, δραμούμεθα

14. ἄτερ V. || 17. πρὸλήψεως V. || 24. τυραννίσας V. Cfr. Hom. *Z*, 507. || 36. ἀνεπαβούλευτον scripsi: ἐπαβούλευτον V. || 39. φυλάττουσαν, τὴν scripsi: φυλάττουσα τὴν V.

πρὸς τὴν Βασιλείαν σου, τοῦ βασιλεύοντός τε βασιλεύσαντός τε καὶ βασιλεύσοντος τὰ ἡμέτερα κατευθύνοντος διαβήματα, καὶ τοῖς σοῖς ἀπὸ δόξης εἰς δόξαν προβιβασμοῖς τὰς ἡμῶν καρδίας εὐφραίνοντος.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

III Ὁ μὲν καιρὸς ἀπαιτεῖ τὸ ἥσυχον προσεῖναι τοῖς κατ' ἐμέ, καὶ οἷς ἐπήγγελται διὰ βίου τοῦτο φέρειν παντός· τὸ δὲ τῆς σῆς θεοειδεστάτης ψυχῆς ἑλκτικώτατον εἰς προσκύνησίν τε καὶ προσομίλησιν ἡσυχάζειν πείθει τὴν δύναμιν τοῦ καιροῦ· καὶ πρὸς ἄλλους μὲν τὸν νόμον τηρεῖσθαι διακελεύεται παρ' ἡμῶν, πρὸς αὐτὸ δὲ τὰ ὑπὲρ νόμον δεικνύναι, ὡς ὑπερέχων τῶν ἄλλων καὶ ὑπὲρ ἅπαντας. καὶ γὰρ καὶ Μωσῆς ἐκεῖνος ὁ νομοθέτης ἡσυχίαν ἦγεν ἐκ πάντων ἀνθρώπων, προσομιλήσας Θεῷ, < Θεῷ > δὲ διὰ παντὸς ἐντυγχάνων ἦν. οὕτω δὴ καὶ ἡμεῖς ἀφοσιούμεθα τῇ Βασιλείᾳ σου νῦν τὴν μικρὰν ταύτην πρόρ-
f. 116v ρησιν αἰσθητῶς, ὡς θεοειδεῖ καὶ πάντων μάλιστα ὑπερέκεινα· | νοερᾶς δὲ ὁμιλίας τῆς πρὸς αὐτὴν ἀδιαστάτως ἐπαπολαύομεν πάντοτε, καὶ τὸ ὅλον νοερὸν ἐκ τοῦ αἰσθητοῦ μέρους τεκμηριάζομεν. εἰ δὲ τῷ παρόντι γνόφῳ τῆς ἀφανείας ἐνησχολημένοι τῆς ἐποψίας ἀξιωθείημεν μετὰ τὴν τεσσαρακονθήμερον φανοτάτης θέας ὑπὲρ τὸν ἥλιον, οἶμαι ὅτι τὸ πρόσωπον κατὰ Μωσέα δοξασθησόμεθα. ἔστω τοίνυν ἡτοιμασμένον τὸ παραπέτασμα, δι' οὗ τοῖς ἄλλοις προσομιλήσομεν, μήποτ' οὖν καὶ τοῦτο τόσον εἴη λαμπρόν, ὥστε τοῦ παρεσχημένου λαμπροῦ βασιλέως ὑποδεικνύναι τὰ σύμβολα καὶ τῷ βασιλεῖ τῶν βασιλευόντων χρηματίζειν ἀνάθημα ἱκανὸν εἶναι ἢ τῆς ἱερωσύνης ἀγλαὸν περιβόλαιον. ἀλλὰ ταῦτα μὲν ἴσως αἰνίγματα, εἰ δέ τις ὅπως κοσμοῖτο ὁ ἱερεὺς ἐντυγχάνων Θεῷ λάβοι κατὰ νοῦν καὶ ὅπως κοσμοῖτο ἡ τράπεζα τοῦ Θεοῦ καὶ τὰ τὴν πανδαισίαν φέροντα τὴν ἀθάνατόν τε καὶ ἱεράν, ἐξ ἱερῶν αἰνιγμάτων καταμάθοι τὴν δύναμιν τῶν αἰνιγμάτων ὧν προτεθείκαμεν. εἰ δέ γε καταμαθὼν ζητεῖ τὸ ποιόν, ἐπείπερ ἐκ

III. Exstat etiam in cod. B, f. 353v.

6 sq. *Μωσὺς* V. || 8. *Θεῷ* addidi. || 9 sq. *πρρησιν* V. || 13. *ἐνσχολακότες* V. || 19. *ἀνάθυμα* V. || 20. *κοσμεῖτο* V.

βασιλέως μεγάλου τῷ παμβασιλεῖ διαγράφεται ἡ προσαγωγή, βασιλεῖ παλαιῷ τῶν ἡμερῶν τὸ τῆς παλαιτέρας βασιλείας τεκμήριον εἴη ἂν τὸ παλαιόν· τοῦτο δὲ οὐκ ἦν ἐρυθρόν, ἀλλὰ πορφυροῦν. διὰ τοῦτο καὶ πορφυρογενεῖς τοὺς ἐκ βασιλέων βασιλέας εἶναι διὰ σπουδῆς ἦν ὅτι πολλῆς. ὁ βασιλείαν καὶ ἱερωσύνην συνάψας εἰς ἑαυτὸν τῶν οὐρανίων ἀδύτων καταξιώσαι τὴν Βασιλείαν σου καὶ νῦν οὖσαν ἐν αὐτῷ τῷ ἱερῷ δώματι καὶ θείῳ ναῷ.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

IV Ἔτι σου λαλοῦντος ἐρῶ· ἰδοὺ ἐγώ· Θεοῦ λόγος οὗτος προφητικῶς μαρτυρούμενος. ἐμοῦ δὲ περὶ τῆς ἱερᾶς ὑπομνήσαντος ἀμφιάσεως, ἄριστε βασιλέων αὐτοκρατέστατε, 'ἰδοὺ' ἔφης 'αὕτη' καὶ οὐκ ἔφης μόνον, ἀλλὰ καὶ γέγραφας, καὶ οὐδὲ τὴν προθεσμίαν ἐκαρτέρησας τοῦ καιροῦ, ἀλλὰ καὶ πρὸ καιροῦ τέλειον τὸ δῶρον ἀπήρτησας οὕτως ἀποφηνάμενος, τοιαῦτα γράψας βασιλικῶς τε καὶ μεγαλοπρεπῶς· 'ἡτοίμασταί σοι τὸ ζήτημα, ἠὐτρέπισταί σοι τὸ παραπέτασμα, διήνυσταί σοι τὸ χάρισμα.' ὦ πῶς διὰ τῶν σῶν λόγων ἐκάλλυνα τὴν ὑπόμνησιν. τούτων οὕτως ἐχόντων τίς οὐκ ἂν ὁμολογήσαι σε θεοειδέστατον; ἐγὼ δὲ καὶ ὅτε τὴν δευτέραν ἐπιστολὴν τοῦ ἐνθέου τῆς Βασιλείας σου κράτους μεταχειρίζομαι, τότε ὅλος ἐκπλήττομαι, τότε ὅλος ἐξίσταμαι τὴν πρὸς τὸ ἡμέτερον ταπεινὸν μανθάνων ἐναργῶς ὑπερβάλλουσαν τῆς σῆς ὑψηλότητος συγκατάβασιν. σὺ γὰρ ὁ τοσοῦτος, ὁ τηλικοῦτος καὶ κατὰ Νίκαιαν καὶ κατὰ Κωνσταντίνου πόλιν ἐκζητήσαι προέθου τὸ παρ' ἡμῶν αἰτηθέν, τῶν τίνων, τῶν ὁποίων. ὦ τῆς μεγαλοψυχίας, ἢ τό γε ἀληθέστερον εἰπεῖν, τῆς θειότητος. ἐκεῖνον γὰρ ἐμιμήσω | καθ' ὅσον ἐξὸν τὸν ἐξ ὕψους τῶν οὐρανῶν f. 117r
εἰς δοῦλον κατελθόντα μικρόν. ἡ πληθὺς τῶν ὑπερκοσμίων δυνάμεων τοῦτο τὸ δεσποτικὸν ἔργον ὑπερεθαύμασε, τὴν πρὸς τὸν εὐτελέστατον

27. παλαιόν] πλ· V. ‖ 30. καταξιώσαι corr. ex καταξιωση V.
IV. Exstat etiam in cod. B, f. 353v.
1. Sam. I 3, 4. ‖ 8 sq. ἐκάλυνα V. ‖ 11. μεταχειρίσομαι V. ‖ 15. ἀττηθὲν V.

δοῦλον τοσαύτην ἀγάπησιν, τὴν τοσαύτην δι' αὐτῶν συγκατάβασιν. ἆρ' οὐ παραπλήσια καὶ τὰ ἡμέτερα; τί δὲ καὶ ἡμεῖς καὶ μὴ ληψόμενοι τυχὸν τὸ δῶρον; εἰλήφαμεν τὴν δεσποτικὴν προθυμίαν καὶ τὴν τοσαύτην ἐπίσπευσιν, ἀντὶ παντὸς ἔργου κρίναντες. ἔα τοίνυν τὰς Νικαίας ὅτι πόρρω καὶ τὰ ἐκεῖσε πορφύρεα δύσχρηστα, ἡμῖν γὰρ σπουδάζεται τὸ λίαν ἐπισημότατον· ἔα καὶ τὰς Κωνσταντίνου πόλεις, πρὸς γὰρ τῇ τοπικῇ διαστάσει, πολὺ καὶ ἡ σχετικὴ μεταξὺ ἐκείνων τε καὶ ἡμῶν. ἀλλ' εἴπερ ἐξ ἐνδύματός σου πορφυρέου περιττεύσει τι τεμάχιον, ἔστω τοῦτο πρὸς ἐκτελεσμὸν μερικὸν τῆς ἡμετέρας προθέσεως. καὶ πάλιν ἄλλοτε ἴσως ἕτερόν τι γενήσεται, καὶ οὕτως ἐκ τῶν μερικῶν τὸ καθόλου συναθροισθήσεται. καὶ ἡμεῖς γὰρ οὐ τὸ πρὸ τῶν πολλῶν ἐν τοῖς ἐγκωμίοις καθόλου γινώσκομεν, ἀλλὰ τὸ ὑστερογενές, ὅπερ ἐστὶν ἐκ τῶν μερικῶν. εἰ δ' οὐδὲ τοῦτ' ἔσται, καὶ μετὰ τῶν ταπεινοτέρων ἀμφίων τῷ δι' ἡμᾶς ταπεινωθέντι ἱερῶς ἐκλατρεύσομεν. πλέον γὰρ ἐκείνῳ μέλει τῆς ἔνδον ἢ τῆς ἐκ τῶν περιβλημάτων λαμπρότητος, ἣν μὴ κεκτημένοι πενθοῦμεν καὶ ὀδυρόμεθα, χαρὰν τῇ Βασιλείᾳ σου τὴν ἀνεκλάλητον ἐπευχόμενοι.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

V Οἱ πρὸς τὸν φωστῆρα τὸν μέγιστον βλέποντες, εἰ μὲν διὰ καθαροῦ τοῦ μεταξὺ ἀέρος ὁρῷεν, ἔχοιεν δὲ καὶ τὸ ὀπτικὸν ἔντονον, λαμπρὸν ὁρῶσιν αὐτόν· εἰ δὲ διά τινος ἀχλύος, ὑποζόφερον· συμπεσούσης δὲ καὶ ἀτονίας ὀπτικῆς, μελάντερόν τε καὶ σκοτεινότερον. καὶ οὐκ ἐδυσχέρανεν ἂν ὁ φωσφόρος, εἴπερ εἶχε τὸ αἰσθητικόν, οὕτω νομιζόμενός τε καὶ φανταζόμενος. τί γοῦν καινόν, εἰ καὶ ἀδρανεῖς ὀφθαλμοὶ καὶ θηλύτεροι τὸν μέγαν φωστῆρα τὸν λογικόν, τὸν ἄκρον λαμπτῆρα τῆς εὐγενείας, τὸν παμφαέστατον πυρσὸν πάσης ἀρετῆς λογικῆς τε καὶ πρακτικῆς, οὐχ ὁρῶσιν ὁποῖός ἐστι διὰ πολλοῦ σκο-

24. γὰρ scripsi: δὲ V. || 27. τεμμάχιον V.
V. Exstat etiam in cod. B, f. 354r.

τασμοῦ ἀμαθίας καὶ ζόφου ἀγνοίας καὶ νυκτὸς ἀπαιδευσίας ὁμολοῦντες αὐτῷ; ἀμβλυωπείτωσαν καὶ παραλογιζέσθωσαν ἑαυτούς. ἡμεῖς δὲ τὸ μὲν ὀπτικὸν οὐ μεγαλαυχοῦμεν ἔχειν τρανόν· τέως δ' οὖν ἔχομεν ὑγιὲς παρὰ τῆς σῆς θεολογίας τεθεραπευμένοι αὐτό, φερόμενοί τε καὶ τὸ ἴνδαλμα τῆς σῆς ἡλιοειδείας παρ' ἑαυτοῖς (εἴπερ ἡ ἀγάπη καὶ Θεὸν ἀνθρώπῳ ξυνέδησε) καὶ διὰ τοῦτο βλέπομεν καθαρῶς. τὸ μεταξὺ δὲ ὁποῖον ἡμῖν, εἴ γε ὅλως ἐστὶ μεταξύ, ἢ πάντως αἰθέριον, ὅτι λαμπρόν, ὅτι τιμαλφές; ὅθεν καὶ πρῶτον καὶ μόνον ὑπερφαῆ καὶ πρᾶξιν καὶ γνῶσιν σὲ γινώσκομέν τε καὶ πεπιστεύκαμεν, καὶ πλέον ἐντεῦθεν ἐπιστημονικοὶ καθεστήκαμεν, ἢ ἐκ τῶν ἄλλων τῆς φιλοσοφίας δογμάτων τῶν ἐν μαθήμασι, καί γε τῶν ὑπερέκεινα. οὕτω σοφίζει ἡμᾶς καὶ τὸ ἐνθυμεῖσθαι ὅλως περὶ σοῦ, ὅπερ ἐστὶ πλέον εἰς ἡμᾶς, ἢ τὸ ἀναπνεῖν, | συνέτισις, παίδευσις, ῥυθμός, σόφισις, τῶν μειζόνων κα- f. 117v
τόρθωσις. ὁποῖος οὖν αὐτὸς εἶης ὁ ταῦτα δυνάμενος; ἢ τίς ἂν δύναιτο συλλογίσασθαί σου τὸ ὑπερέξοχον; πάντως οὐδείς, εἰ μὴ σὺ αὐτὸς ἐθέλοις τρόποις συγκαταβάσεως.

Ἐστείλαμεν τῇ Βασιλείᾳ σου καὶ σιτευτοὺς ἀλεκτορικοὺς ἑκτομίας· καί, εἴπερ κριθεῖεν ἄξιοι, τιμηθήτωσαν τῷ ἀξιώματι τῷ ἐπὶ τῆς τραπέζης· εἰ δ' οὖν, ἀλλ' εἰς τὴν γυναικωνῖτιν ἀποπεμφθήτωσαν. ἐπεὶ δὲ καὶ τόκος ἀλεκτορικὸς σὺν αὐτοῖς, ᾧ πάντως ὁ λόγος διασαφεῖ, διδόαμεν τῷ βουλομένῳ ἐννοεῖν ὅτι καὶ οἱ ἄτοκοι φύσει τίκτοντες εὑρίσκονται παρ' ἡμῖν.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Λάχανα ἥγηνται τῷ ὑπὲρ τιμὴν Κράτει τῆς Βασιλείας σου τὰ τοῖς ἄλλοις τιμιώτατά τε καὶ πολυσπούδαστα· οὐ γὰρ τοῖς χρήμασιν ἀπονέμει τὸ χρήσιμον, ἀλλὰ τῷ φύσει καλῷ, χρημάτων ἔχων ἁπάντων ὑπεράνω τὴν ἀρετήν. εἰ δὲ καὶ τούτων λόγος μικρός, ἀλλὰ διὰ τὴν ἐλευθεριότητα τήν τε μεγαλοπρέπειαν καὶ πάλιν ἡ ἀρετὴ προτετίμηται. σύμβολον οὖν ἐν καταλλήλῳ καιρῷ βασιλικωτάτης ἕξεως προσαγωγὴ μοναχοπρεπής. VI

---

13. φερόμ < ε > οιὲ V. || 14. ἡλιοειδίας V. || 20. σοφίζει scripsi: σοφίζεις V. || 28. γυναικωνίτην V. || 29. fort. πάντως < ὡς > ὁ?

VI. Exstat etiam in cod. B, f. 354r.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

VII Εἰ Θεός, καὶ πρόνοια· εἰ μὴ πρόνοια, οὐδὲ Θεός. τοῦτο λέγουσιν οἱ φιλόσοφοι σὺν ἀντιθέσει ἀντιστροφήν· σὺ τοίνυν θεοειδέστατος ὤν, προνοίης ἂν ἀναγκαίως τῶν τῆς σῆς προνοίας ἐξηρτημένων (ἀντιστρέψαι γὰρ οὐ προῄρημαι). πάλιν εἰ φιλανθρωπία, καὶ συγκατάβασις· εἰ μὴ συγκατάβασις, οὐδὲ φιλανθρωπία. σὺ γοῦν φιλάνθρωπος ὤν, ἐπεὶ καὶ αὐτὸς χρῄζεις φιλανθρωπίας, δίκαιος ἂν εἴης συγκαταβαίνειν τῇ ἀσθενείᾳ ἡμῶν. ὁ γὰρ μὴ τοῖς οἰκειοτάτοις συγκαταβαίνων πότε τοῖς ἀλλοτρίοις συγκαταβήσεται; μὴ συγκαταβαίνων δὲ ποῦ ἂν δείξαι τὸ θεοειδές; ἢ πῶς ἂν αὐτὸς τύχοι συγκαταβάσεως; εἰ δὲ θεῖον τὸ συγκαταβαστικόν, τίνος ἂν εἴη τὸ ἀσυγκατάβατον; εἰ τὸ ἥμερον βασιλικόν, ποῖον ἂν εἴη τὸ ἀντίθετον; ἀλλ' εὐσεβές; οὐ μὲν οὖν. διὰ ταῦτα θαυμάζω τὸ μεγαλόφρον τῆς Βασιλείας σου, ὅτι θέλεις ἔχειν ἡμᾶς ὁμιλητάς, τοὺς οὐτιδανούς. προσαπαιτῶ δὲ καὶ εἰς πλεονασμὸν τὸ μειλίχιον, ἵνα μηκέτι Χριστὸς εἴποι πρὸς τὸν ταῖς ἀρεταῖς πλουσιώτατον· 'ἔτι ἓν σοι λείπει', ἀλλὰ τὸ ἀνενδεὲς πανταχόθεν προσμαρτυροῖτό σοι, διότι καὶ πάντων ὑπερφέρεις καὶ οὐδεὶς ἐν τῷ κόσμῳ σήμερον ὁποῖος ἦσθα σύ, ταῖς ἀληθείαις βασιλικώτατε.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

VIII Μανθάνομεν τοὺς ἐξ Ἰσραὴλ μετὰ τὴν τῆς Αἰγυπτιακῆς τυραννίδος ἀπαλλαγὴν ἐπιλελῆσθαι μὲν τῆς Μωσέως σοφίας καὶ χάριτος, μεμνῆσθαι δὲ τῶν σκορόδων καὶ τῶν παραπλησίων τῶν ἐν Αἰγύπτῳ, καὶ πολὺν ποιεῖσθαι λόγον τῶν μηδενὸς ἀξίων τοῖς γε νοῦν ἔχουσι, τῶν δὲ πρόσθεν συνθηκῶν καὶ Μωσέα τὸν ὑποφήτην Θεοῦ κατολιγωρεῖν καὶ ἀφίστασθαι καὶ τοὺς οἰκείους λόγους ἀθετεῖν καὶ ὡς μη-

---

VII. Exstat etiam in cod. B, f. 354r.

1. *Εἰ* B: om. V. || 7. *τῇ ἀσθενείᾳ* scripsi: *τῆς ἀσθενείας* V. || 9. *δείξαι* scripsi: *δείξοι* V. || 11. *ὁποῖον* V; idem *οὕμενουν*, ut solet. || 15. Ev. Luc. XVIII, 22, unde *ἔτι* scripsi: *ὅτι* V. || 17. *ἦσθα* scripsi: *οἶσθα* V.

VIII. Exstat etiam in cod. B, f. 354r.

1 sq. Num. XI, 5.

δὲ λελαλημένους λογίζεσθαι. κἀκεῖνοι μὲν ταῦτα μέχρι τοῦ νῦν ὀνειδίζονται. ἡμεῖς δὲ μήτε | σοφίας ἠξιωμένοι Μωσαϊκῆς, μήτε χάριτός f. 118r
τινος μεταδόντες Ἰσραηλίτῃ λαῷ, γνωστοὶ δ' ὁπωσοῦν γεγονότες τῷ
10 νοερῷ πάντων ἀνθρώπων τῆς καθ' ἡμᾶς γενεᾶς καὶ ὄντως ὁρῶντι Θεόν, τῷ κρατίστῳ καὶ ὑπερτάτῳ, παρὰ τοῦ γνόντος ἡμᾶς ἐπιλελήσμεθα νῦν σκορόδων Αἰγυπτιακῶν, εἴτ' οὖν σκορδυλλίων ἀμούσων ἐξεχομένων πῶς εἰπεῖν οὐκ ἔχομεν, καὶ ἡμᾶς ἀθετησάντ<ων>, ὡς περὶ τὴν Ἔφεσον Σαμίων ἡμῖν μὴ αἰτησαμένοις, ἀνατεθειμένων τὸ πρότε-
15 ρον, ὕστερον δὲ μετεγγιζομένων ἐξ ἡμῶν εἰς σκορδύλλιον ἢ μᾶλλον κορυδαλλόν. τετιμήσθω γὰρ ὁ ἀνὴρ διὰ τὸ πρώην καπηλικὸν καὶ εἰσέπειτα στρατιωτικόν. λέγεται γὰρ τὸν κορυδαλλὸν κάπηλον εἶναί ποτε καὶ κέρας φέρειν ὡς ἔκπωμα, κἂν τούτῳ κρητίζειν ἢ κερατίζειν μετ' οἴνου τοὺς παραβάλλοντας· οὕπω γὰρ εὕρηντο τὰ ὑάλινα ἢ τὰ ἐκ τῆς
20 ἄλλης ὕλης ἐκπώματα. τοιοῦτος ὢν ὁ κορυδαλλὸς περιτίθεται κόρυθα καὶ στρατιωτικῶς σχηματίζεται καὶ τὴν ἀπόνοιαν ἐπαύξων πρὸς τὸν Ἑρμῆν παρατέταται καὶ ζητεῖ μετὰ τοῦ λογίου καὶ νήφοντος μάχην ὁ κάτοινός τε καὶ ἄλογος. τί γοῦν ὁ Ἑρμῆς; οὐδὲν πλέον διατίθεται τὸν κορυδαλλόν, ἢ μεταμείβει τοῦτον εἰς ὄρνιν διὰ τὴν ἀλογίαν καὶ τὸ
25 πτερὸν τῆς ἐπάρσεως, περιτίθησι δὲ κατὰ κεφαλῆς αὐτοῦ τὸ κέρας, τῆς οἰνοχοείας τὸ ὄργανον, καὶ οὕτω θριαμβεύει τὸν ἄνουν καὶ ὑπερήφανον. ἀλλὰ ταῦτα μὲν εἰκονίζει μυθικῶς τὴν ἀλήθειαν· τὸ δὲ σὸν θειότατον Κράτος καὶ λογιώτατον καὶ σοφώτατον ἐασάτω τοὺς κατὰ τὴν Ἔφεσον Σαμίους καὶ τὴν ταύτης περίχωρον ἀνακεῖσθαι ἡμῖν κα-
30 θὼς προεθέσπισε. καὶ ἑστῶσαν καὶ πάλιν οὗτοι πάντες μικρὸν ἐξυπηρετοῦντες ἡμῖν, οὐ μικρὸν δὲ παρ' ἡμῶν βοηθούμενοι. τοῦτο γὰρ καὶ ὁ τῷ ἁγίῳ βασιλεῖ πιγκέρνης οἰκεῖος καὶ τῇ Βασιλείᾳ σου θελητὸς ἔγνω τε καὶ ἐπῄνεσε, καὶ τὸ μηκέτι βαρύνειν αὐτοὺς ὡμολόγησε. τὰ τέλη δὲ αὐτῶν καὶ ζητήματα, εἴπερ εὐδοκεῖ ἡ Βασιλεία σου, ἀποχαρισάσθω
35 τῷ ἀκράτῳ καὶ ὁρμυστρατιώτῃ τῷ σκορδυλλίῳ, πλὴν τῆς τῶν Σαμίων δουλείας. ἐπεὶ τυραννικὸς ὁ ἀνήρ, ἅμα δὲ καὶ σαθρὸς εἰς ἀντίληψιν· διὰ ταῦτα γὰρ οἱ ἄνθρωποι δυσχεραίνουσι καὶ παραιτοῦνται τοῦτον καὶ φεύγουσι. τὰ δὲ τῆς ἱστορίας κεφαλαιωδέστερά τε καὶ ἀναγωγικώτερα τῇ ἀγχινοίᾳ καὶ μεγαλονοίᾳ τῆς θεοσόφου Βασιλείας
40 σου πρὸς θεωρίαν καταλελοίπαμεν καὶ τελείαν ἀπάρτισιν.

---

7. λαλημένους V. || 8. μήτε in paginae initio iteratum V. || 14. αἰτησαμένοις scripsi: αἰτησαμένων V. || 15. ἡμῶν scripsi: ὑμῶν V. || 16 sqq. κορυδαλὸν ubique V. || 19. ὐάλλινα, V. || 22. fort. παρατέτακται. || 26. ἄννουν V.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

IX Τάχ' ἂν οἱ τῇ αἰσθήσει βιοῦντες καὶ μηδὲν πλέον εἰδότες ἡμᾶς ταλανίσαιεν καὶ ἀθλίους ὑποτοπάσαιεν, ὅτι σὲ τὸν ἡμέτερον πλοῦτον, τὸν τηλικοῦτον θησαυρόν, ἐπὶ τοσαύταις ἡμέραις οὐκ ἐζητήσαμεν, οὐχ ἑωράκαμεν, οὐ τῆς σῆς παραπ<ελαύσαμεν> χάριτος. ἀλλ' ἴστωσαν οἱ οὕτω φρονοῦντες ὡς σφάλλονται. καὶ γὰρ τὸ σὸν Κράτος, τὸ ἡμέτερον ἐντρύφημά τε καὶ καύχημα, τὴν ἔνθεον Βασιλείαν ἐντὸς ἡμῶν φέρομεν καὶ ταύτης οὐ διιστάμεθα· πλέον δὲ μᾶλλον αὐτὴν ἀχώριστον ἔχομεν
f. 118v ἐξ ἡμῶν, ἢ τὴν ἀναπνοήν· | ὅθεν καὶ ὁρῶμεν ταύτην διηνεκῶς καὶ ὁρώμεθα παρ' αὐτῆς· εἰς τόσον δίδωσι τολμᾶν ἡ θειοτέρα καὶ ὑπὲρ φύσιν στοργή. σὺ ἐξελέξω ἡμᾶς ἐκ τοῦ κόσμου· καὶ πῶς οὐκ ἔσῃ μεθ' ἡμῶν πάσας τὰς ἡμέρας; ἀδύνατον ἄλλως ἔχειν τὰ καθ' ἡμᾶς, εἰκὼν τοῦ Χριστοῦ καὶ χριστὲ τοῦ Κυρίου καὶ ἐκμαγεῖον τῶν αὐτοῦ ἀρετῶν. ἐρῶ δὲ καὶ νεανικώτερον· τὸ κρεῖττον τῷ κρείττονι χαίρει καὶ τὸ χεῖρον τῷ χείρονι, καὶ ἐν ἀλλήλοις τὰ συγγενῆ· καὶ εἴπερ ἐν σοὶ Θεός, ἡμεῖς δὲ Θεοῦ, πάντως σὺ ἐν ἡμῖν. οὕτω τῇ εὐκληρίᾳ πάντας τοὺς καθ' ἡμᾶς νενικήκαμεν· καὶ ἡμεῖς μὲν χαίρομεν ἀεὶ διὰ σὲ καὶ πάσης ἀηδίας κοσμικῆς ὑπέρτεροι διαμένομεν (ἔχομεν γὰρ τὸ ἐξαίρετον παρηγόρημα, τὴν ἐν ἡμῖν ἀδιάλειπτον παρουσίαν τῆς Βασιλείας σου), σὺ δ' ἔντεινε καὶ κατευοδοῦ καὶ βασίλευε καὶ δεδοξασμένος εἰς πάντα τῆς οἰκουμένης ἔσο τὰ πέρατα ἕνεκεν θεοειδοῦς νοερότητος, σωφροσύνης ἀπαραμίλλου καὶ, ἧς οὐδὲν Θεῷ τιμιώτερον, ἀνδρείας διττῆς καὶ πάντων τῶν τοῖς ἀτίμοις τιμίων περιφρονήσεως. μικρὸν δ' ὕστερον ὀφθήσεταί σοι καὶ Βασιλικὸς Ἀνδριάς, ὃν λόγος ἡμέτερος ἠγαλμάτωσεν· εἴτ' οὖν εὐφυῶς, εἴτ' ἄλλως πως διεσκεύασται, παρὰ σοὶ κριθήσεται διαγνώμονι τῷ τὴν βασιλικὴν ἐπιστήμην ἐξακριβώσαντι θεωρητικῶς καὶ πρακτικῶς. ἐκεῖνοι γὰρ ἴσασι κρίνειν ἐπιστήμας καὶ τέχνας οἱ μετέχοντες ὡς δέον αὐτῶν.

IX. Exstat etiam in cod. B, f. 354v.

13. ἐρῶ scripsi: ὁρῶ V. || 16. ἐνικήκαμεν V; possis etiam ἐνικήσαμεν. || 19. εὔτιναι, ut vid., V. Cfr. Psal. XLIV, 5. || 22. περιφρονήσεως scripsi: περὶ φρονήσεως V.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

Καὶ Μωσῆς μὲν ἐκεῖνος ὁ παλαιὸς ἐχρᾶτο μὲν καὶ τῇ γλώττῃ X
τοῦ Ἀαρών, δι' ἐκείνου τὰ πολλὰ φθεγγόμενος τῷ λαῷ, ἐχρᾶτο δὲ
καὶ ταῖς χερσὶν ἐκείνου προσφέρων δι' αὐτῶν θυσίαν τῷ Θεῷ· ἐπεὶ
δὲ καὶ τὸ σὸν θειότατον Κράτος τὸν ἐμὸν Ἀαρὼν ἐνταυθοῖ ἐξαπέ-
στειλε, χρώμεθα καὶ τῇ γλώττῃ τούτου τὸν ἡμέτερον σκοπὸν διατρα-
νούσῃ καὶ ἐξαγγελούσῃ διατορώτερον ἢπερ ἡμεῖς οἱ βραδύγλωσσοι,
χρώμεθα δὲ καὶ τῇ τούτου χειρὶ τὸ τῆς εὐχαριστίας γράμμα διαχαρατ-
τούσῃ πρεπόντως καὶ οἱονεὶ θυσίαν αἰνέσεως προσαγούσῃ τῇ Βασιλείᾳ
σου. καὶ οὐκ ἄπο λόγου τῇ χειρὶ καὶ τῇ γλώττῃ ταύτῃ κεχρήμεθα.
εἰ δὲ μικρόν τι καὶ ἡμεῖς πρὸς λογικὴν τελεσιουργίαν ταύταις συνε-
βαλόμεθα, καὶ οἷον εἰπεῖν αὐτὰς τῷ τῆς νοήμονος ἁγιστείας κατεκο-
σμήσαμεν δοξασμῷ καθὰ Μωσῆς τὸν Ἀαρὼν ὅλον, ὥσπερ ὁ δημα-
γωγικώτατος οἶσθα καὶ ἱερώτατος σύ· εἰ δ' ἐκεῖνοι μὲν πρὸς λαὸν
εἶχον τὸ διαλέγεσθαι, ἐγὼ δὲ πρὸς καθηγεμόνα λαοῦ, θαυμαστὸν οὐ-
δέν. πρῶτον μὲν γὰρ αὐτὸς ἦσθα σὺ ὁ λαός, καθὼς ὑπεδήλου καὶ τὸ
σὸν θέσπισμα ὁ λαὸς ὅλος, | πληθὺς ἡ παγκόσμιος· τὴν γὰρ σὴν f. 119r
ψυχὴν καὶ μεγαλουργίαν πόσων σωμάτων ἐσμὸς χωρήσειν ἰσχυσεν ἄν,
μιμουμένας οἱονεί πως τὸ δεσποτικὸν ἀπερίγραπτον; ἔπειτα δεύτερον
ἦν ἐκείνοις τὸ τοῦ λαοῦ χρῆμα καὶ παρεπόμενον, τὸ δέ γε προηγού-
μενον αἴτιον ἦν ὁ Θεός, ὥστε καὶ εἰς ἡμᾶς διαβαίνει τὸ εἰκασμα,
γλώττας ἡμετέρας καὶ χεῖρας προσάγοντας σοὶ τῷ κατὰ χάριν Θεῷ·
τὸ δέ γε πρὸς τὴν ἐκπλήρωσιν τῶν ἡμετέρων αἰτημάτων καθ' ὑπερ-
βολὴν ὀξυκίνητον δείκνυσιν ὅτι καὶ τὴν οἰκουμένην ἅπασαν, εἰπερ
οἷόν τε ἦν, ὥσπερ τι πολλοστημόριον ἐνεχείρησας ἂν ἡμῖν· τοσοῦτον
φέρεις τὸ μεγαλοπρεπές, τοσοῦτον τὸ βασιλικὸν καὶ τὸ αὐτοκρατο-
ρικόν, τοσοῦτον τὸ ὑπερφυὲς καὶ τὸ θειότατον. οὐ δύναταί σε ὁ κό-
σμος χωρεῖν, οὐκ ἔχομέν τι τῶν ἐν κόσμῳ πρὸς ὃ ἂν εἰκονίσαμέν σου

X. Exstat etiam in cod. B, f. 354v.

1. μὲν om. B. || 17. χωρήσειν V. || 18. μιμουμένους V.

τὸ ὑπερκόσμιον. διὰ τοῦτο καὶ ἀμηχανία συνέχει ἡμᾶς, κἀντεῦθεν ὑπεμφαίνομεν ὡς πάντα λόγον ἠττήμεθα καὶ οὐκ ἔχομεν ὅ τι πρὸς τὴν σὴν ἀξίαν λογογραφήσωμεν. διὸ καὶ συγγίγνωσκε καὶ συγγνωμόνει τοῖς ἀσθενήσασιν· εἰ δ' οὖν, ἀλλὰ τὸ σὸν ὑπέρμεγά τε καὶ ὑπεράνθρωπον παρυπόκρυπτε μικρὸν ἐξ ἡμῶν, ἵνα μὴ πάντας ἐκστήσῃς ἡμᾶς τῶν φρενῶν τὰ ἀκίχητα ζητοῦντας καὶ πολυπραγμονοῦντας τὰ ὑπὲρ ἔννοιαν. διόπερ, ἐπειδὴ καὶ τὰ ὑπὲρ ἅπασαν φράσιν θεῖα νοήματα καὶ ὅσα περὶ τὴν θείαν οὐσίαν καὶ ἀκατάληπτα τῇ σιγῇ καὶ τῇ ἀφθεγξίᾳ σεμνύνομεν, καὶ τὰ σὰ μεγαλουργήματα διὰ τῆς αὐτῆς τιμῶμεν σιγῆς, ἔνδειξιν τοῦ ὑπὲρ λόγον εἶναι ταῦτα τὴν τοῦ λόγου ἀργίαν αὐτὴν προβαλλόμενοι.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XI Ἐθλίβημεν ὅτι νενόσηκας· καὶ ἡ θλῖψις ἐφ' ἡμῖν πᾶσαν νόσον νενίκηκε. πόσον γὰρ ἀλγοῦμεν ἔτι καὶ τὰς ψυχὰς καὶ τὰ σώματα, παραστῆσαι λόγος οὐ δύναται. οἶμαι οὖν, μᾶλλον δέ γε καὶ πέπεισμαι, τὸν τῆς νόσου λυτῆρα, τὸν τῆς ὑγείας δοτῆρα, τὸν πάντων ἀγαθῶν ποριστὴν ἐξ οὗτως ἀλγοῦντος φωνὰς ἐνωτιζόμενον καθ' ἑκάστην οἰκτρὰς καὶ περιπαθεῖς ὑπὲρ τῆς σῆς ἀκραιφνοῦς ἀναρρώσεως, προσδέξασθαι ταύτας καὶ διαπερᾶναι τετελεσμένον πάμπαν τὸ ἡμέτερον αἴτημα· ὅτι κἀκείνῳ, οἷα γνησιωτάτῳ πατρί, πολὺ μέλει τοῦ Κράτους σου. διὸ καὶ τὰς εὐχὰς ἡμῶν ὥσπερ τινὰς μερικὰς ὑπομνήσεις δεχόμενος, οἰκοθεν παράσχοι σοι πᾶν ἀγαθὸν καὶ σωτήριον. ἔρρωσο, κόσμου ῥῶσις, λόγου παραψυχή, Θεῷ πεφιλμένε, τοῖς τοῦ Θεοῦ μέγιστον ἐπικούρημα.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XII Ἑστάλη ὁ λόγος τῆς Βασιλείας σου καθὼς ὥρισας, ὦ λόγου καὶ σοφίας βασιλικώτατον θησαυροφυλάκιον. ἰχθύας δὲ στεῖλαι πολλὰ

XI. Exstat etiam in cod. B, f. 354v.

30. λογογραφήσομεν V. || 31. τὸ σὸν et ὑπεράνθρωπον scripsi: τόσον et ὑπὲρ ἀνθρωπον V.

XII. Exstat etiam in cod. B, f. 355r.

1. ἐθλίβη μὲν B, teste Coxe. || 8. μέλι V.

σπεύσαντες οὐκ ἰσχύσαμεν· τέως δ' οὖν τὰ μικρὰ ἰχθύδια τῷ λόγῳ συναπεστάλκαμεν, ἵνα καὶ ἁλιέα καὶ λόγον ὁμο<ίως> τὸν ἐπαινούμενον συμβολογραφήσωμεν. μήποτ' οὖν ἄλλην ἁλείαν προκρίν<ῃ ἢ> τὴν λογικὴν ὁ μέγας Ἰωάννης· καὶ διὰ τοῦτο τὴν τῶν ἰχθύων ἁλείαν ἀπώσατο· | περὶ δὲ τῆς ἡμετέρας ἕως τοῦ ἡμετέρου γράμματος, f. 119v
ὃ τῇ Βασιλείᾳ σου προεξεπέμψαμεν, ἔσο σὺ αὐτὸς ἐξηγητής τε καὶ ἑρμηνεύς. πλέον γὰρ οἶδας τὰ ἐμά, ἢ ἐγὼ αὐτός.

Γραώδης δὲ κλαυθμυρισμὸς εὐνουχικὸς ἔφθασεν εἰς ἡμᾶς· καὶ παρακαλῶ τὴν Βασιλείαν σου, ἵνα ὁρίσῃς δοθῆναι αὐτῷ τὴν ῥόγαν αὐτοῦ, καθὼς καὶ τῇ περὶ τούτου μεσιτείᾳ μου προκατένευσεν ἡ Βασιλεία σου. εἰ δὲ λόγοι τὸ τέρμα τῶν λόγων, τὸ λοιπὸν οἱ λόγοι ἀργήσουσιν. ἔστω καὶ τοῦτο μετὰ τῶν αἰνιγμάτων, ἐπεὶ τοὺς ἐμοὺς λόγους ἔχεις αἰνίγματα. δίδαξον δὲ πῶς χρὴ γράφειν τοσαύτῃ φρονήσει. ἢ λαχάνοις ἀδρανέσι θρέψω τὸν λέοντα;

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XIII

Ἐστάλη τῇ Βασιλείᾳ σου ὁ Βασιλικὸς Ἀνδριάς· ἔστι δὲ λόγος ἠθικὸς καταδρομὴν τῆς κακίας ποιούμενος καὶ τὴν ἀρετὴν ἐπαινῶν. ἐπεὶ δὲ οὕτως ἔχει, τὴν Βασιλείαν σου ἐπαινεῖ τὴν ἀσυγκρίτως ἔχουσαν κατ' ἀρετὴν ἐν ταῖς ἡμέραις ταύταις. ἀναγνωσθήτω οὖν παρὰ τῆς Βασιλείας σου ἐπιστατικῶς καὶ κριθήτω, εἰ ἔστι Βασιλικὸς Ἀνδριὰς καὶ ἀπὸ τῆς ἐννοίας καὶ ἀπὸ τῆς φράσεως, ἀπό τε τῆς λέξεως (δοκεῖ γάρ μοι εἶναι τῶν εὐτελῶν) ἀπό τε τῶν ἱστοριῶν ὧν ἔχει καὶ τῶν ἀναγωγῶν, τῆς τε οἰκονομίας καὶ μεθόδου τῆς συνθήκης, τοῦ σχήματος, τοῦ ῥυθμοῦ καὶ τῶν ἄλλων ὧν φέρει μορφώσεών τε καὶ διαπλάσεων. καὶ καθὼς ἡ Βασιλεία σου περὶ τοῦ λόγου κρινεῖ, καὶ ἡμεῖς ἐπακολουθήσομεν καὶ συγγνωματεύσομεν· εἴτε κατὰ λόγον καὶ φιλαλήθως ἅμα δὲ καὶ θεοφιλῶς ἐπονήσαμεν, εἴτε, ὅπερ ἀπείη, διακένως κεκοπάκαμεν.

---

5. συμβολογραφήσ<ω>μεν V.

XIII. Exstat etiam in cod. B, f. 355r. Edidit A. Heisenberg in *Nicephori Blemm. curric. etc.*, p. LXIV.

7. μοι] μὴ V. ‖ 12. ἀπὴ V.

Ἐγὼ δὲ καὶ ἐν τοῖς μέρεσι τῆς Βιθυνίας ἀκηκοὼς καὶ ἐνταῦθα μανθάνων, ὅτι ἡ Βασιλεία σου προκόπτει διὰ παντὸς ἐν πάσῃ ἀρετῇ καὶ μάλιστα ἐν δικαιοσύνῃ, ἣν οὐδέποτε κἂν πρὸς βραχὺ καταλέλοιπας, χαίρω καὶ δοξάζω τὸν Θεόν, τὸν δοξάζοντα παντοίως τὴν Βασιλείαν σου καὶ δοξάσοντα. γένοιτο, γένοιτο.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XIV *Οὔτε σώματος ἐμψύχου σύστασις χωρὶς τοῦ ζῳογονοῦντος αὐτό, οὔτε τὸ καταθύμιον ἡμῖν καὶ ἄλυπον ὅλον ἐν βίῳ χωρὶς τοῦ προσομιλεῖν ἢ νοερῶς ἢ λογικῶς τῷ ζῳογόνῳ Κράτει τῆς Βασιλείας σου, ἀλλὰ τὸ μὲν ἀεὶ πρόσεστιν ἡμῖν, εἴπερ ἀεὶ νοῦς ἐνεργεῖ, τοῦ δὲ στερισκόμεθα· διά τοι τοῦτο χρεὼν ἐπιδεδραγμένους ἡμᾶς εὐθέτου καιροῦ τολμᾶν καὶ σχεδιάζειν εὐκτικὰς προρρήσεις τῇ Βασιλείᾳ σου. καὶ εἷης λάμπων ὁ τηλαυγέστατος ἀειλαμπῶς, ὁ γλυκύτητος πλήρης θεοειδοῦς, τὸ φῶς τοῦ λόγου, τῆς σοφίας < ἡ > ἀκτὶς ἡ τηλεφανής, ἡ πηγὴ πάντων τῶν ἀγαθῶν κατὰ ἄνθρωπον, ἡ ἐν κόσμῳ κρηπὶς < τῶν > ἐν κόσμῳ καὶ οὐκ ἐν κόσμῳ· τοῦτο δὲ τὸ θαυμασιώτατον, ὅτι συνδέεις τὰ διῃρημένα καὶ τὰ διεστῶτα ἑνοῖς, ὁ χριστὸς τοῦ Κυρίου, τῆς φύσεως τὸ ἐξαίρετον, τῆς γνώμης τὸ ὑπέρτατον, τὸ λόγοις ἀληπτον*
f. 120r *ὡς ὑπὲρ λόγον, ὁ πάντα συλλαβὼν | καὶ ἐν πᾶσιν ὢν καὶ ὑπὲρ πάντα καθεστηκώς, οἷα Θεὸς καὶ Ὑψίστου υἱός.*

τοῦ αὐτοῦ τῷ αὐτῷ

XV *Πολλὰ πεφιλοσόφηται τῇ σῇ Βασιλείᾳ περὶ κινήσεως, ἐν οἷς καὶ τὴν στάσιν ἔδειξας κίνησιν· ἡ γοῦν ἡμετέρα κίνησις στάσις γέγονεν· εἰ θέλεις δεῖξαι τὴν στάσιν κίνησιν, ἔργοις δεῖξον αὐτὴν εἰς ἡμᾶς. οἱ*

XIV. Exstat etiam in cod. B, f. 355r.
XV. Exstat etiam in cod. B, f. 355r.

λόγοι γὰρ λόγοις, ἀλλ' οὐκ ἔργοις κινήσουσι· καὶ λογικῶς κινούμενοι τὴν στάσιν στέρξομεν ἄκοντες. οὓς ἀπέστειλας στατῆρας, στάσιν ὁρῶμεν προξενοῦντας ἡμῖν· οὐδεὶς ἐξ αὐτῶν αἴρει τὸ σάγμα, φέρει τὸν ἀναβάτην οὐδείς. ἓν ἔφθασεν εἰς ἡμᾶς γηραιὸν ὑποζύγιον καὶ τοῦτο κεχωλευμένον ἢ μᾶλλον τρίπουν ὡς γηραιὸν κατὰ τὸ αἴνιγμα τῆς Σφιγγὸς ἐκ τοῦ λογικοῦ ζῴου μεταφερόμενον πρὸς τὸ ἄλογον. ἡ δὲ ἡμίονος ὑπέσχηται μέν, ὡς ὁ Μουζάλων πεπληροφόρηκεν, δν ἀληθῆ καὶ ἁπλοῦν ἡ Βασιλεία σου μεμαρτύρηκεν· ἀλλ' ἡ θρασύτης τῆς ἡμιόνου τὴν ὑπόσχεσιν διεκρούσατο. χάρισαι ἡμῖν τῆς ὑποσχέσεως τὴν ἐκπλήρωσιν ἢ τὴν αἰτησιν ἢ ὅπως ἂν ἐθέλοις μετ' αὐτῆς τῆς θρασύτητος. οὐδὲν ἡ ἄλογος θρασύτης παραβλάψει τοὺς λογικούς. εἰ δὲ θέλεις ἡμᾶς ἐνταῦθα προσκαρτερεῖν ἵνα γνῶμεν τὰ τρόπαια τῆς σῆς ἀνδρισοφίας, ἅπερ εὐχόμεθα, καὶ ἡμεῖς συνεθέλομεν· πλὴν μὴ οὕτω κατ' ἀνάγκην ἀκινητήσωμεν, ἀλλ' ἑκοντὶ προσμείνωμεν τὰς σὰς νίκας, τὰ σὰ κατορθώματα, τὰς δὲ τῆς ἐμῆς δεσποίνης ἀντιλήψεις, τῆς ὁμοψύχου τῇ Βασιλείᾳ σου, καὶ ὁ χρόνος παρέλθῃ με διηγούμενον εἰς χρόνους παμπόλλους διαφυλάξαι τὴν τοιαύτην ἁγίαν ὁμοψυχίαν. ὁ τῶν χρόνων καὶ τῶν αἰώνων δημιουργός τε καὶ Κύριος, ὁ πρύτανις τῆς ζωῆς, ὑπερμεγαλύναι, ὑπερδοξάσαι, ὑπερκρατύναι, ὑπερυψώσαι τὴν Βασιλείαν σου.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν

XVI Ἐκίνησας ἡμᾶς ἔργοις ὡς ὑπεμνήσαμεν καὶ ἀεικινητόν σοι τὴν εὐχαριστίαν προσάγομεν ἐπευχόμενοι τῇ Βασιλείᾳ σου τὴν ἀπὸ δόξης εἰς δόξαν κίνησιν καὶ μετάβασιν ἑδραίωσίν τε καὶ στάσιν ἔμμονον τοῦ διὰ παντὸς ὑψοῦσθαι καὶ μεγαλύνεσθαι.

Τὸ δὲ τοῦ βίου τούτου πολυκίνητον καὶ πολύστροφον τὸν ἐκ Θεσσαλονίκης Βιλιλίδην τὸν εὐπορώτατον ἀπορώτατον ἡμῖν ἔδειξε

6 sq. φέρει τὸν ἀναβάτην B: αἴρει τὸ ἀναβατ V. || 8. κεχολευμένον V.
XVI. Exstat etiam in cod. B, f. 355r.

καὶ πενέστατον, πολλοῖς μὲν πρὸς δύναμιν ἐπαρκέσαντα, παρ' οὐδενὸς δὲ τούτων ἀντεπαρκούμενον. διὸ καὶ συνιστῶμεν αὐτόν, ὡς ἄξιον εὖ παθεῖν, τῇ χειραγωγίᾳ τῆς Βασιλείας σου, ὡς ἄξιον τῆς σῆς θεομμήτου χρηστότητος· ἐπεὶ καὶ ἀπὸ μόνης μικρᾶς ἐντυχίας οὐ παύεται θαυμάζων καὶ ὑπερεξαίρων τὴν Βασιλείαν σου.

τοῦ αὐτοῦ τῷ αὐτῷ

XVII Τὸ προσκυνητὸν τῆς Βασιλείας σου κέλευσμα φθάσαι με πρὸς αὐτὴν κατηνάγκασε μετὰ πολλῆς κατεπείξεως. ἀλλ' ἡ συμπεσοῦσά μοι κατάψυξις ὁλοσώματος προλαβοῦσα καὶ τὸ τοῦ καταστήματος ἰταμὸν
f. 120v καὶ ἀνένδοτον ἀντέστη μοι βιαίως καὶ τὴν ὁρμὴν | διεκώλυσε. καὶ διὰ τοῦτο πενθῶν καὶ σκυθρωπάζων προσκάθημαι τῷ πυρὶ τὴν ἐκ τούτου θάλψιν καρπούμενος, ὀλίγον τοῦ ἀρρωστήματος παρηγόρημα. εἰ γοῦν μετριάσει τὸ πάθος, εὐθὺς ὡς ἔχω πρὸς τοὺς ἐμοὶ παρὰ πάντα κόσμον ἀφίξομαι, κελευσθεὶς παρ' ἀμφοτέρων ὡς δεῖ. Θεὸς γὰρ οἶδεν, ἀλλὰ καὶ ὁ σὸς θεοειδέστατος νοῦς, ὡς ἐφετὸν ἄκρον ἐγκόσμιον ὑμᾶς κέκτημαι, οὓς ὁ πάντα σοφῶς ἐνεργῶν καταλλήλως ὅτι συνήρμοσε τὸν μὲν ἐν ἀνδράσι, τὴν δ' ἐν γυναιξὶ τὰ πρώτιστα φέροντας. ἐπιτίμησον οὖν τῷ πάθει, θεόσοφε· ἐπιτίμησον τοῖς ἀνέμοις, τῷ κλύδωνι, καὶ τὸ σκάφος διασωθήσεται. σὺ Χριστοῦ φίλος, ἡμεῖς δοῦλοι Χριστοῦ· πολὺ τὸ μέσον, καὶ δικαίως κατὰ πάντα ὑπερτερεῖς. ὁ σὸς φίλος Χριστὸς ὁ πρᾷος, ὁ ἥμερος, ὁ ἀλεξίκακος, ὁ φοβερὸς τοῖς ἀγρίοις καὶ θηριώδεσι δαίμοσι· καὶ σὺ ὁ φίλος αὐτοῦ, ὁ γλυκὺς καὶ ἐράσμιος δύνασαι τὸν τύραννον φυγαδεῦσαι μόνῳ προστάγματι, ἐκ τούτου γὰρ εἰς ἡμᾶς ἡ κατάψυξις, τοῦ τοῖς καλοῖς ἀδιαλείπτως ἐπιβασκαίνοντος. ἄλλοι τὴν ἀγάπην ψυχραίνουσιν οὐκ ἐκ προαιρέσεως (ὑπεραπολογήσομαι τούτων), ἀλλ' ὅτι φυσικαῖς ὁρμαῖς ἀκαθέκτοις ἐχρήσαντο, μὴ παιδαγωγήσαντες ταύτας, μὴ τὸ τῶν σκιρτημάτων βίαιον καρτερήσαντες, μὴ κοπιάσαντες, μὴ μοχθήσαντες· μόχθων γὰρ καὶ κόπων κατορθοῦται πᾶν ἀγαθόν. ἀλλ' ἡμεῖς

XVII. Exstat etiam in cod.B, f. 355r.

4. καὶ ante διὰ supr. lin. add. V. || 7. *ποθητοὺς* fort. ante *παρὰ* deest. || 12. *ἀνέμοις* (sic) V. || 15. *ἀνεξίκακος*, ut vid., V. || 23. *γὰρ* scripsi: δὲ V.

σωματικὴν νοσοῦμεν κατάψυξιν, εἰς δὲ τὴν ἀγάπην τῷ πνεύματι ζέομεν καὶ σπεύδομεν φυλάσσειν αὐτὴν οἷαν ὁ τῆς ἀγάπης νομοθέτης ἡμῖν παραδέδωκεν. εἰ τοίνυν σωματικῶς οὐκ ἐνεδημήσαμεν διὰ τὸ πάθος, ἀλλὰ πνευματικῶς ἐνδημοῦμεν διὰ παντὸς εὐχόμενοι πρὸς τὸν Κύριον πλέον τῆς σωματικῆς παρουσίας ἡμῖν κατορθῶσαι τὴν θείαν ῥοπήν, καὶ ἀσυγκρίτως πλέον, ἐν οἷς χρήζεις ἡμῶν, βασιλεύτατε.

τοῦ αὐτοῦ πρὸς τὸν αὐτόν f. 121r

XVIII Ἐδίδαξας ἡμᾶς καὶ λόγοις καὶ πράγμασι πάμπολλα καὶ τὸ οἰκονομικὸν ὅπως ἐστὶ σύνδεσμος τοῦ ἠθικοῦ καὶ πολιτικοῦ, καὶ πῶς ὁ τούτου λειπόμενος λείπεται παντός· ἡμεῖς δὲ τῆς τῶν πραγμάτων πείρας καθεστηκότες ἐκτὸς οὔπω συνήκαμεν τὰ τῆς ἀκροτάτης φρονήσεως. τέως δὲ οὖν μή ποτε καθάπερ τοῖς ἀμβλυωποῦσιν ἀπροσφυὴς ὁ καθαρώτατος ἥλιος, οὕτω καὶ τοῖς κατ' ἐμὲ τὸν νοῦν ἀσθενοῦσιν ἀκατάλληλα τὰ τῆς ἀκροτάτης φρονήσεως ἐνεργήματα, καθὼς ἔχει φύσεως περιφερόμενα; καὶ γὰρ οὐδὲ τοῖς νηπίοις προσέοικε τὸ ῥητορικαῖς λέξεσιν ἢ ἐννοίαις φιλοσόφοις προσομιλεῖν, ἀλλὰ μᾶλλον ταπεινότερόν τε καὶ περιπέζιον· οὔτε μὴν στερροτάτοις αὐτὰ διατρέφειν ἐδέσμασιν, ἀλλὰ μᾶλλον εὐκατεργάστοις (τάχα γὰρ ἂν τὸν λόγον τῆς φρονήσεως ἀπαρτήσῃ τὸ τοιοῦτον). οὕτω πρὸς τὸ τέλος χρὴ βλέπειν πάντοτε καὶ ὅπως ἂν ἐκπορευθείη τοῦτο καλῶς τὴν πᾶσαν ποιεῖσθαι σπουδήν. ταῦτα πλέον ἡμῶν οἶδας καὶ πολλῷ πλέον· εἰσόμεθα δὲ μικρὸν καὶ ἡμεῖς, ὅταν τῆς σῆς ἀρίστης οἰκονομίας ἐπαπολαύσωμεν τῶν καρπῶν καὶ ἴδωμεν ἐκτετελεσμένον ὅπερ ποθοῦμεν, τὴν εἰρήνην ὁλόκληρον, τὴν ὁμόνοιαν εἰλικρινῆ, τὴν ἀγάπην ὁποίαν Θεὸς ἐχορήγησεν.

τοῦ αὐτοῦ τῷ αὐτῷ

XIX Ἄλλοι μὲν βοάτωσαν ἄσημα μετ' ὀλίγον σιγήσοντες ὡς οὐ θέλουσιν. ἡμεῖς δ' ὅσον σιγῶμεν τόσον βοῶμεν. ἡ δὲ βοὴ πρὸς τὸν Κύ-

---

XVIII. Exstat etiam in cod. B, f. 355v.
1. prius καὶ om. B. || 12. οὕτω scripsi: οὔτε V.
XIX. Exstat etiam in cod. B, f. 355v.

ριον, τὴν τῆς Βασιλείας σου σωτηρίαν αἰτουμένων ἡμῶν ἐν αἰσθητῇ σωπῇ καὶ βοῇ νοερᾷ.

V, f. 122v

τοῦ αὐτοῦ τῷ αὐτῷ βασιλεῖ

XX

Τὸν πολὺν τοῦ βίου δρόμον, ὡς ἐν τῇ καθ' ἡμᾶς γενεᾷ ἐχούσῃ πολὺ τὸ ὠκύμορον, ὁ τοῦ Θεοῦ δοῦλος Μακάριος διεκδραμών, ἤδη τοῖς τῆς φθορᾶς ἀνιαροῖς ὡς ὑπὸ γένεσιν προκατείληπται καὶ γέγο-
f. 123r νεν ὅλος ἡμίπληκτος τῷ ληθάργῳ τε καὶ τῷ κάρῳ παρὰ μέρος | διενοχλούμενος· τὴν δὲ δύναμιν τὴν φυσικὴν ὅλην σχεδὸν ἀποβέβληκεν ἔκ τε τῆς πολυημέρου δεινῆς ἀρρωστίας καὶ τῆς οἱονεὶ παντελοῦς ἀτροφίας. κεκόμισται δὲ πρὸς ἡμᾶς ἔμπνους νεκρός, ὡς ἂν εἴποι τις. ὅμως καὶ οὕτως ἔχων τῆς Βασιλείας σου ὑπερηύξατο καὶ ὑπερεύξεται πολλά, μνησθείσης αὐτοῦ καὶ ἐπισκεψαμένης κατὰ τὸ ἐγχωροῦν· τὸ δὲ ἡμέτερον ἔργον καὶ βούλημα ἡ ὑπὲρ τῆς Βασιλείας σου ἔμμονος εὐχὴ πρὸς Θεόν· καὶ εἴη προσδεκτέα τῶν ἡμετέρων ἁμαρτάδων παρορωμένων καὶ τῷ Κράτει τῆς Βασιλείας σου βραβευομένου θεόθεν παντὸς ἀγαθοῦ ψυχικοῦ καὶ σωματικοῦ καὶ παντοίου δοξασμοῦ ἐγκοσμίου καὶ ὑπερκοσμίου.

τοῦ αὐτοῦ τῷ αὐτῷ βασιλεῖ κυρῷ

Θεοδώρῳ τῷ Λάσκαρι

XXI

Βραχὺ τὸ γράμμα, ἡ προσευχὴ δὲ μακρά· σπάνιος ἡ κατ' αἴσθησιν θέα, καὶ ἡ νοερὰ ἀδιάλειπτος. τί οὖν; νικῶμεν οἱ πρὸς Θεὸν ὁρῶντες καὶ νῷ διοικούμενοι καὶ μὴ τὸ πᾶν τῇ γῇ καὶ τῇ ἀλογίᾳ προσνέμοντες; ἢ ἡττώμεθα τῶν πᾶσι πάντα γινομένων ἵνα καὶ ἑαυτοῖς καὶ οἷς ἀρέσκουσι μηδεμίαν ὠφέλειαν προξενήσωσιν; ἐγὼ μὲν οὐκ ἔχω εἰπεῖν. ὁ δὲ ὀξύτατος νοῦς τῆς Βασιλείας σου καὶ ἀπαράμιλλος

XX. Exstat etiam in cod. B, f. 357v.
1. ante ἐχούσῃ incohaverat πολύ V. || 3. ὑπογένεσιν V. || 9. ἐγχοροῦν V.
XXI. Exstat etiam in cod. B, f. 357v.

οἶδας ὡς οὐχ ὁρώμενος ὁρᾷ μάλιστα καὶ μὴ ἐγγιζόμενος ἐγγίζει, καὶ τοῖς ἀπωτάτω πλησιαίτερος πέφηνας ἢ τοῖς ἔγγιστα. διὸ καὶ στέργω τὸ δόξαν τῇ Βασιλεία σου καὶ ὡς ἀξίωμα λογίζομαι ἀναντίρρητον.

τοῦ αὐτοῦ τῷ αὐτῷ

Οὐδὲν ἕτερον εὐφραίνειν οἶδε ψυχὴν ὡς τὸ κατὰ τὴν ἑαυτῆς **XXII**
ἕξιν λεγόμενον ἢ πραττόμενον, οὐδέ γε πάλιν ἀνιᾶν, ὡς τὸ παρὰ βούλησιν καὶ προαίρεσιν· ἐπεὶ γοῦν τῇ θεοειδεστάτῃ τῆς Βασιλείας σου ψυχῇ φιλάνθρωπος ἕξις, φιλάγαθος, εὐεργετικὴ καὶ τοὺς ἐναντίους εὖ ποιεῖν οὐ παυομένη κατὰ τὴν τοῦ Κυρίου φωνήν, πόσον ἂν εὐφρανεῖ ταύτην λόγος ἱκέσιος εἰς εὐεργεσίαν κινητικός, ἢ χαίρεις, ἢ γέγηθας, ἢ ἐνεργεῖς πλέον ἢ τῷ φαίνειν ὁ ἥλιος; διά τοι τοῦτο τὸ σὸν θυμῆρες οὐ παυσόμεθα καὶ λέγειν καὶ πράττειν ἡμεῖς, οὓς εὐδόκησας ὑπὲρ ἀξίαν ἅπασαν ἀγαπᾶν. ἄλλοτε μὲν οὖν ἄλλους εὐεργέτησας ἡδέως ἐκ τῆς ἡμετέρας προσαγωγῆς, νῦν δὲ τὸν Μακάριον τουτονὶ προσάγομεν τῷ Κράτει τῆς Βασιλείας σου πολλῶν μὲν πεπειραμένον δεινῶν ὡς ἴσασιν οἱ ἱεροὶ καὶ ἔννομοι δικασταί, (μᾶλλον μὲν οὖν οἱ τὰ κρύφια τῶν καρδιῶν θεοπρεπῶς ἐξετάζοντες, οἱ ἀόργητοι, οἱ ἐπιεικεῖς, οἱ τὴν πλείονα χώραν τῷ φιλανθρώπῳ προσνέμοντες, οἱ ἀσθένειαν εἰδότες περικειμένους ἑαυτοὺς καὶ μετρηθησομένους ὡς ἂν μετρήσωσιν)· ταῦτα μὲν παρ' ὧν εἴπομεν δεδεγμένον, εἰς δὲ τὸ σὸν ἔλεος, τὴν κοινὴν ἀναψυχήν, τὸ παγκόσμιον παρηγόρημα, προσφεύγοντα νῦν καὶ δι' ἡμῶν ἄγκυραν τῆς ἐλπίδος στερρὰν τε καὶ ἱερὰν καὶ μὴ καταισχύνουσαν τὴν Βασιλείαν σου τὴν φιλανθρωποτάτην κατέχοντα καὶ δι' αὐτῆς τοῦ πικροῦ κλύδωνος τῆς σατανικῆς συμφορᾶς (ἐκεῖνος γάρ ἐστιν ὁ τῶν τοιούτων δεινῶν αὐτουργός) ἀπαλλαγῆναι πιστεύοντα καὶ παρ' ἡμῶν εἰς τοῦτ' αὐτὸ κρατυνόμενον.

τοῦ αὐτοῦ τῷ αὐτῷ f. 123v

Αἱ εὐεργεσίαι τῆς Βασιλείας σου ἐπλήμμυραν πρὸς ἡμᾶς καὶ τὰ **XXIII**
πελάγη τῶν χαρισμάτων τοῦ Κράτους σου τὴν ἀχάριστον γνώμην

XXII. Exstat etiam in cod. B, f. 357v.
9. ἀλλ' ὅτι, ut vid., V. || 11. πεπειραμένων V.
XXIII. Exstat etiam in cod. B, f. 357v

ἀπήλεγξαν ναναγήσασαν. ἐγὼ δὲ ποικίλαις μὲν λογογραφίαις τοὺς ἐπαίνους ἐν καιρῷ ταμεύσομαι· νῦν δὲ τῷ ἐκ Θετταλίας ἔναγχος διαπεφοιτηκότι γράμματι τῆς ἱερᾶς περιηγήσεως ποδηγούμενος εἶδον, φημί, κατὰ τὴν Σκαμάνδρου ἐπισκοπὴν ποικίλα ζωγραφήματα καὶ ἀλλόκοτα, ὧν ἦν καί τις ἀνὴρ εὐμήκης ἔνοπλος, ἐπίγραμμα φέρων 'ὁ προφήτης Ἀχιλλεύς'. ἐπεὶ δὲ τῷ δηλωθέντι σοφῷ γράμματι τῷ ἐκ Θετταλίας καὶ ἀπὸ τῶν ἐπ' ἐκκλησίας αἰτήσεων τεμάχιά τινα ἐγκεχάρακτο, καὶ μεμνημένος ἐκ τούτου κἀγώ φημι· 'μνήσθητι, κύριε βασιλεῦ, τῶν δούλων σου Ἀρχᾶ καὶ Σιναΐτου, καὶ ὅσα ἥμαρτόν σοι συγχώρησον· οὐδεὶς γὰρ ἀναμάρτητος τὸ εὐόλισθον ἐχούσης τῆς ἀνθρωπίνης οὐσίας καὶ φύσεως. εἰ δὲ καὶ τῷ Καππαδόκῃ δοθείη κατὰ τὰ Μάνδρια γῆ τις ἀροσίμη παρὰ τῶν ἀπογραφέων, ὁρισάσης τοῦτο τῆς Βασιλείας σου, γενήσεται χρήσιμος ἡ μεσιτεία ἡμῶν τῷ τρόπον τινὰ ἡμετέρῳ συμμαθητῇ. ὁ παπᾶς γὰρ Λέων ὁ τοῦ Καππαδόκη καὶ πατὴρ καὶ καθηγητὴς καὶ ὁ ἐμὸς ματστωρ ὁ Πρόδρομος ἑνὸς ἐγεγόνεισαν διδασκάλου τοῦ Καλοήθους ἐκείνου τοῦ Μαδύτων.' τὸ δ' ἑξῆς ὅπως συνάγεται, εἴτε διαλεκτικῶς, εἴτε σοφιστικῶς, εἴτ' ἄλλως ὁπωσοῦν, ἡ Βασιλεία σου ἐπίσταται, ἧς τὰ θελήματα πάντα πληρώσαι ὁ Κύριος, θεοθέλητα ταῦτα πρότερον ἁπαξαπλῶς ἐργασάμενος, τὰ δ' ἐμὰ καταργήσαι τέλεον, εἰ μὴ πρὸς τὸ αὐτοῦ σωστικώτατον ἀποτείνοιντο θέλημα.

τοῦ αὐτοῦ τῷ αὐτῷ

XXIV Πολλοὶ τὴν Ἔφεσον παραμείβοντες τῶν γε τῆς σῆς θεοσόφου Βασιλείας ὑπηρετῶν οὔτε γράμμα ταύτης προσκυνητόν, οὔτε μήνυμα διακομίζουσιν εἰς ἡμᾶς. μή ποτ' οὖν Ἰσραὴλ παρενόμησε καὶ πλάκες ἐν θυμῷ συνετρίβησαν, καὶ ὁ μὲν ἀμενηνῶς ἔχει τῆς πρὸς ἐπιστροφὴν ὁρμῆς, ὁ δὲ θεόπτης ἀσχάλλει καὶ ἀναδύεται; καὶ ποῦ τὸ Λευιτικὸν ἐννόημα καὶ ἱερόν; ποῦ δὲ ἡ ῥομφαία τοῦ ἐλέγμου καὶ ἡ ἀνάκλησις ἑπομένη καὶ ἡ πρὸς Θεὸν ἐκδυσώπησις καὶ τὸ 'εἰ οὐκ ἀφή-

θτι

7. ὧν ἓν· καὶ V. || 8. δηλω V. || 9. τεμμάχια V. || 11. συναΐτου V. || 14. μανδρία V.

XXIV. Exstat etiam in cod. B, f. 357v.

7. Exod. XXXII, 32.

σεις, ἐξάλειψον δὴ κἀμὲ τῆς ἧς ἔγραψας βίβλου'; ποῦ δ' αὖ αἱ δεύτεραι πλάκες αἱ λαξευταὶ καὶ ἡ διττὴ τεσσαρακονθήμερος κακοπάθεια καὶ ὅσα τῆς πραοτάτης ψυχῆς, ἵνα τὸν ἀποσκιρτήσαντα συμπαθῶς οἰκειώσηται; ἀλλ' ἔγωγε οἶμαι σκιὰς εἶναι ταῦτα δὴ τῶν μελλόντων καὶ συμβολικὰ ἐκδιδάγματα· συντρίβονται μὲν γὰρ αἱ πρῶται πλάκες ἐκεῖναι καὶ δεύτεραι λατομοῦνται τὴν τοῦ παλαιοῦ νόμου συντριβὴν ὑποδηλοῦσαι καὶ τοῦ νέου τὴν ἔκφανσιν, τοῦ εὐαγγελικοῦ, τοῦ τῆς χάριτος. τὰς δὲ νοερὰς πλάκας τῆς σῆς στερροτάτης καὶ ἀδαμαντίνου ψυχῆς, ἐν αἷς ἐπέξεσας, <ἐν αἷς> Θεοῦ δακτύλῳ νόμοι | τῆς ἀκραιφνοῦς ἐνεχαράχθησαν οἰκειώσεως, ὧν ἐπέγνως, οὐκ ἂν συντετρίφθαι φαίην αὐτός· οὐδὲ γὰρ εὔθρανστοι κατ' ἐκείνας τὰς νομικὰς οὐδ' εὐσύντριπτοι, μᾶλλον μὲν οὖν καὶ πρὸς ἅπαν ἀνθιστάμεναι λαξευτήριον, καὶ πρὸς πᾶσαν ἀρχὴν καὶ ἐξουσίαν καὶ κοσμοκράτειαν ἰσχυρῶς πεπαγιωμέναι τῷ ἀκαταλύτῳ τῆς χάριτος. τοιαύτας φέρεις τὰς τῆς διανοίας πλάκας, ὁ ἐμὸς θεοειδέστατος βασιλεύς, ὁ σοφώτατος, ὁ γεγραμμένον ἐν ταῖς οὐρανίαις πυκτίσιν ἔχων τὸ ὄνομα διὰ τὴν πρὸς τὸν δημιουργὸν καὶ πατέρα αἰδῶ, παρ' οὗ σοι καὶ τὰ αἰτήματα περανθείη μᾶλλον ἐπὶ τὸ κρεῖττον ἢ ἐνενόησας. ὃν γὰρ προέκρινας, ᾧ ἀρέσκειν ἐσπούδακας, δίκαιός ἐστιν ἐκπληροῦν σοι καὶ τὰς βουλήσεις ἄγαν ἐπωφελῶς· ὅτι καὶ μόνος καθέστηκε δυνατὸς καὶ τῷ αὐτοῦ νεύματι καθαιροῦνται δυνάσται, καὶ οἱ τοῦτον δοξάζοντες πίστει τε καὶ ἔργοις μειζόνως ἀντιδοξάζονται καὶ ἀπροσδοκήτως ὑψοῦνται καὶ μεγαλύνονται καὶ θαυμάζονται. ταῦτ' οὖν εἰδὼς θεοειδέστατος οὕτως εἶ καὶ σοφώτατος· ἐπεὶ καὶ λόγον καὶ πρᾶξιν ἠγάπησας καὶ τὰ φύσει συνημμένα καὶ ἀδιαίρετα συνετήρησας καὶ πλέον δὴ τῶν τὰ μάταια σοφῶν ὑπερέστερξας, καὶ πρὸς τὴν τοιαύτην στοργὴν ἐπὶ μᾶλλον καὶ μᾶλλον σαυτὸν παρέθηξας καὶ ὤφθης ἐν σαυτῷ μὲν ἐργάτης τῆς ἀρετῆς, ἐν ἄλλοις δὲ συνεργάτης καὶ διδάσκαλος πρακτικώτατος. εἴη τὸ Κράτος τῆς Βασιλείας σου καὶ θεοθέλητον καὶ θεοφρούρητον καὶ Θεὸν ἀεὶ δοξάζον παντοίως, καὶ ἀδιαλείπτως ὑπ' αὐτοῦ δοξαζόμενον.

ετ

11. σκιὰς ex σκιᾶς V. ! 12. μελλόντων B, μ, V. || 16. ἀπέξεσας, (ut vid., corr.) θῦ δακτύλω V; ἐν αἷς supplevi. || 21. τοιαύτας scripsi: τοιαῦτα V. || 33. πμᾶλλον V.

τοῦ αὐτοῦ πρὸς τὸν Λάσκαριν

XXV Βραχὺ τὸ γράμμα καὶ πάλιν ἐξ ἡμῶν τῶν μικρῶν τῷ μεγάλῳ πελάγει τῶν χαρίτων καὶ κρατίστῳ κατὰ πᾶν ἀγαθὸν διαπέμπεται· ἀλλ' ὅσον τῷ γράμματι τὸ βραχύ, τοσοῦτον τὸ μέγεθος τῇ στοργῇ. καὶ οὐκ ἄν τις τῶν παχυτέρων καὶ σαρκικωτέρων καταμωκήσαιτο ἡμῶν τῆς βραχύτητος. οὐ γὰρ τῆς ὕλης ἔχεται νοῦς, ἀλλὰ τῆς ὕλης ὑπερανώκισται· καὶ εἴ τις οἶδεν ὃ λέγω, καὶ ἀγάπην οἶδεν ἄνευ τῆς ὕλης νοεράν τε καὶ ἱερὰν καὶ ἡδονὴν τοιαύτην καὶ ὑπὲρ αἴσθησιν. ὃς δ' οὐκ ἔγνω τὸν λόγον, καὶ λόγου καὶ νοὸς ἀπεστέρηται, καὶ ἀγαπᾶν προηγμένος καὶ μὴ εἰδὼς μᾶλλον μαίνεται τοῖς τῆς λύσσης τρόποις ἀντὶ τῶν ἀγάπης αἰτιῶν χρώμενος σφαλερῶς. σὺ δέ, ὁ ἐν ὕλῃ ἄυλος καὶ ὑπὲρ ὕλην φρονῶν ἐν μέσῳ τῆς ὕλης, ἕξιν ἔχων ἀυλόν τε καὶ νοεράν, οὔτε τοῦ ὁρᾶσθαι χρῄζεις σωματικῶς, οὔτε τῶν ὅσα οἱ ἐπιλήσμονες εἰ μὴ τὸ πάχος ὑπομμνῆσκον ἔχοιεν τῆς αἰσθήσεως. διὸ καὶ ταύτης τῆς γενεᾶς ἐξόχως ὑπερτερῶν, φύσει βασιλεὺς καὶ αὐτοκράτωρ καθέστηκας. τοῦτο γὰρ καὶ πρώην ἐξ ἄλλων πολλῶν λογισμῶν τεθεώρηται.

f. 124v τοῦ αὐτοῦ τῷ αὐτῷ

XXVI Εἰ πτερωτὸς ἦν, ἤθελον τοῦτο νῦν εἶπερ ποτέ· τὸ γὰρ σπουδαζόμενον ἂν ἐπλήρωσα. ἐπεὶ δὲ πρὸς τοῖς πτεροῖς καὶ τὴν σωματικὴν ῥῶσιν ἀφῄρημαι, σκυθρωπάζω μὲν διὰ τοῦτο· πάλιν δὲ τὸ ἱλαρὸν προσλαμβάνω, μικρὸν γὰρ ὅσον εὐοδοῦντος Θεοῦ ἐπιτεύξομαι κατὰ τὸ Νυμφαῖον τοῦ ἐφετοῦ. ἐγὼ μὲν οὖν οἶμαι τὰ καθ' ἡμᾶς ἐμεμαθήκει ἡ Βασιλεία σου· τοῦ Ὑαγοῦ τὴν διένεξιν, εἶτα τὴν αἰσχύνην αὐτοῦ καὶ ὅπως ὁ θεοπρόβλητος βασιλεὺς εἶπερ ποτὲ καὶ ᾠκειώσατο ἡμᾶς καὶ τὸν λόγον τετίμηκε καὶ τῇ ἀληθεῖ φιλοσοφίᾳ τὴν νικῶσαν ἀπο-

---

XXV. Exstat etiam in cod. B, f. 359r, unde titulum sumpsi: om. V.
18. ὑπομμνῆσκον scripsi: ὑπομνῆσκον V.
XXVI. Exstat etiam in cod. B, f. 359r.
6. ὑάγοῦ V.

νενέμηκε καὶ εἴ τι ἄλλο αἴσιον τοῖς Θεὸν ὁρῶσιν ἀποκεκλήρωκεν· ὅμως καὶ ἀφ' ὧν νῦν ὑπομιμνήσκομεν εἴσῃ παροδικώτερον. ὥσπερ τι κυνηγέσιον δέδεξο τὸ γραμμάτιον, τέκνον Θεοῦ· καὶ γὰρ οὐδὲ ἄνθρωπον ἐθέλω καλεῖν σε ἢ ἀνθρώπου υἱόν· πῶς γὰρ τὸν γνωστικώτατόν τε καὶ θεοειδέστατον; ὢ ποίας μετέσχηκας φύσεως, ὢ ποίας οὐσίας τετύχηκας· πάντως οὐ γεηρᾶς καὶ ἀνθρωπικῆς (τὰ γὰρ σὰ προτερήματα οὐράνια καὶ ὑπὲρ ἄνθρωπον), τί γοῦν; ὑπερκοσμίου καὶ ἀγγελικῆς πάντως, κἂν σῶμα φορῇς, εἰ καὶ πάχος σαρκὸς ἀμφιέννυσαι. τοῦτο μὲν τοῖς ἐπισταμένοις δεόντως ὁρᾶν οὐ καινόν· καὶ γὰρ ἐγὼ Θεὸν προσκυνῶ μετὰ σώματος ὀφθέντα καὶ σαρκικῶς ἅμα καὶ θεοπρεπῶς ἡμῖν ὁμιλήσαντα. μήποτ' οὖν ὥσπερ οὐρανοί, ὥσπερ ἥλιος ἐκ στοιχειακῶν ἀκροτήτων, ὑπερτερεῖ δ' ἑκάτερος τὴν γενέτιν ὕλην καὶ τὸ ἔμμονον αὐχεῖ μετὰ τῆς ἀγλαΐας καὶ τῆς λαμπρότητος, οὕτω δὴ καὶ αὐτὸς ἀκρότης ἄκρως τῆς καθ' ἡμᾶς γεγονὼς διαρτίας πάντων ἀνθρώπων ὑπερτερεῖς. ἀλλ' ἔχω τι καὶ πλέον εὐκαίρως φιλοσοφῆσαι· διττὴν γέννησιν δεδιδάγμεθα ἔκ τε δογμάτων ἔκ τε πραγμάτων αὐτῶν, ἀνθρωπίνην δὴ καὶ θείαν φημί· τοὺς γὰρ ὑπὲρ τὴν ὕλην καὶ νοοῦντας καὶ πράττοντας καὶ θείας γενέσεως καταλλήλως οἱ φιλοσοφοῦντες τὰ θεῖα κατηξιώκασιν. ἔχω τι καὶ πλέον ἀναβῆναι καὶ τὰ κατὰ σὲ θεωρῆσαι τὸν ὑπερύψηλον. καινοτομία φύσεων καὶ πραγμάτων ἐναλλαγαὶ διάφοροι κατὰ καιροὺς νεύματι Θεοῦ καθωράθησαν. καὶ οὐκ ἂν εἶποι τις καίτοι τῶν μήπω κατειλημμένων μὴ δεδυνημένων γεγενῆσθαι βουλομένου Θεοῦ. τί γοῦν καινόν, οὕτω | τοῦ f. 125r πράγματος ἔχοντος, ὑπὲρ ἃς οἴδαμεν κατὰ φύσιν γενέσεις γεγενῆσθαι τὴν κατὰ σέ, καὶ θείαν ὄντως ἐμπνευσιν σώματι συνελθοῦσαν ἐκτελεσαι τὴν σὴν διαρτίαν καὶ θεῖον γόνον ἀναδεῖξαί σε καὶ Ὑψίστου υἱόν; οὕτως μὲν ὁ ἐμὸς λόγος, καὶ οἱ μὴ πειθόμενοι τοῖς πράγμασιν ἐλεγχέσθωσάν τε καὶ αἰσχυνέσθωσαν, καὶ τῇ ἀπιστίᾳ ὡς νεκροὶ ἐναποθνησκέτωσαν· ἐγὼ δὲ καὶ ζήσομαι καὶ χαρίσομαι τὰ μὴ ἐγνωσμένα τοῖς τῶν ἀνθρώπων υἱοῖς τεθεωρηκώς, καὶ τὴν κατὰ σὲ φύσιν σεσοφισμένος ἔκ γε τοῦ φύσαντός σε ὑπερβρότειον, ὑπερκόσμιον, θεοειδῆ.

---

26. fort. οἱ τὰ θεῖα φιλοσοφοῦντες || 30. τίς <τι> et 31 δεδυνημένον scripsi: δεδυνημένων, om. τι, BV. || 36. τὴν ἀπιστίαν B. || 39. ὑπερβρότειον B: ὑπὲρ βρότειον V.

πρὸς αὐτόν

XXVII *''Επερώτησον τὸν πατέρα σου καὶ ἀναγγελεῖ σοι'* τοῦ θεόπτου Μωσέως καὶ νομοθέτου καὶ πρώτου δημαγωγοῦ κατὰ Κύριον τὸ παράγγελμα, μᾶλλον δὲ τοῦ ἐκεῖνον ἀγοντός τε καὶ σοφίζοντος Πνεύματος ἐκεῖθεν τὰς τῶν ἀγνοουμένων διασαφήσεις, ὅθεν αἱ τῆς ὑποστάσεως ἀρχαί, θεσπίζοντος καὶ μάλιστα τῆς τελεωτέρας καὶ κρείττονος καὶ ὅση τὸ ἡμερινὸν αὐχεῖ καὶ τὸ ἔμμονον, ὑπερανωκισμένη καθεστηκυῖα πολλῷ τῆς τῷ νυκτερινῷ προβεβλημένης καὶ τῷ ἐπικήρῳ συνουσιωμένης καὶ διὰ ταῦτα συγκεχυμένης τε καὶ καταλυομένης καί γε κειμένης εἰς ὃ τοῦ βελτίονος ἐκνικήσαντος μεταστοιχειωθείη τὸ πῖπτον πρὸς τὸ ἑστὼς ᾗ πεποίθαμεν. ἐπεὶ τοίνυν καὶ ἡμεῖς τὸν μέγαν 'Ιωάννην τὸν εὐαγγελιστὴν καὶ θεολόγον ἐγκωμιάζοντες τὰ πάντα διὰ τοῦ Λόγου γεγενῆσθαι παρὰ τοῦ Πατρὸς εἰπεῖν ἔφθημεν τῷ πατρόθεν ἔχειν τὸν Λόγον καὶ τὸ εἶναι καὶ τὸ δημιουργεῖν, καὶ μὴ ἄναρχον καθεστάναι δηλαδὴ καὶ ἀναίτιον· ἐς Κυνόσαργες δὴ μετὰ τῶν νόθων κἂν εἶεν διογενεῖς ἡ τῆς σῆς πολλῆς 'Αγιότητος κρίσις πατρικὴ καὶ δεσποτικὴ τὸ ῥητὸν συνοδικῶς ἀποπέμφε, τῆς ἀληθείας εἰδυῖα μὴ προλαμβάνειν ἀνθρώπου πρόσωπον. πότερον, ἐπερωτῶμεν, τὸ δόγμα κοινῶς τῶν ἀποβλήτων, ἢ δι' ἡμᾶς; ἐγὼ μέν, εἴπερ ἔστιν, οἶμαι τὸ πρῶτον, ὅτι μηδὲ τῶν φθονουμένων ἡμεῖς· εἰ δὲ καὶ τοῦτο, πῶς ἂν καὶ τῆς πίστεως αὐτῆς ὁ ἀλάστωρ κατακαυχήσαιτο; τοῦτο μὲν οὖν ἀπεσκορακίσθω τῶν τῆς ἀληθείας καὶ τῆς εὐθύτητος κριτῶν καὶ δογματιστῶν· ἀλλὰ διορθώσεως ἄξιον ἢ σημειώσεως διὰ τὸ ἐπισφαλές, ἵν' ἐπ' αὐτῶν μνησθείην τῶν συλλαβῶν τοῦ τῆς πατριαρχικῆς καὶ θείας μεγαλειότητος ἀποφθέγματος, τὸ τὸν Πατέρα διὰ τοῦ Λόγου δημιουργεῖν, ὡς αἴτιον αὐτοῦ καὶ πάντων δὴ τῶν αὐτοῦ. καὶ πῶς οὐ διορθωτέον ἢ πῶς οὐ σημειωτέον πρότερον ὃ προείρηται τῷ Χρυσο-
f. 125v στόμῳ πατρὶ περὶ τῶν αὐτῶν, ὅτι παραστατικὸν | τοῦ αἰτιατοῦ τὸ δι' αὐτοῦ; ἢ πῶς παροπτέον αὐτὸ δὴ τὸ τῆς πίστεως σύμβολον ἀδιόρ-

---

XXVII. Exstat etiam in cod. B, f. 359v.

Titulum descripsi ex B; om. V. || 1. Deuteron. XXXII, 7. || 9. γε] fuerit γῇ? ἐς B. || 11. πάντα ex παντὸς, ut vid., corr. B. || 14. δὴ scripsi : δὲ compend. BV. || 15. ἁγιότητος πολλῆς B. || 27. παραστατικόν ex περιστατικόν, ut vid., V.

ϑωτόν τε καὶ ἀσημείωτον, ποιητὴν μὲν πάντων ὁρατῶν τε καὶ ἀορά-
των τὸν Θεὸν καὶ Πατέρα διαγορεῦον, τὸν δὲ Υἱὸν εἶναι διασαφοῦν
τὸν δι' οὗ τὰ πάντα ἐγένετο; εἰ ὁ Πατὴρ ποιητὴς πάντων, τὰ δὲ
πάντα διὰ τοῦ Υἱοῦ, τάχ' ἂν τις ὑποτοπάσοι τὸν Πατέρα διὰ τοῦ
Υἱοῦ τὰ πάντα ποιεῖν ὡσπερεὶ διὰ σοφίας οἰκείας καὶ δυνάμεως καὶ
δεξιᾶς, ἵν' ὁ Λόγος μὲν εἴη παραγωγεὺς κτισμάτων ἁπάντων, αἴτιος
δὲ ὁ πρῶτος νοῦς ὁ τὸν δημιουργὸν Λόγον γεγεννηκὼς ἀπαθῶς, οὗ
εὐδοκίᾳ τὸ κτιστὸν ἅπαν αὐτὸς ὁ Λόγος οὐσίωσε καὶ Υἱός. ἀκούω
δὲ καὶ τοῦ μεγάλου Παύλου τὴν μέλλουσαν κρίσιν διὰ τοῦ Υἱοῦ γε-
νησομένην διδάσκοντος παρὰ τοῦ Πατρός. ἢ τί ἕτερον τὸ φάσκειν
αὐτὸν οὕτωσὶ 'Ρωμαίοις δι' ἐπιστολῆς, ὅτι 'κρινεῖ ὁ Θεὸς τὰ κρυπτὰ
τῶν ἀνθρώπων κατὰ τὸ εὐαγγέλιόν μου διὰ Ἰησοῦ Χριστοῦ'; καὶ
αὐτὸς δὲ ὁ Κύριος περὶ τῆς ἑαυτοῦ διδαχῆς οὕτω διαγγέλλει τοῖς
μαθηταῖς· 'τὰ ῥήματα ἃ ἐγὼ λαλῶ ὑμῖν, ἀπ' ἐμαυτοῦ οὐ λαλῶ',
καὶ 'ὁ λόγος ὃν ἀκούετε οὐκ ἔστιν ἐμός, ἀλλὰ τοῦ πέμψαντός
με Πατρός', καὶ περὶ τῶν ϑεοσημείων· 'ὁ δὲ Πατὴρ ὁ ἐν ἐμοὶ
μένων αὐτὸς ποιεῖ τὰ ἔργα'. κατὰ τούτους οὖν τοὺς λόγους τοῦ
Υἱοῦ κρινοῦντος ὁ Πατὴρ κρινεῖ διὰ τοῦ Υἱοῦ, καὶ τοῦ Υἱοῦ διδά-
σκοντος ὁ Πατὴρ διδάσκει διὰ τοῦ Υἱοῦ, καὶ τοῦ Υἱοῦ τερατουργοῦν-
τος ὁ Πατὴρ ποιεῖ τὰ ἔργα διὰ τοῦ Υἱοῦ· κατὰ ταὐτὰ καὶ τοῦ Υἱοῦ
κτίζοντος ὁ Πατὴρ κτίζει διὰ τοῦ Υἱοῦ τῷ αἴτιος εἶναι τοῦ Υἱοῦ
καὶ πάντων τῶν τοῦ Υἱοῦ. μήποτ' οὖν καὶ ταῦτα πάντα καὶ τὰ παρα-
πλήσια πολλά γε ὄντα διορϑώσεως ἢ σημειώσεως, εἶτ' οὖν ὀβελίσεως
ἄξια; εἰ γὰρ μὴ τοῦτο, τοῦ Λόγου δημιουργοῦντος ὁ Πατὴρ ἀῤῥότως
διὰ τοῦ Λόγου δημιουργεῖ· καὶ πάντα δι' αὐτοῦ τοῦ Λόγου γέγονε παρὰ
τοῦ Πατρός· ἐπεὶ καὶ τὸ δημιουργὸν αὐτὸν εἶναι παρὰ τοῦ Πατρός,
οὗ τῆς ὑποστάσεως χαρακτὴρ καὶ ἀπαύγασμα τῆς δόξης
προαιωνίως ἐξέλαμψεν. ὅτε δὲ πάλιν φησὶν ὁ ἀπόστολος ὡς ὁ Θεὸς
'ἐλάλησεν ἡμῖν ἐν Υἱῷ, δι' οὗ καὶ τοὺς αἰῶνας ἐποίησεν' τί
ἕτερον λέγων ἐστίν, ἢ ὅτι ὁ Πατὴρ διὰ τοῦ Υἱοῦ καὶ πάντα μὲν τὰ
ὄντα δηλαδὴ καὶ αὐτοὺς δὲ τοὺς αἰῶνας ἐποίησεν; τὸ δ' ὅτι δι' οὗ
καὶ τοὺς αἰῶνας ἐποίησεν ὁ Θεὸς καὶ τὸ πάντα διὰ τοῦ Υἱοῦ

---

35. *γεγεννηκὼς* V B. || 39 sq. Paul. Rom. II, 16. || 42 sq. Ev. Ioh. XIV, 10. 24. || 44. *ϑεοῦ σημείων* (corr. ex *σημειῶν*, ut vid.) B. Ev. Ioh. XIV, 10. || 47 sq. *καὶ — διὰ τοῦ Υἱοῦ* om. B. || 55 sq. Paul. Hebr. I, 2. || 56. *παλὶν* (sic) V. || 57. Paul. Hebr. I, 2. *ἐποίησε* B. || 59. *ἐποίησε* B.

ἐγένετο παρὰ τοῦ Πατρός, ταὐτόν ἐστι κατὰ τὴν δήλωσιν ἀντικρυς καὶ οὔ τί που διενήνοχεν. ἀκήκοα δέ ποτε καὶ τῆς σῆς εὐήχου γλώττης καὶ ἱερᾶς ἐπ' ἀνακτορικῆς ἐκκλησίας ψαλτῳδούσης διάτορον· ἅγιος ὁ Θεὸς ὁ τὰ πάντα δημιουργήσας δι' Υἱοῦ. εἰ ὁ Θεὸς
f. 126r καὶ Πατὴρ τὰ πάντα δεδημιούργηκε δι' Υἱοῦ, πάντα | διὰ τοῦ Υἱοῦ 65
ἐγένετο παρὰ τοῦ Πατρός· εἰ μὴ πάντα διὰ τοῦ Υἱοῦ ἐγένετο παρὰ τοῦ Πατρός, οὐδ' ἔστι λέγειν ὀρθῶς τε καὶ εὐσεβῶς· ἅγιος ὁ Θεὸς ὁ τὰ πάντα δημιουργήσας δι' Υἱοῦ· τοῦτο γὰρ ἐξ ἀνάγκης καὶ οὐκ ἄλλως ἔχον ἐστί. τί τοίνυν; στερκτέον τὴν πρώτην ἀπόρρησιν ἢ ἀπορρητέον ἐκ δευτέρας μεταβουλεύσεως ὡς τῶν τοῦ 70
μονογενοῦς ἁπάντων εὐλόγως ἀναφερομένων ἐπὶ τὴν πρώτην ἀρχήν, καὶ μήτε τοῦ Πατρὸς ὕφεσιν τῆς ἀξίας ὑφισταμένου τῷ λέγεσθαι τὰ πάντα ποιεῖν διὰ τοῦ Λόγου αὐτοῦ καὶ Υἱοῦ; πῶς γὰρ μήτε τοῦ μονογενοῦς ἐντεῦθεν ἐλαττουμένου; ποῦ γὰρ τὸ μεῖζον καὶ ὑψηλότερον τοῦ τὰ ἔργα τοῦ Υἱοῦ ἔργα τοῦ Πατρὸς καὶ εἶναι καὶ ὀνομάζεσθαι; 75
καὶ τοσοῦτον ἔχειν τὸ σεμνὸν τὸν δημιουργόν, ὡς ἔργα τοῦ Θεοῦ πεφηνέναι τὰ ἔργα αὐτοῦ καὶ παριστᾶν ἀριδήλως μετὰ τῆς πρώτης ἀρχῆς, ὡς ὁ Πατὴρ καὶ ὁ Υἱὸς ἕν εἰσιν· εἴ γε ἅπερ ἐργάζεται ὁ Υἱὸς ὁ Πατὴρ αὐτὰ ἐργάζεται δι' αὐτοῦ τοῦ Υἱοῦ, ὡς κυρίως πατὴρ διὰ κυρίως υἱοῦ καὶ διὰ τοῦτο καὶ κυρίως Θεοῦ, καὶ τοσοῦτο 80
ἀμφοῖν τὸ συνημμένον καὶ ταὐτοδύναμον, ὡς μήτε τὸν Πατέρα κεχωρισμένως ἐργάζεσθαί τι, εἰ μὴ διὰ τοῦ Υἱοῦ, μήτε τι τὸν Υἱὸν ἐργάζεσθαι τῆς πατρικῆς ἐνεργείας ἀνάξιον, καὶ ὃ μὴ ὁ πατὴρ ἐργάζεται δι' αὐτοῦ δὴ τοῦ υἱοῦ; ἐκ τούτων καὶ τῶν ὁμοίων ἢ μὴν τῶν ἀντικειμένων τὸ κρεῖττον ἐπιλεξάμενος δίδαξον. ὃ γὰρ πρότερον ἡ 85
τῆς ἱερογραφικῆς ποικιλίας ἀναλυτικὴ ἐπιστήμη σου συνοδικῶς ἀποκέκρικεν ἀνεξοστράκιστον ἡμῖν ἕως δεῦρο διαμεμένηκεν, οὐ κατ' ἀπείθειαν, οὐ μὲν οὖν, ἀλλ' ὅτι δέον ἡγήμεθα καὶ αὖθις ὑπομνῆσαι περὶ αὐτοῦ, ἵν' ἐκφυλλοφορηθείη τέως τὸ ἀδόκιμον καὶ ἀπανταχόθεν μετ' ἐσκεμμένης ἐπὶ πλέον τῆς ἐπικρίσεως. 90

B, f. 360v

τοῦ αὐτοῦ εἰς τὸν Λάσκαριν

XXVIII Σοφωτάτη ψυχή, βασιλικωτάτη κεφαλή, παγκόσμιον ἐγκαλλώπισμα, τῶν τοῦ Χριστοῦ καύχημα, τοῦ λόγου τιμή, τῶν ἀρετῶν δόξα, ζῆθι

---

63. ἐπανακτορικῆς V. || 66 sq. εἰ μὴ–Πατρὸς om. B. || 67. οὐδ' ex οὐκ B.: οὐδὲ V. || 88. ἡγήμεθα B; ἡγούμεθα V. || 89. ἀπαντοχόθεν V.

ἐν κόσμῳ ὑπερκοσμίως, ἐν οὐρανοῖς αἰωνίως συμβασιλεύων τῷ πάντων οὐσιωδῶς βασιλεύοντι.

πρὸς αὐτόν

XXIX Δέσποτά μου ἅγιε· ἡ ἀσθένεια χειμάζει πολλὰ καὶ λυπεῖ καὶ οὐκ ἐᾷ πληρῶσαι τὰ τοῦ βασιλέως θεσπίσματα· καὶ πῶς ἂν γνωσθείη τοῦτο τῇ βασιλείῳ περιοπῇ, τὸ βασιλικώτατον νόημά τε καὶ οἰκονόμημα τῆς Βασιλείας < σου > ἐπίσταται. ἐγὼ δὲ πάλιν εἶμι πρὸς τὸ ἀποστεῖλαι εἰς τὴν Βασιλείαν σας, καὶ τότε τὰ κατ' ἐμὲ κρειττόνως γνωσθήσεται. εἴη σου τὸ Κράτος ἐνταυθοῖ μὲν πολυχρονίως δεδοξασμένον, αἰωνίως δὲ τῷ παμβασιλεῖ συμβασιλεῦσον Χριστῷ.

πρὸς αὐτόν

XXX Δέσποτά μου ἅγιε· τὴν μὲν ὁρισθεῖσάν μοι παρὰ τῆς Βασιλείας σου τοῦ λόγου μεταποίησιν ἐνεπόδισεν ἡ πολυήμερος ἀρρωστία καὶ δογματικὴ ἀσχολία. τὰς δὲ πρὸς Θεὸν ὑπὲρ τῆς Βασιλείας σου ἐντεύξεις οὐκ ἴσχυσεν ἐμποδίσαι οὔτε ἡ νόσος οὔτε ἡ περὶ τὸ δόγμα μέλετη· τοῦτο γὰρ εὐσυνειδότως εἰπεῖν ἐθάρρησα. χάριν οὖν τοῦ ἐμποδισθέντος ἔργου καὶ μακρόθεν αἰτῶ συμπάθειαν ὅσον εἰς τὸν καιρόν· γενήσεται δὲ τὸ ὁρισθὲν ἐξ ἀνάγκης, ἐὰν μὴ ὁ θάνατος ἐξαρπάσῃ με. ἰδοὺ δὲ πάλιν ἔστειλα παττάκιον εἰς τὸν μέγαν βασιλέα καὶ αὐτοκράτορα τὸν γενέτορα τῆς Βασιλείας σου. καὶ καθὼς ὁρίσει ἡ Βασιλεία σου καὶ δι' οὗ ἀνθρώπου ἔχει θέλημα ἡ Βασιλεία σου, ἂς μάθωμεν καὶ ποῦ κατήντησεν ἡ πολύτυρβος καὶ πολυπερίσπαστος τῶν φρερίων ὑπόθεσις, ἢ ὁποῖον μελετᾶται τὸ πέρας. ἂς ὁρίσῃ δὲ ἡ Βασιλεία σου ἵνα ὁ Πέτρος ὑποστρέψῃ σύντομον· χρῄζω γὰρ ὑπηρετεῖν αὐτὸν τῇ ἀσθενείᾳ μου. ἂς μάθωμεν δὲ ἂν ἀναγνωσθῇ τὸ παττάκιον καὶ οὐκ

XXIX. 3. *βασικω* sic B. || 4. *σου* addidi (rectius fort. *σας*): om. B. || 5. *βα* et supra lin. *σας* compend. B. *σας* = *ὑμῶν*: vulgarem formam, quamvis hic tantum in his epistulis appareat, servandam duxi.

XXX. 2. *ἀρρωστία* corr. ex *ἀρρωστεία* B. || 3. *τὰ δὲ* B. || 9. *τὸν γενε* B; fort. *τῶν γενετῶν*? cfr. Nicephori carmen apud Heisenberg, *Nicephori Bl. curric. vitae et carmina*, p. 110 sq.

ἀποδοκιμασθῇ διὰ τὴν πολυγραφίαν. ὁ βασιλεύων εἰς τοὺς αἰῶνας χρόνους μακροὺς πρυτανεύσοι τῇ Βασιλείᾳ σου καὶ μεγαλύναι ταύτην καὶ δοξάσαι καὶ ὑψώσαι καὶ ἐν τῷ νῦν αἰῶνι καὶ ἐν τῷ μέλλοντι.

B, f. 171v

τοῦ αὐτοῦ

XXXI Τῷ τῶν ἀρετῶν προσομιλοῦντες ἀγάλματι νοερῷ, καὶ ἀρετῶν γε τῶν ἐξόχων καὶ βασιλικωτάτων, ἐξ ἀρετῶν τοῦ λόγου τὴν καταρχήν· ἡ κατ᾽ ἀρετὴν γὰρ ἐνέργεια τὴν ἀρίστην καὶ τελειοτάτην, ἡ ἀδιάστατος, τὸ ἀνθρώπινον τέλος ἐστίν. ταύτην οἱ θύραθεν εὐδαιμονίαν ὠνόμασαν αὐτὸ τὸ νοερὸν καλέσαντες δαίμονα καὶ τὸν νοερὸν ἄνθρωπον δαιμόνιον ἄνθρωπον, καὶ εὐδαίμονα τὸν εὖ ἔχοντα κατὰ νοῦν. νοῦς δέ ἐστι τὸ λογικὸν τῆς ψυχῆς, καθ᾽ ὃν καὶ ὁ νοερὸς ἄνθρωπος, καὶ ὅτε σιωπᾷ, λογικός ἐστί τε καὶ λέγεται· τὸ λογικὸν δὲ μόνον ἐκ τῶν τριῶν μερῶν τῆς ψυχῆς, χαρακτηρίζει τὸν ἄνθρωπον· τὸ γὰρ θυμικὸν καὶ τὸ ἐπιθυμητικὸν ἐν ἀλόγοις ζῴοις τὰ μάλιστα. ὁποῖον οὖν τις ἔχει τὸ λογικόν, τοιοῦτος τυγχάνει καὶ ἄνθρωπος· οἷον εἰ δυνάμει ἔχει τὸ λογικόν, δυνάμει καὶ ἄνθρωπος πέφυκεν· εἰ δὲ τὸ λογικὸν αὐχεῖ κατ᾽ ἐνέργειαν, καὶ ἄνθρωπος ἐνεργείᾳ γινώσκεται. τὸ λογικὸν δὲ κέκτηται κατ᾽ ἐνέργειαν ὁ πάντα κατὰ λόγον ποιῶν· ἐκεῖνος καὶ ὅλος ἐστὶ λογικός. ὁ δὲ μὴ κατὰ λόγον ἐνεργῶν ἄλογος ὁμοῦ τε καὶ λογικός· μᾶλλον δὲ τὸ ὅλον ἄλογος, εἰ δ᾽ εἰπεῖν χρὴ καιριώτερον, καὶ χείρων ἀλόγου παντός. τὰ γὰρ ἄλογα μὴ λαβόντα τὸν λόγον ἐν τῷ ζῆν ἀλόγως ἀνεύθυνα· ὁ δὲ τὸν λόγον λαβών, εἶτα ῥᾳθυμήσας καὶ ἀπολέσας τὸ δῶρον τῆς φύσεως λίαν ὑπεύθυνος. ὅλος δὲ λογικὸς ὁ κατὰ λόγον πράττων, ἐπεὶ καὶ τὰς ἀλόγους δυνάμεις, τὰς ζωικάς, λογικὰς ἀπετέλεσεν ἐν ἑαυτῷ ποιήσας τῷ λόγῳ ταύτας ἐπιπειθεῖς. ὁ γὰρ ἐπιθυμῶν οὗπερ δεῖ καὶ ἐφ᾽ ὅσον δεῖ καὶ ὅτε δεῖ καὶ καθὼς δεῖ καὶ ὅπου δεῖ καὶ δι᾽ ὃ χρή, λογικὴν τὴν ἐπιθυμίαν εἰργάσατο κατὰ πάντα ὅσα ὁ λόγος ὑπαγορεύει χρώμενος τῷ ἐπιθυμεῖν· ὁ δέ τι τῶν διωρισμένων περιβλεψάμενος, καθ᾽ ὅσον παρεβλέψατο, κατὰ τοσοῦτον μετὰ τῆς ἀλογίας εὑρίσκεται. τὸ δ᾽ αὐτὸ κἀπὶ τοῦ θυμοῦ. σὺ τοίνυν τὸ δέον

15. πολυγραφίαν ex πολυγραφείαν B. || 16. πρυτανεύσοι ex πρυτανεύσει B. ταύτην scripsi: ταῦτα B. || 17. ὑψώσαι B.

XXXI. 17. ζεῖν compend. B. || 22. καθὼς B.

ἐπιμετρῶν ἐπιθυμίαις καὶ θυμῷ (σὲ δὲ λέγων, αὐτὸν τὸν λόγον φημί) νεύματί τε μόνῳ πρὸς ὑπακοὴν ἄγων τὰ φυσικὰ δοῦλα καὶ πρὸς ὑποταγήν, ἄνθρωπος εἶ κατ' εἰκόνα Θεοῦ κατ' ἀλήθειαν· ἀρχικός, ἡγεμονικός, αὐτοκράτωρ καὶ βασιλεὺς θεοπρόβλητος. ὁ δὲ τοῖς ἄγεσθαι τεταγμένοις ἀγόμενος καὶ τοῖς φύσει δούλοις ὑποταττόμενος, οὗτος δεσπότης ἀμφίβολος δοῦλός τε ἀναμφίβολος, καὶ πῶς ἄνθρωπος; τούτῳ καὶ ὁ λόγος ἐστὶν ἀποτρόπαιος, ἔλεγχος τῆς ἀλογίας καὶ εἰ μὴ λέγοι καθεστηκώς. διὰ τοῦτο καὶ ἀποτρόπαιος. καὶ πλέον ἐντεῦθεν ἔλεγχος γίνεται· καὶ γὰρ ὅπερ τις ἀποστρέφεται τούτου πάντως ἀμέτοχος, ὥσπερ τῷ ἐλλόγως ζῶντι ποθητὸς ὁ λόγος καὶ περισπούδαστος, κῆρυξ διαπρύσιος τῆς λογικότητος ὤν, καὶ εἰ σιγῶν, Στέντορος μεγαλοφωνότερος κἀκ τοῦ ἀγαπᾶσθαι κηρύττων μᾶλλόν τι ἔλλογον. τῷ γὰρ ὁμοίῳ χαίρει τὸ ὅμοιον καὶ τοιοῦτός ἐστιν ἕκαστος οἷσπερ ἥδεται ξυνών. ἐκ τούτων ὁποῖος φαίνῃ καὶ πόσων μυριοπληθειῶν καθυπερτερεῖς καὶ καθ' ὁπόσων ὑπεραριθμιῶν φέρεις τὰ νικητήρια, ἐλλογώτατος ὢν ὁμοῦ καὶ φιλολογώτατος, θεοσοφώτατος καὶ φιλοσοφώτατος, πλήρης καλοκἀγαθίας καὶ εἰς ἄκρον φιλόκαλος καὶ φιλάγαθος, σοὶ καὶ τὸ καθόλου δείκνυται μερικόν· ὑπὲρ γὰρ τοῦ καθόλου τὰ σὰ προτερήματα. τί εἶπον; ἡμάρτηκέ μοι ὁ λόγος· ποῦ τὸ καθόλου; ποῦ δὲ τὸ μερικόν; ὄντως ὑπερασυγκρίτως ἀσύγκριτα πάντα τὰ σὰ καλά τε καὶ ἀγαθά· σὺ ποταμὸς μόνον; ποῦ δὲ ἡ πηγή; ἀλλὰ μόνον πηγή; ποῦ δὲ ὁ ποταμός; ὄντως σὺ καὶ ποταμὸς καὶ πηγὴ καὶ πᾶν ὅ τι κάλλιστον ἐν τοῖς καθ' ἡμᾶς καὶ πρᾶγμα καὶ ὄνομα.

---

36. τῷ ex τὸ B. ‖ 43. σοὶ ex σὺ B. ‖ 45. ἡμάρτηκέ scripsi: ἡμάρτητέ B.

B) Ad Michaelem Despotam

B, f. 170v

τοῦ *Βλεμμίδου ἐπιστολὴ πρὸς τὸν κυρὸν Μιχαὴλ τὸν δεσπότην*

(XXXII) *Τῇ δεσποτικῇ μου συμπνοίᾳ καὶ συμφυΐᾳ προσάγω τὴν προσκύνησιν ἀδιαίρετον. οὓς γὰρ νόμος συνέζευξε καὶ φύσις συνέδησεν, εὐγένεια συνήρμοσε καὶ ἀρετὴ συνεμόρφωσε, πῶς ἂν διέλοιμι ταῖς ἐπιστολαῖς παρὰ μέρος ἀπονέμων ἐκείνοις τὴν πρόρρησιν; εἰ μὲν γὰρ τόπος αὐτοῖς ἐσχημάτιζε τὴν διάστασιν, καὶ αὐτὸς τὸν λόγον παρεῖχον συσχηματίζοντα, νοερῶς μὲν τὸ τῆς ἑνώσεως ἀδιάρρηκτον συνιστῶν, λογικῶς δὲ τὴν δοκοῦσαν διάστασιν παριστῶν καὶ οὕτω τὴν καλὴν ἀλληλουχίαν κυδαίνων καὶ τὸ ὁμόψυχον. ἐπεὶ δὲ καὶ τόπος καλῶς ποιῶν τὴν φύσιν ἐζήλωσε καὶ τοῖς ὑπερφυέσιν ὑπέκυψε καὶ τὸ τῶν καλλίστων συνάγειν ἐδοκίμασεν, οὐκ ἔχει λόγον ὁ λόγος διορισμοῦ, κἂν ᾖ ποσὸν τοῦ τόπου διώρισται· ἀλλ' ὥσπερ αὐτῷ κατὰ τὸ εὐσώματον κεκοινώνηκεν, οὕτω καὶ κατὰ τὸ συνεχὲς κοινωνείτω τόπον τινὰ διὰ τῆς τῶν ὁμοφυῶν καὶ ἄκρως ἡνωμένων συμπεριλήψεως· ὅτι καὶ τόπος αὐτοῖς ὁ λόγος· λόγῳ γὰρ περιέχονται, καὶ λόγου ἐκτὸς οὐχ εὑρίσκονται, πάντα γὰρ κατὰ λόγον αὐτοῖς. εἰ μὲν οὖν πείθοιτό μοι καὶ ὁ παρὼν λόγος καὶ συνάψοι τοὺς συνημμένους, εὖ ἂν ποιοίη καὶ τῇ τοῦ λέγοντος προθέσει κατάλληλον· εἰ δ' οὖν, ἀλλὰ προσπαταλεύσω τοῦτον τῷ γράμματι καὶ δεσμώτην ἐκπέμψω τὸν πτερωτὸν τοῖς*

Tit. *βλεμμῦ* (ῦ ex *ι*, ni fallor) B.

2. *συνέζευξεν* ante corr. B. || 2 sq. *εὐγένεια* corr. ex *εὐγενει*, ut vid., B || 5. τοπ corr. ex τοπ compend. B. || 6. *σχηματίζον* B. || 9. *ὑπὲρφυσιν* ex *ὑπὲρ φύσιν* B. || 10. *καλλίστ|* (= *καλλίστον*) B. || 12. *τρόπον* malim sed *τόπον* B. || 15. *οὐχ* corr. ex *οὐκ* B. || 16. *συνάψει* B. || 18. *δεσ ἐκπέμπω* B.

δετιδέσι τοῖς ὠκυπτέροις τοῖς ὁρῶσι βασιλικῶς καὶ πατοῦσι πρὸς οὐρανόν. ἐπεὶ δὲ βασιλικῆς ἐμνήσθην ὁράσεως, ὁποτά ποτ', ἂν φαίην, ὁρᾶται τοὺς καθ' ἡμᾶς, τοὺς ἐπήλυδας; πότερον λεῖα καὶ ἀσκαμβῆ καθὼς ὁ τοῦ πνεύματος δίδωσι νόμος, καθὼς ἐπηγγέλμεθα πρὸς τὸν Θεόν, εἴη δὲ εἰπεῖν καὶ τοῖς ἔργοις ἐβεβαιώσαμεν, ἢ ἄλλως ἔχοντα; καινὸν γὰρ οὐκ ἔστιν ἡ τοῦ ἀγαθοῦ βασκανία τῷ κατὰ τοῦ ὄντως ἀγαθοῦ μεμηνότι καὶ τοῖς αὐτοῦ τεκταινομένῳ τὰ σκαιωρήματα διὰ τῆς ἐπιθολώσεως τοῦ ἀληθοῦς. ἀλλ' ἡ καθαρωτάτη καὶ λαμπροτάτη συναυγεία τῶν βασιλικῶν ὀφθαλμῶν οὐκ < ἂν > ἀπατηθείη ποτέ. λόγῳ γὰρ βλέπει καὶ κρίνει τὰ πράγματα, καὶ ἄλογον ὑπόνοιαν οὐδέποτ' ἂν παραδέξαιτο. πολλοὺς μὲν ἠδίκησεν αὕτη παρὰ τοῖς νοσοῦσι τὸ διανοητικόν, μᾶλλον μὲν οὖν αὐτοὺς τοὺς διανοουμένους σαθρῶς τε καὶ πλημμελῶς, αὐτοὺς τὰ μέγιστα ἐζημίωσε καὶ πολλῶν ἀγαθῶν ἀπεστέρησε καὶ Θεῷ < μὲν > ὑπεναντίους, ἀνθρώποις δὲ νουνεχέσι καταγελάστους ἀπέφηνεν· ὅτι καὶ θείας δόξης καὶ τῆς ἑαυτῶν τιμῆς καὶ τοῦ συνοίσοντος ἀλόγως οὕτως ἠλόγησαν, ψευδέσιν ὑπονοίαις αἰχμαλωτισθέντες καὶ ἀτενέστατα λίαν ἀνδράποδα. τοῖς δέ γε ὑγιῶς ὅτι λογιζομένοις καὶ ὑπὲρ σύγκρισιν πῶς ἂν ἰσχύσοι τὸ τοιοῦτον κακόν; ὡς γὰρ τὸν Λαέρτου φασὶ τῇ Κίρκῃ τὸ ξίφος ἐπανατείναντα τὰς ἐκείνης μαγγανείας ἐκ μέσου ποιήσασθαι, τὸν αὐτὸν τρόπον καὶ οἱ κατ' ἐξοχὴν λελογισμένοι καὶ στερεόφρονες, οἱ τὴν 'Οδύσσειον εὐβουλίαν διπλασιάσαντες ἑαυτοῖς, τῇ τοῦ λόγου ῥομφαίᾳ τὴν ἀλογίαν ἐκδεματοῦντες, ἐξαφανίζουσι τὰ ταύτης ματαιοβούλια. ὡς δὲ καὶ 'Ηρακλῆς ὁ μεγάεθλος τὰς τῆς Ὕδρας ἐξέτεμε κεφαλάς, 'Ιόλεως δὲ ὁ καρτερικώτατος ἐκείνου ἀδελφιδοῦς τὰς τομὰς ἐπικαίων τὰς ἀποφύσεις ἐκώλυε, καὶ οὕτως τὸ δεινὸν θηρίον ἀνῄρητο, τὸ πολύμορφόν τε καὶ πολυκέφαλον· παραπλησίως καὶ ἡ δεσποτικὴ ξυνωρὶς ἡ ὁμόψυχος ἡ τὴν διττὴν εὐγένειαν ἀπαράμιλλος, ὥσπερ τινὰ δίστομον μάχαιραν ἄκρως ἐπεστιλβωμένην αὐχοῦσα τὸ

19. *πατοῦσι* scripsi: *πετοῦσι* B. *οὐρανόν* ex *οὐρανούς*, ut vid., B. || 22. *ἐπηγγέλμαθα* ante corr. B. || 25. *τ///* | *σκαιωρήμ,τ* (sc. *τῷ σκαιωρήματι*) B. || 27. *ἂν* supplevi: in fine versus om. B. || 31. *μὲν* addidi. || 34 sq. *ἀτενέστατα* scripsi: *ἀστενέστατα* (στε ex κε vel πε corr.) B. || 35. *τοῖς δέ γε* scripsi: *δέ γε τοῖς* B. *σύγχρισιν* ante corr. B. || 36. *Λαέρτου* scripsi: *λαέρτην* B. fort. *Λαερτ<ιάδ>ην* || 39. *εὐβουλίαν* scripsi: *εὐουλίαν* B. || 41. *ματαιοβου* B. || 44. *πολύμορψόν τε* B. . 46. *ἐπεστιλβωμένην* scripsi: *ἐπαστιλβωμένην* B.

νοερόν τε καὶ διανοητικὸν καὶ τὸ τοῦ ζήλου πῦρ ὑπὲρ ἀληθείας ἄσβεστον φέρουσα, τέμνει, καίει, παντοίως ἐξαναιρεῖ τὴν βασκανίαν, τὸ ψεῦδος, τὴν καχυπόνοιαν καὶ ὅσα πέφυκε τὸ πάνδημον θηρίον, τὸ πολύτροπον καὶ ἀλλόκοτον. ὡς γὰρ τὸ ἰσάκις ἴσως ἐν ἀριθμοῖς, ὅταν αὖ προσλάβοιτο τὸ ἰσάκις, στερεοῖ τὸ ἐπίπεδον καὶ ἀπαρέγκλιτον τίθησιν· οὕτω καὶ ἡ τῶν ἐμῶν δεσποτῶν ἰσότης, ἐν πᾶσιν ἀγαθοῖς προτερήμασιν ἴσως ἔχουσα, στερέμνιον ἑαυτῇ τὸ γνωστικὸν ἀπειργάσατο καὶ τὸ κριτικὸν πάμπαν ἀπαραλόγιστον. ὡς δὲ καὶ τὸ πολυθρύλλητον ἐν γεωμετρίᾳ παραλληλόγραμμον προσλήψει μεγέθους ἐκ τῆς ἑαυτοῦ πλευρᾶς διὰ τοῦ γνώμονος ὁμοειδῶς αὔξεται, τοιουτοτρόπως καὶ ὁ ἐμὸς δεσπότης ἐκ τῆς ἑαυτοῦ βασιλικωτάτης πλευρᾶς εἰς ἐξαίρετον μεγαλεῖον ἐπαύξεται καὶ γνώμων τῆς ἀληθείας εὑρίσκεται μετὰ τῆς ὁμοδόξου κατ' αὐτὸν βοηθοῦ. ὡς δέ γε καὶ ἁρμονικὴ τὰς διττὰς ἀναλογίας εἰς ἓν ἀγαγοῦσα, τὴν ἐν ποιῷ λέγω καὶ τὴν ἐν ποσῷ, θαυμασίαν τινὰ σύμμικτον ἐκ τῆς ἑαυτῆς ἑνώσεως ἀπετέλεσεν· οὕτω δὴ καὶ ἡ δεσποτικὴ ἁρμονία τὰς διττὰς συνεχεῖς ἁρμονίας συνάψασα θαυμασιωτάτην ἀριστόνοιαν ἐκ τῆς τοιαύτης ὁμονοίας ἀπήρτισε καὶ δλην ἐξηυγενισμένην γνῶσίν τε καὶ διάκρισιν. ποίαν οὖν ἕξει χώραν ἐνταυθοῖ παραλογισμός, ὅπου κἂν ταῖς κοινολογίαις ὑπέρτερον ἢ κατ' ἐπιστήμην ἐκλάπῃ τὸ ἀποδεικτικὸν ἐκ τῶν πρώτων αἰτίων καὶ καθ' αὑτῶν συνάγον τῶν ἀποφάνσεων, ἢ μὴν ἐκ τῶν αἰτιατῶν δευτέρως καὶ τεκμηριωδῶς ὅτ' ἐξ ἀνάγκης ἕπονται τοῖς αἰτίοις; ὅπου καὶ Θεοῦ χεὶρ κινοῦσα τὰς καρδίας, ῥυθμίζουσα τὰ νοήματα, κυβερνῶσα τὰς ψυχάς, συνεργοῦσα περιέπουσα διεξάγουσα, τῶν πλουτησάντων τὴν πίστιν δόκιμον, τὴν φιλοήθειαν ἀκίβδηλον; διὰ ταῦτά τοι θαρρείτω σύμπας ὁ τοῦ Θεοῦ <λαὸς> τοῖς θεοειδέσι δεσπόταις καὶ ὧν τὸ κλέος ἐπὶ θεοσοφίᾳ καὶ ἐξαρεσκείᾳ τὴν πολλὴν οἰκουμένην κατέλαβε. ποῖ δὲ γῆς, ποῖ δὲ θαλάσσης οὐκ αὐτῶν περιλαλεῖται τὸ ἀφωμοιωμένον Θεῷ κατά τε φρόνησιν καὶ προαίρεσιν; ὡς γὰρ ὁ φύσει δεσπότης Θεὸς διττὰς ἔχει τὰς ἐνεργείας, τὰς μὲν τῶν ὄντων γνωστικάς, τὰς δὲ τῶν ἐπιδεῶν προμηθευτικάς,

---

49. καχυπόνοιαν corr. B. || 50. ὅταν αὖ scripsi: ὅτ' αὖ post rasuram B. || 62. συνεχεῖς scripsi: συνεχείας, ut vid. supra lin. add. B. || 63. ἀπήρτισε scripsi: ἀπήρτησε B. || 64. ἐνταυθοῖ] litt. ταυ perierunt in macula codicis B. || 66. καθἀὐτῶν B. || 70. πλουτησάντων scripsi: πλουτισάντων B. || 70 sq. fort. φιλοθεΐαν. || 71. τοι scripsi: σοι B. λαὸς addidi. || 72. ἀρεσκεία B. || 74. ἀφωμοιωμένον corr. ex ἀφομοιούμενον B.

οὕτω καὶ ἡ δεσπότις αὕτη δυὰς ὑπεριδοῦσα δυάδα τὴν ὑλικήν, διὰ τὸ μοναδικὸν τῆς ἑνώσεως, διὰ τὴν πρὸς τὴν τριάδα σύννευσιν καὶ τὸν ἁγιασμὸν καὶ τὴν θέωσιν, νοῦν ὅλον ἐκάθηρε καὶ πᾶσαν ἐπαιδα-
80 γώγησεν αἴσθησιν, καὶ γνῶσιν οὕτω θεοδιδάκτως εὗρεν ἐξαίρετον καὶ πρᾶξιν ὅλην θεομμήτως ἔσχεν ἀσύγκριτον. ἐντεῦθεν ἡ τοῦ λόγου στοργὴ καὶ οἰκείωσις· ὃ γὰρ γινώσκει τις, τοῦτο καὶ ἀγαπᾷ προσίεσθαι· | οὗ δ' οὐ πεῖραν ἔσχηκε, τούτου καταπεφρόνηκεν. ἐντεῦθεν ἀντιλή- f. 171r
ψεις καὶ κηδεμονίαι τῶν ὅσοι πτωχεύειν εἵλοντο πνεύματι· διὰ γάρ
85 τοι τῶν τοιούτων ὁ τῆς ψυχῆς πλοῦτος ἐπιγινώσκεται. τίς ἀξίως τὴν φιλοξενίαν ἐκφράσοι δι' ἧς καὶ ἄγγελοι ξεναγοῦνται οἱ τῆς σαρκὸς καὶ τῆς ὕλης ἀνωτέρω; καὶ τὸν Ἀβραὰμ κατίδοι πάλιν ἀναπτυσσόμενον τὸν πατέρα τὸν ἐκλεκτὸν τῆς ἠχοῦς· τὸ μὲν ὅτι τοῖς ἀρχομένοις οἷα πατὴρ προσφέρεται γνήσιος, διδοὺς καὶ ἀντιλαμβάνων ὥσπερ ἐκ τέκ-
90 νων ἀνόθευτον τὸ φιλόστοργον· τὸ δ' ὅτι πρὸς τὸ δεσπόζειν ἐκλέλεκται, τοῦ λαοῦ πρὸς αὐτὸν διὰ τὴν ἀρετὴν ἐπισπεύσαντος· τὸ δ' αὖ τρίτον ἐπείπερ ἁπανταχοῦ τὰ τούτου σεμνὰ περιήχηται. τὸ δὲ τῆς Σάρρας πρόδηλον· ἄρχουσα γὰρ καὶ ἡγεμονὶς ἑρμηνεύεται καὶ βασίλισσα, φανερὸν ὅτι τῶν ὑπηκόων διὰ τὸν αὐτῆς τρόπον αἱρετισαμέ-
95 νων τὸ ἐθελόδουλον. τὰ τρία μέτρα τῆς σεμιδάλεως, ὅθεν οἱ ἐγκρυφίαι οἱ ἄζυμοι, δι' ὧν τρέφεται ἡ τριὰς ἡ τοῦ τριμεροῦς τῆς ψυχῆς, ἀκραιφνεστάτη προσαγωγὴ τῷ Θεῷ δι' ἐνθυμίων καὶ ἔργων κρυπτῶν· λανθάνει γὰρ τοὺς πολλοὺς τὰ ἐπάρσεως καθαρεύοντα τῆς ὀζώδους καλίας τῆς παλαιᾶς. ὁ δ' ἀπαλὸς μόσχος, τὸ τοῦ βίου σωφρονικόν, τὸ
100 ὑπὲρ πᾶσαν ἁγνείαν θῦμα εὐπρόσδεκτον, ἔτι δὲ τὸ πρὸς καρτερίαν καὶ τοῦ ἐναντίου πλῆξιν παρεσκευάσθαι μέν, ἀλλὰ μετριοφρονεῖν καὶ οἴεσθαι τὸ ἰσχυρὸν ἁπαλόν. τὸ βούτυρον τὰς ἀκμαιοτέρας ἤδη καὶ πίους ὑπεμφαίνει τῶν ἀρετῶν, τὸ δὲ γάλα τὰς ἐπιτικτομένας ταῖς

---

78. σύννευσιν scripsi : σύνευσιν B. || 83. τούτον ex τοῦτο corr. B. || 85. ψυτρ'
